Ψηφιοποίηση: Ίδρυμα Μείζονος Ελληνισμού, Ινστιτούτο Ελληνικής Λαογραφίας, Αθήνα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΕΓΚΥΚΛΟΠΑΙΔΕΙΑ

ΕΛΛΗΝΙΚΩΝ

ΜΑΘΗΜΑΤΩΝ,

Συλλεγεῖσα ἐκ τῶν ἀρίστων Ἑλλήνων συγγραφέων καὶ ποιητῶν μετὰ τῶν ἀναγκαίων ὑποσημειώσεων,

ΠΑΡΑ

ΣΤΕΦΑΝΟΥ ΚΟΜΜΗΤΑ.

Νῦν δὲ τὸ δεύτερον ἐκ τῶν λαμπροτέρων ἐκδόσεων ἐπιδιορθωθεῖσα, καὶ μὲ πολλὰς προσθήκας τεμαχίων, καὶ ὁλοκλήρων λόγων, ποιητῶν καὶ λογογράφων, ἀναγκαιούντων εἰς τὴν παράδοσιν τῆς Ἑλληνικῆς γλώσσας, ἐπαυξηθεῖσα, ἐκδίδεται εἰς τόμους δέκα,

ΥΠΟ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΓΚΑΡΠΟΛΑ.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.

ΕΚΔΟΣΙΣ ΔΕΥΤΕΡΑ.

Ευ' ἰσον ἡν φωδίν ἡ Ἀλεξανδρίδα Πρωτοκλέα

ΕΝ ΑΘΗΝΑΙΣ,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΤΟΥ ΕΚΔΟΤΟΥ Κ. ΓΚΑΡΠΟΛΑ.

1839.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

»Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθείῃ,
»Καὶ θαμὰ τοῦθ' ἕρδοις, τάχακεν μέγα καὶ τὸ γένοιτο.«

Ἡσίοδος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΕΚ ΤΩΝ ΛΟΥΚΙΑΝΟΥ

ΣΑΜΟΣΑΤΕΩΣ.

Ε'. ΚΑΤΑΠΛΟΥΣ Η ΤΥΡΑΝΝΟΣ (*)

α. Χάρ. Εἶεν, ὦ Κλωθοί, τὸ μὲν σκάφος τοῦτο ἡμῖν πάλαι εὐτρεπὲς, καὶ πρὸς ἀναγωγὴν εὖ μάλα παρεσκευασμένον· ὅ,τε γὰρ ἄντλος ἐκκέχυται, καὶ ὁ ἱστὸς ὤρθωται, καὶ ἡ ὀθόνη παρακέκρουσται, καὶ τῶν κοπῶν ἑκάστη τετρόπωται· κωλύει τε οὐδὲν, ὅσον ἐπ' ἐμοί, τὸ ἀγκύριον ἀνασπάσαντας ἀποπλεῖν. Ὁ δὲ Ἑρμῆς βραδύνει, πάλαι παρεῖναι δέον· κενὸν γοῦν ἐπιβατῶν, 2
ὡς ὁρᾷς, ἔστι τὸ πορθμεῖον, τρὶς ἤδη τήμερον ἀναπεπλευκέναι δυνάμενον· καὶ σχεδὸν ἀμφὶ βουλυτόν ἐστιν· ἡμεῖς δὲ, οὐδέπω οὐδ' ὀβολὸν ἐμπεπολήκαμεν. Εἶτα ὁ Πλούτων εὖ οἶδ' ὅτι ἐμὲ ῥαβου- 3
μεῖν ἐν τούτοις ὑπολήψεται, καὶ ταῦτα παρ' ἄλλῳ οὔσης τῆς αἰτίας. Ὁ δὲ καλὸς ἡμῖν κἀγαθὸς νεκροπομπὸς, ὥσπερ τις ἄλλος

(*) Τυράννοι βίαιοι ὄντες καὶ λῃσταὶ, ὀλίγον χρόνον ὤκησαν ἐν Ἀθήναις, ἔπειτα δ' Ἀθηναῖοι ἐξέβαλον αὐτοὺς· οἱ οὖν ἐν Ἀθήναις ῥήτορες, ὡς ἐν δημοκρατίᾳ πολιτευόμενοι, τυράννους ἐκάλουν τοὺς βασιλέας. Ὁ οὖν διάλογος οὗτος ἐπιγέγραπται Κατάπλους μὲν, διότι περὶ καταπλεύσεως ψυχῶν εἰς ἅδου ὁ λόγος. Τύραννος δὲ, ὅτι περὶ Μεγαπένθους τοῦ Λακύδου, τυράννου τὰ πλεῖστα ἐνασχολεῖται ὁ λόγος.

α. Εἶεν) Ἐπιφώνημα ἐστὶ τοῦτο ἐνταῦθα ἀποστάσεως· ἀντὶ τοῦ, καλῶς. Εὖ ἔχει πάντα.

— Κλωθοί) Κλωθὼ μία τῶν Μοιρῶν. Τρεῖς δὲ αὗται, Κλωθὼ, Λάχεσις, Ἄτροπος· καὶ ἡ μὲν Λάχεσις κατέχει τὴν ἠλακάτην, ἡ δὲ Κλωθὼ στρέφει τὸν ἄτρακτον, νήθουσα τὸν βίον ἑκάστου, ἡ δ' Ἄτροπος κοπτει ταῖς ψαλίσι τὸν μίτον, καὶ ὦ πέπρωται, τελευτᾷ τὸν βίον. Ἀριστ. περὶ Κοσμ. ᾳ'. Τρεῖς φησὶν εἶναι αἱ Μοῖραι, κατὰ τοὺς χρόνους μεμερισμέναι, νῆμα δὲ ἀποβάκτου τὸ μὲν ἐξειργασμένον· τὸ δὲ, μέλλον· τὸ δὲ, περιστρεφόμενον. Τέτακται δὲ, κατὰ μὲν τὸ γεγονὸς μία τῶν Μοιρῶν, ἡ Ἄτροπος, ἐπεὶ τὰ παρεληλυθότα πάντα ἄτρεπτά ἐστι· κατὰ δὲ τὸ μέλλον, Λάχεσις· εἰς πάντα γὰρ ἡ κατὰ φύσιν μένει λῆξις· κατὰ δὲ τὸ ἐνεστὸς, Κλωθὼ, συμπεραίνουσα καὶ κλώθουσα ἑκάστῳ τὰ οἰκεῖα. Ἐνταῦθα δὲ πρὸς μόνην τὴν Κλωθὼ ποιεῖ τὸν Χάρωνα διαλεγόμενον.

— Ἐκκέχυ.) Οἷον τὸ ἐν τῇ ἀντλίᾳ ὕδωρ τοῦ πλοίου ἐξεχύθη.— Πεκακέκρ.) Παρακρούειν δὴ τὸν ἱστὸν, σημαίνει τὸ βάπτειν τὰ ἐσχισμένα αὐτοῦ· οὕτω γὰρ Ἀττικοὶ λέγουσι τὸ τὴν ὀθόνην τῇ κεραίᾳ συμβαλεῖν. — Τετρόπ.) Τροπὸω, ὦ. Ἐσχημάτισται δὲ ἀπὸ τοῦ τροπωτήρ, ὅπερ σημαίνει τὸν λῶρον, εἰς ὃν τὴν κώπην ἐμβάλλουσιν. — Ὅσον ἐπ' ἐμ.) Τὸ παρ' ἡμῖν ὅσον ἀπὸ μέρους μου, οὐδὲν κωλ.

2. Ὁ δὲ Ἑρμ.) Οὗτος διακρίζει τὰς ψυχὰς εἰς ἅδου.—Δέον) Ἀποδόσιμος μετοχὴ ἀπόλυτος· οἷον· Ἐν ᾧ ἔδει αὐτὸν πρὸ πολλοῦ παρεῖναι.

— Ἀμφὶ βουλυτ.) Περὶ ἑσπέραν δηλαδὴ· ὥρας, καθ' ἣν λύουσι τοὺς βοῦς· ὁ γὰρ Ἡσύχιος, βουλυτὸν, φησὶ τὴν δείλην ὥραν, ἐν ᾗ τὸ ἄροτρον λύεται τῶν βοῶν· καὶ Ἡλιόδωρ. βιβλ. Ε'. Ἦν μὲν, φησὶν, ἤδη τῆς ἡμέρ. ὅτε ἄροτρον βοῦν ἐλευθεροῖ γηπόνος.

3. Εὖ οἶδα ὅτι) Ἀντὶ τοῦ καθ' ἡμᾶς εἰμὶ πληροφορημένος. — Καὶ ταῦτα) Εἰκοστὰ, ποιήσει. — Νεκροπομπ.) Ἑρμῆς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ αὐτὸς ἄνω τὸ τῆς Λήθης ὕδωρ πεπωκώς, ἀναστέψαι πρὸς
4 ἡμᾶς ἐπιλέλησται. Καὶ ἤτοι παλαίει μετὰ τῶν ἐφήβων, ἢ κιθαρίζει, ἢ λόγους τινὰς διεξέρχεται, ἐπιδεικνύμενος τὸν λῆρον τὸν αὐτοῦ· ἢ τάχα που καὶ κλωπεύει ὁ γεννάδας παρελθὼν· μία γὰρ αὐτοῦ καὶ αὕτη τῶν τεχνῶν· ὁ δ' οὖν ἐλευθεριάζει πρὸς ἡμᾶς, καὶ ταῦτα, ἐξ ἡμισείας ἡμέτερος ὤν.

β'. Κλωθ. Τί δὲ οἶδας, ὦ Χάρων, εἴ τις ἀσχολία προσέπεσεν αὐτῷ, τοῦ Διὸς ἐπὶ πλέον δεηθέντος ἀποχρήσασθαι πρὸς τὰ
2 ἄνω πράγματα; δεσπότης δὲ κἀκεῖνός ἐστιν. — Χάρ. Ἀλλ' οὐχ ὥςτε, ὦ Κλωθοί, πέρα τοῦ μέτρου δεσπόζειν κοινοῦ κτήματος,
3 ἐπεὶ οὐδὲ ἡμεῖς ποτε αὐτὸν, ἀπιέναι δέον, κατεσχήκαμεν. Ἀλλ' ἐγὼ οἶδα τὴν αἰτίαν· παρ' ἡμῖν μὲν γὰρ ἀσρόδελος μενῶν, καὶ χροιά, καὶ πόπανα, καὶ ἐναγίσματα· τὰ δ' ἄλλα, ζόφος, καὶ ὁμί-
4 χλη, καὶ σκότος. Ἐν δὲ τῷ οὐρανῷ φαιδρὰ πάντα, καὶ ἡ τε ἀμβροσία πολλὴ, καὶ τὸ νέκταρ ἄφθονον· ὥςτε μοι ἥδιον παρ' ἐκείνοις βραδύνειν ἔοικε· καὶ παρ' ἡμῶν μὲν ἀνίπταται, καθάπερ ἐκ δεσμωτηρίου τινὸς ἀποδιδράσκων· ἐπειδὰν δὲ καιρὸς κατιέναι, σχολῇ καὶ βάδην, μόγις ποτὲ κατέρχεται.

γ'. Κλωθ. Μηκέτι χαλέπαινε, ὦ Χάρων· πλησίον γὰρ αὐτὸς οὗτος ὡς ὁρᾷς, πολλούς τινας ἡμῶν ἄγων· μᾶλλον δὲ ὥσπερ τι

τοὺς νεκροὺς πέμπων. — Ὥσπερ τις ἄν.) Ὥσπερ τις ἄλλος ἄνθρωπος δηλ. ὤν, πίνει τὸ τῆς λήθης ὕδωρ, κάτω ἐρχόμενος εἰς τὸν ᾅδην, καὶ ἐπιλανθάνεται πάντων τῶν ἄνω, εἴτ' οὖν τῶν ἐπὶ γῆς, οὕτω καὶ αὐτὸς ὁ Ἑρμῆς δηλ. δοκεῖ πεπωκέναι τὸ τῆς Λήθης ὕδωρ, ἄνω πορευόμενος· καὶ ἐπιλέλησται τῶν κάτω. Περὶ δὲ τοῦ ὕδατος τῆς Λήθης, φασὶν, ὅτι ἔστιν ἐν ᾅδου ποταμὸς, παρ' οὗ πίνουσαι αἱ ψυχαὶ ἐπιλανθάνονται πάντων τῶν ἄνω· ὅθεν καὶ οἱ τὰς μετεμψυχώσεις δοξάζοντες, ἔλεγον μὴ μνημονεύειν τὰς ψυχὰς, ὅτα ἐν ἄλλοις σώμασιν οὖσαι ἔπραξαν· ἐκαλεῖτο δὲ ὁ ποταμὸς οὗτος Ὕδωρ τῆς Λήθης.

4. Παλαίει.) Ἐν δὲ καὶ τούτο τῶν Ἑρμοῦ ἐπιτηδευμάτων, περὶ ὧν ὅρα Α'. διάλ. γ'. — Καὶ αὕτη.) Ἡ κλεπτικὴ δηλ. τέχνη. — Ἐλευθ.) Οὐδὲν δηλ. μέλει αὐτῷ περὶ ἡμῶν. — Καὶ ταῦτα) Ἐννοεῖται, ποιεῖ. — Ἐξ ἡμ.) Τον γὰρ Ἑρμῆν καὶ τοῖς ἄνω, καὶ τοῖς κατω συναριθμοῦσι· τοῖς ἄνω μὲν, ὡς ὑπηρετοῦντα τοῖς Θεοῖς, τοῖς κάτω δὲ, ὡς κατάγοντα τὰς ψυχάς.

β'. Τι δὲ οἶδ.) τὸ παρ' ἡμῖν, τίς ἠξεύρει ἢ τί ἠξεύρεις, ἐὰν οὐκ ἔτυχεν αὐτῷ τις ἄσχ. — Δεηθ.) Ὁ νοῦς· εἰ ὁ Ζεὺς πλείονα τοῦ δέοντος χρείαν εἶχεν αὐτοῦ, ὥςτε χρήσασθαι αὐτῷ, ποδς τὰ ἄνω πράγματα. — Δεσπότης δὲ) Ὁ δὲ, αἰτιολογικὸς ἀντὶ τοῦ, γάρ. — Κἀκεῖν.) Καὶ ἐκεῖνος.

2. Ἀλλ' οὐχ ὥς.) Ἀλλ' οὐκ ἔστι δεσπότης, ὥςτε· ὁ δὲ ἀλλὰ ἔστιν ἀντιθετικὸς ἀντὶ τοῦ, οὕτως ἔχει, ἀλλ' οὐ. — Δέον.) Μετοχὴ ἀπρόσωπος ἀπόλυτος· οἷον· Ὅτε καιρὸς ἔστιν ἀπιέναι, ἡμεῖς οὐδέποτε κατεσχήκαμεν αὐτόν.

3. Ἀλλ' ἐγ.) Ἀντὶ τοῦ παρ' ἡμῖν. Ἔστω· ἐγὼ καταλαμβάνω, τις ἔστιν ἡ αἰτία. — Παρ' ἡμ.) Ἐπεξήγησις ταῦτα τῆς αἰτίας. Σημειωσαι δὲ ὅτι Ἀσρόδελος εἰδὸς ἐστι βρώσκης. Χοαὶ δὲ, τὸ ἐπιχεόμενον τοῖς νεκροῖς μελίκρατον. Πόπανα δὲ, πλακοῦς πυκνοὺς, λεπτὸς καὶ περιφερῆς. Ἐναγίσματα δὲ, τὰ προσφερόμενα τοῖς νεκροῖς εἰς τιμὴν θύματα. — Καὶ τοῦτ.) Ἐν τούτοις δὲ πᾶσιν ἐννοεῖται το, ἐστίν.

4. Ἀμβο.) Ἀμβροσια μὲν τὸ τῶν Θεῶν βρῶμα ἐκάλουν. Νέκταρ δὲ τὸ τῶν αὐτῶν πόμα. — Ὥςτε) Ὥςτε μοι ἔοικεν ὅτι ἔστιν ἡδιον αὐτῷ βραδύνειν παρ' ἐκείνοις, ἢ πρὸς ἡμᾶς ἐλθεῖν.

— Καιρὸς) Ἐννοεῖται, ἐστί.

γ'. Αὐτὸς οὗτ.) Ἐπιτασις δείξεως· οἷον. Ἰδοὺ αὐτὸς ὁ ἴδιός ἐστι πλησίον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αἰπόλιον, ἀθρόους αὐτοὺς τῇ ῥάβδῳ σοβῶν. Ἀλλὰ τί τοῦτο; δεδε- 2
μένον τινὰ ἐν αὐτοῖς, καὶ ἄλλον γελῶντα ὁρῶ, ἕνα δέ τινα καὶ πήραν
ἐξημμένον, καὶ ξύλον ἐν τῇ χειρὶ ἔχοντα, δριμὺ ἐνορῶντα, καὶ
τοὺς ἄλλους ἐπισπεύδοντα. Οὐχ ὁρᾷς δὲ καὶ τὸν Ἑρμῆν αὐτὸν 3
ἰδρῶτι ῥεόμενον, καὶ τῷ πόδε κεκονιμένον, καὶ πνευστιῶντα, μεστὸν
γοῦν ἄσθματος αὐτὸ τὸ στόμα; Τί ταῦτα, ὦ Ἑρμῆ; τίς ἡ σπουδή;
τεταραγμένῳ γὰρ ἡμῖν ἔοικας. — Ἑρμ. Τί δ' ἄλλο, ὦ Κλωθοί, 4
ἢ τουτονὶ τὸν ἀλιτήριον ἀποδράντα μεταδιώκων, ὀλίγου δεῖν λει-
πόνεως ὑμῖν τήμερον ἐγενόμην; — Κλωθ. Τίς δὲ ἐστιν; ἢ τί βουλό-
μενος ἀπεδίδρασκε; — Ἑρμ. Τουτὶ μὲν πρόδηλον, ὅτι ζῆν μᾶλ- 5
λον ἐβούλετο· ἔστι δὲ βασιλεύς τις ἢ τύραννος· ἀπὸ γοῦν τῶν ὀδυρ-
μῶν, καὶ ὧν ἀνακωκύει, πολλῆς τινος εὐδαιμονίας ἐστερῆσθαι
λέγων. — Κλωθ. Εἶθ' ὁ μάταιος ἀπεδίδρασκεν, ὡς ἐπιβιῶναι δυ- 6
νάμενος, ἐπιλελοιπότος ἤδη τοῦ ἐπικεκλωσμένου αὐτῷ νήματος.

δ΄. Ἑρμ. Ἀπεδίδρασκε, λέγεις; εἰ γὰρ μὴ ὁ γενναιότατος
οὗτος, ὁ τὸ ξύλον, συνήργησέ μοι, καὶ συλλαβόντες αὐτὸν ἐδήσα-
μεν, κἂν ᾤχετο ἡμᾶς ἀποφυγών. Ἀφ' οὗ γάρ μοι παραδέδωκεν αὐτὸν 2
ἡ Ἄτροπος, παρ' ὅλην τὴν ὁδὸν ἀντέτεινε, καὶ ἀντέσπα· καὶ τῷ
πόδε ἀντερείδων πρὸς τοὔδαφος, οὐ παντελῶς εὐάγωγος ἦν. Ἐνίοτε
δὲ καὶ ἱκέτευε, καὶ κατελιπάρει ἀφεθῆναι πρὸς ὀλίγον ἀξιῶν, καὶ
πολλὰ δώσειν ὑπισχνούμενος. Ἐγὼ δέ, ὥσπερ εἰκός, οὐκ ἀνίειν,
ὁρῶν ἀδυνάτων ἐφιέμενον. Ἐπεὶ δὲ κατ' αὐτὸ ἤδη τὸ στόμιον ἦμεν, 3
ἐμοῦ τοὺς νεκροὺς ὡς ἔθος ἀπαριθμοῦντος τῷ Αἰακῷ, κἀκείνου
λογιζομένου αὐτοὺς πρὸς τὸ παρὰ τῆς σῆς ἀδελφῆς πεμφθὲν αὐτῷ
σύμβολον, λαθὼν, οὐκ οἶδ' ὅπως, ὁ τρισκατάρατος ἀπιὼν ᾤχετο.

---

2. Ἀλλὰ τί) Ἔστιν, ὅπερ ὁρῶ. — Δεδεμ.) Ἤτοι ὁρῶ δεδεμένον τινὰ, καὶ ἄλλον γελῶντα, ἕνα δέ τινα καὶ ἐξημμένον πήραν, καὶ ἔχοντα ξύλον. — Ἐξημ.) Μετ. τοῦ ἐξάπτω.

4. Τουτονὶ) Τοῦ, κατ' ἐπέκτασιν πρὸς πλείονα δεῖξιν. — Δεῖν) Δέον, καὶ κατὰ συναίρεσιν Δεῖν· καὶ ἔστιν ἀπρόσωπος μετοχὴ ἀπόλυτος. — Λειπόν.) Ὁ νοῦς· μικροῦ ἐδέησε καταλιπεῖν σήμερον τὴν ναῦν ὑμῶν. Ἀνέρρωστος γὰρ ἄλλως ἡ ὀστοῖς, περιποιητικὴ οὖσα.

5. Ἔστερ.) Ὁ νοῦς. Ἔστι γὰρ εἰκάσαι αὐτὸν τύραννον ὄντα ἀπὸ γοῦν τῶν ὀδυρμῶν, καὶ ἀφ' ὧν κωκύει, λέγων ἐστερῆσθαι πολλῆς τινος εὐδαιμονίας.

6. Ὡς ἐπιβ.) Τὸ δὲ Ὡς ἐνταῦθα εἰκαστικόν. οἷον ὡς ὅθεν δυνάμενος. — Ἐπικεκλ.) Λέγεται γὰρ ὡς ἐν ἀτράκτῳ στρέφει ἡ Κλωθὼ τὸ νῆμα τῆς ἑκάστου ζωῆς, καὶ συμπληροῦται τῷ νήματι ὁ χρόνος τῆς ζωῆς ἑκάστου· καὶ τοῦτο ἐπὶ τοῦ κατὰ φύσιν· ὅτε δὲ ἄλλοι παρ' ὥραν ἀποθνήσκουσιν ἄνθρωποι, ἡ Ἄτροπος αἰτία, κόπτουσα τὸ νῆμα ταῖς ψαλίσιν, οὗ κοπέντος, κόπτεται καὶ ἡ ζωή, δι' οὗ κλώθεται τὸ νῆμα.

δ΄. Ὁ τὸ ξύλ.) Ἐννοεῖται, ἔχων, ἢ φέρων. — Κάν) Βεβαιωτικός πως ὁ κάν, καὶ δυνητικός· οἷον· πάντως ἂν ᾤχετο· τὸ δ' ᾤχετο ἡμᾶς ἀποφυγὼν, φράσις· αντὶ τοῦ παρ' ἡμῖν. καὶ ἦν δυνατὸν αὐτῷ ἵνα ἀποφύγῃ ἡμᾶς.

2. Ἄτροπ.) Μοῖρα ἐστὶν αὕτη ἡ τὰ γινόμενα μὴ συγχωροῦσα τρέπεσθαι· διὸ φασὶ, ταύτην παραδιδόναι τοὺς νεκροὺς τῷ Ἑρμῇ.

3. Ἤμεν) Ἐν Ταινάρῳ τῆς Λακωνικῆς ἀκρωτηρίῳ λέγουσιν εἶναι τὸ στόμιον τοῦ ἅδου, ἀφ' οὗ οἱ νεκροὶ, φασὶν, ἐπὶ τὸν ἅδην κατέρχονται. — Κἀκείν.) Τοῦ Αἰακοῦ — Ἀδελφ.) Ἀτρόπου· ἤγ. — Οὐκ οἶδ') Οἷον. Ἄγνοῶ, ὅν τινα τρόπον λαθών. — ὬΙχετο) Τὸ δ' ἀπιὼν ᾤχετο, φράσις ἐστὶν, ἀντὶ τοῦ, ἔφυγεν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

4 Ἐνέδει οὖν νεκρὸς εἷς τῷ λογισμῷ· καὶ ὁ Αἰακὸς ἀνατείνας τὰς ὀρρῦς, «Μὴ ἐπὶ πάντων, ὦ Ἑρμῆ, φησί, χρῷ τῇ κλεπτικῇ, ἅλις σοι αἱ ἐν οὐρανῷ παιδιαί· τὰ νεκρῶν δὲ ἀκριβῆ, καὶ οὐδαμῶς λαθεῖν δυνάμενα· τέτταρας, ὡς ὁρᾷς, πρὸς τοῖς χιλίοις ἔχει τὸ σύμβολον ἐγκεχαραγμένους· σὺ δέ μοι παρ' ἕνα ἥκεις ἄγων·
5 εἰμὴ τοῦτο φῄς, ὡς παραλελογίσται σε ἡ Ἄτροπος». Ἐγὼ δὲ ἐρυθριάσας πρὸς τὸν λόγον, ταχέως ὑπεμνήσθην τῶν κατὰ τὴν ὁδόν. Κἀπειδὴ περιβλέπων οὐδαμοῦ τοῦτον εἶδον, συνεὶς τὴν ἀπόδρασιν,
6 ἐδίωκον ὡς εἶχον τάχους κατὰ τὴν ἄγουσαν πρὸς τὸ ῥῶς. Εἵπετο δ' αὐθαίρετός μοι ὁ βέλτιστος οὗτος· καὶ ὥσπερ ἀπὸ ὑσπληγγος θέοντες, καταλαμβάνομεν αὐτὸν ἤδη ἐν Ταινάρῳ· παρὰ τοσοῦτον ἦλθε διαφυγεῖν.

ε. Κλωθ. Ἡμεῖς δέ, ὦ Χάρων, ὀλιγωρίαν ἤδη τοῦ Ἑρμοῦ
2 κατεγινώσκομεν. — Χάρ. Τί οὖν ἔτι διαμέλλομεν, ὡς οὐχ ἱκανῆς ἡμῖν γεγενημένης διατριβῆς; — Κλωθ. Εὖ λέγεις· ἐμβανέτωσαν. Ἐγὼ δὲ προχειρισαμένη τὸ βιβλίον, καὶ παρὰ τὴν ἀποβάθραν καθεζομένη, ὡς ἔθος, ἐπιβαίνοντα ἕκαστον αὐτῶν διαγνώσομαι, τίς, καὶ πόθεν, καὶ ὅν τινα τεθνεώς τὸν τρόπον.
3 Σὺ δὲ παραλαμβάνων στοίβαζε, καὶ συντίθει, ὦ Ἑρμῆ. Σὺ δὲ τὰ νεογνὰ ταυτί πρῶτα ἐμβαλοῦ· τί γὰρ ἂν καὶ ἀποκρίναιν-
4 τό μοι; — Ἑρμ. Ἰδοὺ δή σοι, ὦ πορθμεῦ, τὸν ἀριθμὸν οὗτοι οἱ τριακόσιοι μετὰ τῶν ἐκτεθειμένων. — Χάρ. Βαβαὶ τῆς εὐαγορίας!
5 ἀμφακίας ἡμῖν νεκροὺς ἥκεις ἄγων. — Ἑρμ. Βούλει, ὦ Κλωθοί, τοὺς ἀκλαύστους ἐπὶ τούτοις ἐμβιβασώμεθα; — Κλωθ. Τοὺς γέροντας λέγεις; οὕτω ποίει. Τί γάρ με δεῖ πράγματα ἔχειν,

---

4. Ἅλις σοι) Ἱκαναὶ δηλ. εἰσὶν αἱ παιδιαί, ἃς ἐν οὐρανῷ ποιεῖς. — Παρ' ἕν.) Ἑνὸς ἐλλείποντος. — Φῄς.) Τὸ δὲ εἰ μή, ἐξαιρετικὸν οἷον· πλὴν ἐὰν τοῦτο λέγῃς.

5. Τῶν κατὰ τὴν ὁδ.) Ὅσα δηλ. συνέθησαν ἐν τῇ ὁδῷ ὑπὸ τοῦ τυράννου πραχθέντα. — Ὡς εἶχον τ.) Ὅσον εὐυνάμην ταχέως. — Ἄγουσ.) Ὁδὸν δηλ.

6. Εἵπετ.) Εἵπετο δέ μοι αὐθαίρετος. Ἐτέθη δὲ ἡ δοτικὴ μετὰ τὸ αὐθαίρετος, ἵνα μὴ μόνον πρὸς τὸ εἵπετο φέρηται, ἀλλὰ καὶ πρὸς τὸ αὐθαίρετος χαριστικῶς· ὡς εἰ ἔλεγεν. Εἵπετο δέ μοι, χαριζόμενός μοι, μόνος ἀφ' ἑαυτοῦ. — Ὑσπλήγ.) Κατὰ μεταφορὰν τῆς ἀπὸ τοῦ ἀγῶνος Ἀφετηρίας. εἰς γὰρ τῶν ἀγώνων ὁ δρόμος· τούτου δὲ, ὁ μὲν τόπος, ἀφ' οὗ ἀφίενται πρέχειν, λέγεται ἀφετηρία, καὶ Ὑσπληξ, καὶ Βαλβίς· πρὸς ὃν δὲ δεῖ ῥθάσαντας λαβεῖν τὸ ἆθλον, Νύσσα, ὅθεν καὶ παροιμία. Πρὸς τὴν Νύσσαν κίνει τὸν πῶλον. — Παρὰ αὐτοῖς ἔστησαν μετὰ τὸν Πελοποννη-

ε. 2. Γεγεν.) Ἡ σύνταξις κατὰ τὸν ἀπόλυτον λεγόμενον τρόπον τῆς μετοχῆς.

3. Ταυτί) Ταῦτα καὶ κατ' ἐπέκτασιν τοῦ ι, ταυταί, καὶ συγκοπῇ ταυτί. — Ἐμβαλ.) Οἷον· Ἀράμενος ἐμβαλε εἰς τὴν ναῦν. Ἀναιρεῖται δὲ καὶ τοῦτο πρὸς τὸν Ἑρμῆν κατ' ἐπανάληψιν.

4. Ἐκτεθ.) Ὁ νοῦς. Ἰδοὺ οὗτοι οἱ ὄντες τριακόσιοι τὸν ἀριθμὸν μετ' ἐκείνων, ὅσοι ἐκτεθειμένοι ἀπέθανον, παραδιδόναι σοι, ὦ Χάρων. Ἐκτεθειμένοι δὲ λέγονται, οὓς αἱ μητέρες εἰς νάους ἢ ἐν τριόδοις ἐκτιθέασιν.

5. Ἐμβιβ.) Ἐννοεῖται ἵνα· οἷον. Βούλει, ὦ Κλωθοῖ· ἵνα ἐμβιβ. — Τὰ πρὸ Εὐλ.) Καταδύσαντες Ἀθηναῖοι τοὺς τριάκοντα τυράννους, οὓς Λακεδαιμόνιοι παρ'

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὰ πρὸ Εὐκλείδου πῶς νῦν ἐξετάζουσαν; Οἱ ὑπὲρ ἑξήκοντα ὑ- 6
μεῖς πάριτε ἤδη. Τί τοῦτο; οὐκ ἐπακούουσί μου, βεβυσμένοι
τὰ ὦτα ὑπὸ τῶν ἐτῶν· δεήσει τάχα καὶ τούτοις ἀράμενον πα-
ραγαγεῖν. — Ἑρμ. Ἰδοὺ πάλιν οὗτοι δυεῖν δέοντες τετρακό- 7
σιοι, τακεροὶ πάντες, καὶ πέπειροι, καὶ καθ' ὥραν τετρυγη-
μένοι. — Κλωθ. Νὴ Δί', ἐπεὶ ἀσταφίδες γε πάντες ἤδη εἰσί.

ϛ΄. Τοὺς τραυματίας ἐπὶ τούτοις, ὦ Ἑρμῆ, παράγαγε καὶ
πρῶτόν μοι εἴπατε, ὅπως ἀποθανόντες ἥκετε; μᾶλλον δὲ αὐτὴ
πρὸς τὰ γεγραμμένα ὑμᾶς ἐπισκέψομαι· πολεμοῦντας ἀποθανεῖν
ἔδει χθὲς ἐν Μηδίᾳ τέτταρας ἐπὶ τοῖς ὀγδοήκοντα, καὶ τὸν
Ὀξυάρτου υἱὸν μετ' αὐτῶν Γωβάρην. — Ἑρμ. Πάρεισι. — 2
Κλωθ. Δι' ἕρωτα αὐτοὺς ἀπέσφαξαν ἑπτά· καὶ ὁ φιλόσοφος 3
Θεαγένης, διὰ τὴν ἑταίραν τὴν Μεγαρόθεν. — Ἑρμ. Οὗτοί
πλησίον. — Κλωθ. Ποῦ δὲ οἱ περὶ τῆς βασιλείας ὑπ' ἀλλή-
λων ἀποθανόντες; Ἑρμ. Παρεστᾶσιν. — Κλωθ. Ὁ δ' ὑπὸ τοῦ
μοιχοῦ καὶ τῆς γυναικὸς φονευθείς; — Ἑρμ. Ἰδοὺ σοι πλησίον.
— Κλωθ. Τοὺς ἐκ δικαστηρίων ὄντα παράγαγε· λέγω δὴ τοὺς 4
ἐκ τυμπάνου, καὶ τοὺς ἀνεσκολοπισμένους. Οἱ δ' ὑπὸ λῃστῶν
ἀποθανόντες ἑκκαίδεκα, ποῦ εἰσίν, ὦ Ἑρμῆ; — Ἑρμ. Πάρει-
σιν οἵδε οἱ τραυματίαι, οὓς ὁρᾷς. Τὰς δὲ γυναῖκας ἅμα βού- 5
λει παραγάγω; — Κλωθ. Μάλιστα, καὶ τοὺς ἀπὸ ναυσγίων
γε· ἅμα γὰρ τεθνᾶσι, καὶ τὸν ὅμοιον τρόπον. Καὶ τοὺς ἀπὸ τοῦ πυ-
ρετοῦ δέ, καὶ τούτους ἅμα· καὶ τὸν ἰατρὸν Ἀγαθοκλέα μετ'
αὐτῶν.

ζ΄. Ποῦ δὲ ὁ φιλόσοφος Κυνίσκος, ὃν ἔδει τῆς Ἑκάτης τὸ
δεῖπνον φαγόντα, καὶ τὰ ἐκ τῶν καθαρσίων ὠά, καὶ πρὸς τοῦ-

σιακὸν καλούμενον πόλεμον, Εὐκλείδαν κατέστησαν ἄρχοντα, καὶ συνθήκας ἐποιήσαντο, ἵνα τὰ πρὸ Εὐκλείδου ἄκυρα ᾖ. Τοιοῦτον οὖν λέγει Κλωθώ· τῶν πάνυ γερόντων ἀναζητῆσαι τὸν βίον οὐ βούλομαι.

6. Οἱ ὑπὲρ ἑξ.) Ἐννοεῖται· ἔτη γεγονότες.

—Τούτοις) Ἡδοτικὴ πρὸς τὸ δεῖκνυ.

7. Τετρακ.) Ἤτοι. Τριακόσιοι ἐννενήκοντα ὀκτώ. — Τετρυγ.) Ἀπὸ μεταφορᾶς τῶν σταφυλῶν ταῦτα.

ϛ΄. Γωβάρ.) Ὀξυάρτης, οὗ Ἀλέξανδρος ὁ Φιλίππου τὴν θυγατέρα Ῥοξάνην ἔγημεν, ἔσχεν υἱὸν Ἰστάνην. Ὁ δὲ Λουκιανὸς παίζων, ὡς ἔτυχε δοκεῖ χρῆσθαι τοῖς ὀνόμασιν· ἢ γοῦν λέγει τινὰς τῶν καθ' αὑτὸν πρὸς ἱστορίαν ἀσήμους.

3. Θεαγέν.) Καὶ ὁ φιλόσοφος οὗτος πεπλασμένος δοκεῖ· ἢ γοῦν τινα τῶν δοκησιόφων ἐν τοῖς καθ' αὐτὸν χρόνοις παίζων εἰσάγει ἐνταῦθα ὡς ἐρῶντα. — Οὗτοι) Τὸ ι κατ' ἐπέκτασιν· ἀντὶ οὗτοι.

4. Παράγ.) Φονευθέντας δηλ. — Τυμπάν.) Φονευθέντας. Ἤτοι γὰρ ἔθος ἦν τυμπάνοις πρὸς τὸν τῆς καταδίκης τόπον ἄγειν τοὺς καταδικασθέντας· ἢ γοῦν ὄργανον φονευτήριον ἦν τοῦτο τὸ τύμπανον.

5. Παραγ.) Ἐλλείπει δὲ ὁ Ἵνα. — Ναυαγ.) Ἀποθανόντας παράγαγε δηλ. — Τὸν ὅμοιον τρόπον) Ἐλλείπει ἡ Κατά. — Πυρετ.) Ἀποθανόντας δηλ. παράγαγε.

4. Ἅμα) Παράγαγε δηλ.

ξ΄. Φαγόντ.) Ταῦτα γὰρ ὡς ἔοικεν ἐν τῷ τῆς Ἑκάτης ἐτίθετο δεῖπνῳ ἐν τριόδοις, ὠά, καὶ σηπίαι ὅμαι. — Ἑκάτ. Χρόν.) Ἐλλείπει ἡ Κατά.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

2 τοις γε, σηπίαν ὡμὴν, ἀποθανεῖν; — Κυν. Πάλαι σοι παρέστηκα, ὦ βελτίστη Κλωθοῖ. Τί δέ με ἀδικήσαντα, τοσοῦτον εἴασας ἄνω τὸν χρόνον; σχεδὸν γὰρ ὅλον μοι τὸν ἄτρακτον ἐπέκλωσας. Καί τοι πολλάκις ἐπειράθην τὸ νῆμα διακόψας ἐλ-
3 θεῖν· ἀλλ' οὐκ οἶδ' ὅπως ἀῤῥήκτον ἦν. — Κλωθ. Ἔρρόν σε, καὶ ἰατρὸν εἶναι τῶν ἀνθρωπίνων ἁμαρτημάτων ἀπελίμπανον· ἀλλ' ἐμβαινε ἀγαθῇ τύχῃ. — Κυνίσ. Μὰ Δί', ἢν μὴ πρότερόν γε τουτονὶ τὸν δεδεμένον ἐμβιβασώμεθα· δέδια γὰρ μή σε παραπείσῃ δεόμενος.

ἡ. Κλωθ. Φέρ' ἴδω τίς ἐστιν. — Ἑρμ. Μεγαπένθης ὁ Λα-
2 κύδου τύραννος. — Κλωθ. Ἐπίβαινε σύ. — Μεγαπ. Μηδαμῶς, ὦ δέσποινα Κλωθοῖ· ἀλλά με πρὸς ὀλίγον ἔασον ἀνελθεῖν· εἶτά σοι αὐτόμολος ἥξω, καλοῦντος μηδενός. — Τί δ' ἔστιν, οὐ χάριν ἀρικέσθαι θέλεις; — Μεγαπ. Τὴν οἰκίαν ἐκτελέσαι μοι πρότερον ἐπίτρεψον· ἡμιτελὴς γὰρ ὁ δόμος καταλέλειπται. —
3 Κλωθ. Ληρεῖς· ἀλλ' ἔμβαινε. — Μεγαπ. Οὐ πολὺν χρόνον, ὦ Μοῖρα, αἰτῶ· μίαν με ἔασον μεῖναι τὴν δε ἡμέραν, ἄχρις ἄν τι ἐπισκήψω τῇ γυναικὶ περὶ τῶν χρημάτων, ἔνθα τὸν μέγαν εἶχον θησαυρὸν κατορωρυγμένον. — Κλωθ. Ἄραρεν· οὐκ ἂν τύ-
4 χοις. — Μεγαπ. Ἀπολεῖται οὖν ὁ χρυσὸς τοσοῦτος; — Κλωθ. Οὐκ ἀπολεῖται· θάῤῥει τούτου γε ἕνεκα· Μεγακλῆς γὰρ αὐτὸν ὁ σὸς ἀνεψιὸς παραλήψεται. — Μεγαπ. Ὦ τῆς ὕβρεως! ὁ ἐχθρὸς,
5 ὃν ὑπὸ ῥαθυμίας ἔγωγε οὐ προαπέκτεινα; — Κλωθ. Ἐκεῖνος αὐτός· καὶ ἐπιβιώσεταί σοι ἔτη τετταράκοντα, καὶ μικρόν τι πρὸς, τὰς παλλακίδας, καὶ τὴν ἐσθῆτα, καὶ τὸν χρυσὸν ὅλον σου πα-
6 ραλαβών. — Μεγαπ. Ἀδικεῖς, ὦ Κλωθοῖ, τὰμὰ τοῖς πολεμιωτάτοις διανέμουσα. — Κλωθ. Σὺ γὰρ οὐχὶ Κυδιμάχου αὐτὰ ὄντα, ὦ γενναιότατε, παρειλήφεις, ἀποκτείνας τε αὐτὸν, καὶ τὰ παιδία ἔτι ἐμπνέοντι ἐπισφάξας; — Μεγαπ. Ἀλλὰ νῦν ἐμὰ ἦν. — Κλωθ. Οὐκοῦν ἐξήκει σοι ὁ χρόνος ἤδη τῆς κτήσεως.

---

3. Ἀγαθῇ τύχῃ) Εὐτυχῶς· τὸ παρ' ἡμῖν, Ὥρα καλῇ. — Μὰ Δί') Ἀρνητικόν· ἀντὶ τοῦ Οὐκ ἐμβαίνω τῇ ἀληθείᾳ.

ἡ. Μεγαπ.) Δοκεῖ δέ τις ἡγεμὼν εἶναι ὁ Μεγαπένθης οὗτος τῶν ἐν Καρίᾳ, ἢ Ἰωνίᾳ· ἢ γοῦν πέπλασται καὶ τοῦτο τὸ ὄνομα, τῶν καθ' αὑτόν τινα διατύραι βουλομένῳ Λουκιανῷ, ὡς εἰθισμένον αὐτῷ.

3. Τὴν δε ἡμ.) Μίαν ἡμέραν ταύτην. — Ἄραρ.) Ἔστι δὲ ἀνώμαλον ἐν χρήσει ποιητικῇ ἀπὸ Αἰσχύλου ληφθὲν ἐν Προμηθεῖ. 61. ῥηθὲν οἶον.

Ἄραρεν, ἡ δὲ γ' ἀλένη δυσέκλυτος.

Ἡσύχιος δὲ φησιν, ὅτι ἄραρεν σημαίνει τὸ ἡρμόσθη, ἢ παγίως δέδοκται, ἢ κέκριται.

5. Μικρόν τι πρὸς) Ἐλλείπει τούτοις· ἢ ἢ. Καὶ μικρόν τι πρὸς τούτοις τοῖς τετταράκοντα.

6. Σὺ γὰρ) Οἷον. Οὐκ ἀδικῶ· καὶ σὺ γὰρ Κυδιμ. — Ἐπισφ.) Αὐτῷ σφάξας δηλ. τὰ παιδία ἐπ' αὐτῷ ἔτι ἐμπνέοντι. — Οὐκοῦν ἐξ) Ὅπερ ἐστὶν· ὁ χρόνος καθ' ὃν ἔδει σὲ ταῦτα κεκτῆσθαι, παρῆλθεν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

9. Μεγαπ. Ἄκουσον, ὦ Κλωθοῖ, ἃ σοι ἰδίᾳ μηδενὸς ἀκούοντος εἰπεῖν βούλομαι· ὑμεῖς δὲ ἀπόστητε πρὸς ὀλίγον. Ἂν με ἀφῇς ἀποδρᾶναι, χίλιά σοι τάλαντα χρυσίου ἐπισήμου δώσειν ὑπισχνοῦμαι τήμερον. — Κλωθ. Ἔτι γὰρ χρυσὸν, ὦ γελοῖε, καὶ τάλαντα διὰ μνήμης ἔχεις; — Μεγαπ. Καὶ τοὺς δύο δὲ κρατῆρας, εἰ βούλει προσθήσω οὓς ἔλαβον ἀποκτείνας Κλεόκριτον, ἕλκοντας ἑκάτερον χρυσοῦ ἀπέφθου τάλαντα ἑκατόν. — Κλωθ. Ἕλκετε αὐτόν· ἔοικε γὰρ οὐκ ἐπεμβήσεσθαι ἡμῖν ἑκών. — Μεγαπ. Μαρτύρομαι ὑμᾶς, ἀτελὲς μένει τὸ τεῖχος, καὶ τὰ νεώρια. Ἐξετέλεσα γὰρ ἂν αὐτὰ ἐπιθισὺς πέντε μόνας ἡμέρας. — Κλωθ. Ἀμέλησον· ἄλλος τειχιεῖ. — Μεγαπ. Καὶ μὴν τοῦτό γε πάντως εὔγνωμον αἰτῶ. — Κλωθ. Τὸ ποῖον; — Μεγαπ. Ἐς τοσοῦτον ἐπιβιῶναι, μέχρις ἂν ὑπαγάγωμαι Πισίδας, καὶ Λυδοῖς ἐπιθῶ τοὺς φόρους, καὶ μνῆμα ἑαυτῷ παμμέγεθες ἀναστήσας, ἐπιγράψω ὁπόσα ἔπραξα μεγάλα καὶ στρατηγικὰ παρὰ τὸν βίον. — Κλωθ. Οὗτος, οὐκ ἔτι μίαν ἡμέραν αἰτεῖς, ἀλλὰ σχεδὸν ἔκοσιν ἐτῶν διατριβήν.

ί. Μέγαπ. Καὶ μὴν ἐγγυητὰς ὑμῖν ἕτοιμος παρασχέσθαι τοῦ τάχους, καὶ τῆς ἀπανόδου· εἰ βούλεσθε δὲ, καὶ ἄνανδρον ὑμῖν ἀντ' ἐμαυτοῦ παραδώσω τὸν ἀγαπητόν. — Κλωθ. Ὦ μιαρὲ, ὃν ἠύχου πολλάκις ὑπὲρ γῆς καταλιπεῖν; — Μεγαπ. Πάλαι ταῦτ' ηὐχόμην· νυνὶ δὲ ὁρῶ τὸ βέλτιον. — Κλωθ. Ἥξει κἀκεῖνός σοι μετ' ὀλίγον, ὑπὸ τοῦ νεωστὶ βασιλεύοντος ἀνῃρημένος.

ιά. Μεγαπ. Οὐκοῦν ἀλλὰ τοῦτό γε μὴ ἀντείπῃς, ὦ Μοῖρά, μοι. — Κλωθ. Τὸ ποῖον; — Μεγαπ. Εἰδέναι βούλομαι τὰ μετ' ἐμὲ ὅν τινα ἕξει τὸν τρόπον. — Κλωθ. Ἄκουε, μᾶλλον γὰρ ἀνιάσῃ μαθών. Τὴν μὲν γυναῖκά σοι Μίδας ὁ δοῦλος ἕξει, καὶ πάλαι δὲ

9'. Μηδενὸς ἀκ.) Ἤτοι κατ' ἔλλειψιν προθέσεώς ἐστιν· οἷον. Ἐπὶ μηδενὸς ἀκούοντος, ἢ γοῦν ἀπόλυτος· ὃ καὶ μᾶλλον. — Ἔτι γὰρ) Παρελκει ὁ Γὰρ, ἔμφασιν τινα ἔχων κατὰ τὰ παραπήγματικὰ καλούμενα. — Διὰ μνήμης ἔχ.) Ἀντὶ, μνημονεύεις· τὸ γὰρ ἔχων μετὰ τῆς Διὰ γενικῆ συνταττομένης περιφραστικῶς λέγεται ἀντὶ τοῦ ἐκ τοῦ ὀνόματος ῥήματος· οἷον· διὰ μνήμης ἔχω· ἀντὶ τοῦ μνημονεύω· διὰ τιμῆς ἔχω, ἀντὶ τιμῶ· καὶ τὰ τοιαῦτα.

2. Χρυσοῦ ἀπ.) Ἄπεφθος χρυσὸς, ὁ πολλάκις ἑψηθεὶς, καὶ καθαθεὶς· οὗτος ἐλέγετο ὁ καθαρώτατος χρυσὸς· ὁ παρ' ἡμῖν λεγόμενος, Δαγάρα.

3. Μαρτύρ.) Βεβαιοῦ· ὅλ. εἰς μαρτυρίαν ὑμᾶς ἐπικαλούμενος.

4. Ἑαυτ.) Ἀντὶ, Ἐμαυτῷ. Σπουδασανὲς δὲ τοῦτο, καὶ σπανίως ἐπὶ τοῦ ἑαυτοῦ ἐτέθη· δι', ὡς δοκεῖ, διὰ τὴν μετοχὴν πρόσωπα μὴ διαφέροντα.

ί. Τοῦ τάχους) Ἐλλείπει Ἕνεκα. — Ἀνάνδ.) Ἀνανδρος ὁ εἰς ὄλλου ἄνδρος τόπον τιθεὶς· ὁ δὲ τοι σχολιαστὴς κύριον φησὶν ὄνομα εἶναι τῆς Ἀνανδρου· ὑποπτεύω δ' ἂν ἀληθῆ, ὁ νοῦς οὐ παραινεῖται. — Παραδ.) Ὁ νοῦς. Δώσω ἀντὶ ἐμαυτοῦ ἄλλον ἄνδρα τὸν ἀγαπῶν μου υἱόν.

2. Ὃν ηὔχου) Ἐκείνον δώσεις, ὃν ἠύχ. Ὃν τινα) Τινὰ ὅλ. κατάπτωσιν ἐξουσι τὰ μετ' ἐμέ. — Καὶ πάλαι δὲ) Ὁ Δὲ ἀντὶ τοῦ Γὰρ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτὴν ἐμοίχευεν. — Μεγαπ. Ὁ κατάρατος, ὃν ἐγὼ πειθόμενος
3 αὐτῇ, ἀφῆκα ἐλεύθερον. — Κλωθ. Ἡ Θυγάτηρ δέ σοι, ταῖς παλλακίσι τοῦ νυνὶ τυραννοῦντος ἐγκαταλεχθήσεται· εἰκόνες δὲ καὶ ἀνδριάντες, οὓς ἡ πόλις ἀνέστησέ σοι πάλαι, πάντες ἀνατετραμμέ-
4 νοι, γέλωτα παρέξουσι τοῖς Θεομένοις. — Μεγαπ. Εἰπέ μοι, τῶν φίλων δὲ οὐδεὶς ἀγανακτεῖ τοῖς δρωμένοις; — Κλωθ. Τίς γὰρ ἦν σοι φίλος; ἢ ἐκ τίνος αἰτίας δικαίας γενόμενος; ἀγνοεῖς ὅτι καὶ πάντες οἱ προσκυνοῦντες καὶ τῶν λεγομένων καὶ πραττομένων ἕκαστα ἐπαινοῦντες, ἢ φόβῳ, ἢ ἐλπίσι, ταῦτ' ἔδρων, τῆς ἀρχῆς
5 ὄντες φίλοι, καὶ πρὸς τὸν καιρὸν ἀποβλέποντες; — Μεγαπ. Καὶ μὴν σπένδοντες ἐν τοῖς συμποσίοις, μεγάλῃ τῇ φωνῇ ἐπηύχοντό μοι πολλὰ καὶ ἀγαθά, προαποθανεῖν ἕκαστος αὐτῶν ἕτοιμος, εἰ οἷόν
6 τε εἶναι· καὶ ὅλως, ὅρκος αὐτοῖς ἦν ἐγώ. — Κλωθ. Τοιγαροῦν παρ' ἑνὶ αὐτῶν χθὲς δειπνήσας, ἀπέθανες. Τὸ γὰρ τελευταῖόν σοι πιεῖν ἐνεχθέν, ἐκεῖνο δευρὶ κατέπεμψέ σε. — Μεγαπ. Τοῦτ' ἄρα πικροῦ τινος ἠσθόμην· τί βουλόμενος δὲ ταῦτ' ἔπραξε; — Κλωθ. Πολλὰ μὲ ἀνακρίνει· ἐμβῆναι χρεών.

ιϛ'. Μεγαπ. Ἐν μὲ πνίγει μάλιστα, ὦ Κλωθοῖ, διόπερ ἐπέθουν καὶ πρὸς ὀλίγον ἐς τὸ φῶς ἀνακύψαι πάλιν. — Κλωθ.
2 Τί δὲ τοῦτό ἐστιν; ἔοικε γάρ τι παμμέγεθες εἶναι. — Μεγαπ. Καρίων ὁ ἐμὸς οἰκέτης, ἐπεὶ τάχιστά με ἀποθανόντα εἶδε, περὶ δεῖλην ὀψίαν ἀνελθὼν ἐς τὸ οἴκημα, ἔνθα ἐκείμην, σχολῆς οὔσης, (οὐδεὶς γὰρ οὐδὲ ἐφύλαττέ με) Γλυκέριον τὴν παλλακίδα μου, (καὶ πάλαι δέ, οἶμαι, κεκοινωνήκεσαν) παραγαγών, ἐπισπασάμενος τὴν Θύραν, ἐσπόδει, καθάπερ οὐδενὸς ἔνδον παρόντος· εἶτ' ἐπειδὴ ἅλις εἶχε τῆς ἐπιθυμίας, ἀποβλέψας ἐς ἐμέ, σὺ μέν τοι, φησίν, ὦ μιαρὸν ἀνθρώπιον, πληγάς μοι πολλάκις οὐδὲν ἀδικοῦντι ἐνέτεινας, καὶ ταῦθ' ἅμα λέγων, παρέτιλλέ τέ με καὶ κατὰ κόρρης ἔπαιε· τέλος δὲ, πλατὺ χρεμψάμενος, καὶ καταπτύσας μου, καὶ ἐς τὸν τῶν ἀσεβῶν χῶρον ἄπιθι ἐπειπών, ὤχετο· ἐγὼ δὲ, ἀνεπιμπράμην μέν, οὐκ εἶχον δὲ ὅμως ὅ,τι καὶ

---

4. Γενόμ.) Ἐννοεῖται, φίλος σοί ἐστιν παρευθὺς γινομένων· ἀντὶ τοῦ εἰπεῖν. Ἐπεὶ ἀποθανόντα με εἶδε. τάχιστα ἀνελθὼν καὶ τλ. — Ἐπισπασ.) κλείσας δηλ. καὶ ἀσφαλίσας.

5. Μεγάλ. τῇ φωνῇ) Ἐν μεγ. τῇ φ. — Προαποθανεῖν) Ἀποθανεῖν δηλ. πρότερον, ἢ ἀντὶ ἐμοῦ. — Εἰ οἷόν τε) Ἐννοεῖται ἦν· τὸ δὲ εἶναι καταπλεονασμὸν κεῖται. — Ἦν ἐγ.) Εἰς ἐμὲ δηλ. ἐποίουν τὸν ὅρκον.

— Ἐνέτ.) Περίφρασις ἀντὶ τοῦ, Ἔδειράς με.

6. Δευρὶ) Δεῦρο· καὶ κατ' ἐπέκτασιν δευροὶ καὶ δευρί.

— Ἄρα) Διὰ τοῦτο οὖν.

— Ἔπαιε) Ἐβράπιζε· περίφρασις γὰρ τὸ κατὰ κόρρης παίειν. — Χρεμψάμενος) Τὸν ἐν τῷ στόματι σίελον συναγαγὼν, καὶ ἄλλον προσθεὶς διὰ τοῦ λάρυγγος. — Ἐνεπιμπράμην) Ἐκαιόμην, ἐ-

ιϛ'. 2. Τάχιστ.) Χρῶνται ταύτῃ τῇ φράσει Ἀττικοὶ ἐπὶ τῶν ἀνυπερθέτως καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δράσαιμι αὐτόν, αὖος ἤδη καὶ ψυχρὸς ὤν. Καὶ ἡ μιαρὰ δὲ παιδίσκη, ἐπεὶ ψόφου προσιόντων τινῶν ἥσθετο, στέλῳ χρίσασα τοὺς ὀφθαλμούς, ὡς δακρύσασα ἐπ' ἐμοί, κωκύουσα, καὶ τοὔνομα ἐπικαλουμένη, ἀπηλλάττετο· ὧν εἰ λαβοίμην.

γ΄. Κλωθ. Παῦσαι ἀπειλῶν· ἀλλ' ἔμβηθι, καιρὸς ἤδη σοι ἁπαντᾷν ἐπὶ τὸ δικαστήριον.—Μεγαπ. Καὶ τίς ἀξιώσει κατ' ἀνδρὸς τυράννου ψῆφον λαβεῖν;—Κλωθ. Κατὰ τυράννου μὲν οὐδείς, 2
κατὰ νεκροῦ δὲ ὁ Ῥαδάμανθυς, ὃν αὐτίκα μάλα ὄψει δίκαιον, καὶ κατ' ἀξίαν ἐπιτιθέντα ἑκάστῳ τὴν δίκην· τὸ δὲ νῦν ἔχον, μὴ διάτριβε.—Μεγαπ. Κἂν ἰδιώτην με ποίησον, ὦ Μοῖρα, τῶν πενήτων ἕνα, 3
κἂν δοῦλον ἀντὶ τοῦ πάλαι βασιλέως· ἀναβιῶναί με ἔασον μόνον.
—Κλωθ. Ποῦ ἐστι ὁ τὸ ξύλον; καὶ σὺ δέ, ὦ Ἑρμῆ, σύρετ' αὐτὸν εἴσω τοῦ ποδός· οὐ γὰρ ἂν ἐμβαίη ἑκών.— Ἑρμ. Ἕπου νῦν δραπέτα· δέχου τοῦτον σὺ πορθμεῦ, καὶ τὸν δεῖνα· καὶ ὅπως ἀσφαλῶς. . . .—Χάρ. Ἀμέλει, πρὸς τὸν ἱστὸν δεδήσεται. —Μεγαπ. 4
Καὶ μὴν ἐν τῇ προεδρίᾳ καθέξεσθαί με δεῖ.— Κλωθ. Ὅτι τί; —
Μεγαπ. Ὅτι νὴ Δία, τύραννος ἦν, καὶ δορυφόρους εἶχον μυρίους.
—Κλωθ. Εἶτ' οὐ δικαίως σε παρέτιλλεν ὁ Καρίων, οὑτωσὶ σκαιὸν ὄντα; πικρὰν δ'οὖν τὴν τυραννίδα ἕξεις, γευσάμενος τοῦ ξύλου. —
Μεγαπ. Τολμήσει γὰρ Κυνίσκος ἐπανατείνασθαί μοι τὸ βάκτρον; 5
οὐκ ἐγώ σε πρώην, ὅτι ἐλεύθερος ἄγαν καὶ τραχὺς ἦσθα καὶ ἐπιτιμητικός, μικροῦ δεῖν προσεπαττάλευσα; —Κλωθ. Τοιγαροῦν μενεῖς καὶ σὺ τῷ ἱστῷ προσπεπατταλευμένος.

ιδ΄. Μίκυλ. Εἰπέ μοι, ὦ Κλωθοί, ἐμοῦ δὲ οὐδεὶς ὑμῖν λόγος; ἢ διότι πένης εἰμί, διὰ τοῦτο καὶ τελευταῖον ἐμβῆναί με δεῖ; —
Κλωθ. Σὺ δὲ τίς εἶ; — Μίκυλ. Ὁ σκυτοτόμος Μίκυλλος.— 2
Κλωθ. Εἶτα ἄχθη βραδύνων; οὐχ ὁρᾷς ὁπόσα ὁ τύραννος ὑπισχνεῖται δώσειν, ἀρθεὶς πρὸς ὀλίγον; θαῦμα γοῦν ἔχει με, εἰμὴ ἀγαπητὴ καὶ σοὶ ἡ διατριβή. —Μίκυλ. Ἄκουσον, ὦ βελτίστη Μοιρῶν· 3
οὐ πάνυ με ἡ τοῦ Κύκλωπος ἐκείνου εὐφραίνει δωρεά, τὸ ὑπισχνεῖ-

---

ωλεγόμην ὑπὸ τοῦ θυμοῦ ὅλ. — Εἰ λαβ.) Οὐδὲ γὰρ λέγει τῇ ποιήσει ἐὰν λάβηται αὐτοῦ· φοβούντων δὲ τοῦτο σύνηθες· ὁμοιον τῷ παρ' ἡμῖν· ἂν πιάσω αὐτόν.

γ΄. Καιρὸς) Ἐνοεῖται, Ἐστί. — Λαβ.) Καταψηφίσασθαι.

2. Ἐπιτιθ.) Κρίνοντα ἕκαστον κατὰ τὴν ἀξίαν.

— Τὸ δὲ νῦν ἔχον) Κατὰ τὸ νῦν ἔχον, κατὰ τὸ παρόν.

3. Ὁ τὸ ξύλον) Ἔχων ὅλ. — Τοῦ ποδός) Ἀπὸ τοῦ ποδός· ἤτοι. Σύρετε αὐτὸν εἴσω τοῦ πλοιαρίου, ἕλκοντες ἀπὸ τοῦ ποδός. — Δεῖνα) Τὸν Μίκυλλον δοκεῖ λέγειν, ἢ ἄλλον τινά. — Καὶ ὅπως) Κατ' ἔλλειψιν προστακτικοῦ τινος· φροντίζετε, σκοπεῖτε· συνήθης δὲ ἡ ἔλλειψις αὕτη πρὸ τοῦ Ὅπως τροπολογικοῦ ὄντος.

4. Τοῦ ξύλ.) Ἀντὶ μετὰ τὸ ἐραβδισθῆναι.

5. Ἐπανατείν.) Ἵνα σηκώσῃ ὅλ. τὸ ξύλον κατ' ἐμοῦ. — Ἤσθα) Παρατ. ἦν, ἦς καὶ κατὰ πλεονασμὸν ἦσθα.

ιδ΄. Ἐμοῦ δὲ) Οὐδὲν δὲ περὶ ἐμοῦ φροντίζετε.

2. Πρὸς ὀλ.) Χρόνον ὅλ.

3. Κύκλ.) Εὑρὼν Κύκλωψ Ὀδυσσέα ἐν τῷ ἰδίῳ σπηλαίῳ μετὰ τῶν ἑτέρων, καθ' ἕνα κατήσθιε. Ὀδυσσέα δὲ Οὖτινα κα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σθαι, ὅτι πύματον ἐγὼ τὸν Οὖτιν κατέδομαι· ἄν τε γοῦν πρῶτον, ἄν τε πύματον, οἱ αὐτοὶ ὀδόντες περιμένουσιν· ἄλλως τε, οὐδ ὁμοῖα τἀμὰ τοῖς τῶν πλουσίων· ἐκ διαμέτρου γὰρ ἡμῶν οἱ βίοι,
4 φασίν. Ὁ μὲν γὰρ τύραννος, εὐδαίμων εἶναι δοκῶν παρὰ τὸν βίον, φοβερὸς ἅπασι, καὶ περίβλεπτος, ἀπολιπὼν χρυσὸν τοσοῦτον, καὶ ἀργύριον, καὶ ἐσθῆτα, καὶ ἵππους, καὶ δεῖπνα, καὶ παῖδας ὡραίους, καὶ γυναῖκας εὐμόρφους, εἰκότως ἠνιᾶτο, καὶ ἀποσπώμενος αὐτῶν ἤχθετο. Οὐ γὰρ οἶδ' ὅπως καθάπερ ἰξῷ τινι
5 προσέχεται τοῖς τοιούτοις ἡ ψυχή, καὶ οὐκ ἐθέλει ἀπαλλάττεσθαι ῥᾳδίως, ἅτε αὐτοῖς πάλαι προστετηκυῖα· μᾶλλον δὲ ὥσπερ ἄρρηκτός τις οὗτος ὁ δεσμός ἐστιν, ᾧ δεδέσθαι ξυμβέβηκεν αὐτούς· ἀμέλει κἂν ἀπάγῃ τις αὐτοὺς μετὰ βίας, ἀνακωκύουσι καὶ ἱκετεύουσι· καὶ τ' ἄλλα ὄντες θρασεῖς, δηλοῖ πρὸς ταύτην εὑρί-
6 σκονται τὴν ἐπὶ τὸν Ἅδην φέρουσαν ὁδόν. Ἐπιστρέφονται γοῦν εἰς τοὐπίσω, ὥσπερ οἱ δυσέρωτες, κἂν πόρρωθεν ἀποβλέπειν τὰ ἐν τῷ φωτὶ βούλονται, οἷα ὁ μάταιος ἐκεῖνος ἐποίει· καὶ παρὰ τὴν ὁδὸν ἀποδιδράσκων, κἀνταῦθά σε καταλιπαρῶν.

ιέ. Ἐγὼ δέ, ἅτε μηδὲν ἔχων ἀνέχυρον ἐν τῷ βίῳ, οὐκ ἀγρόν, οὐ συνοικίαν, οὐ χρυσόν, οὐσκεῦος, οὐ δόξαν, οὐκ εἰκόνας,
2 εἰκότως εὔζωνος ἦν. Κἀπειδή μόνον ἡ Ἄτροπος ἔνευσέ μοι, ἄσμενος ἀποῤῥίψας τὴν σμίλην καὶ τὸ κάττυμα, κρηπῖδα γάρ τινα ἐν ταῖν χεροῖν εἶχον, ἀναπηδήσας εὐθὺς ἀνυπόδετος, οὐδὲ τὴν μελαντηρίαν ἀπονιψάμενος εἱπόμην. Μᾶλλον δὲ ἡγούμην ἐς τὸ πρόσω ὁρῶν· οὐδὲν γάρ με τῶν κατόπιν ἐπέστρεφε, καὶ με-
3 τεκάλει. Καί, νὴ Δί', ἤδη καλὰ τὰ παρ' ὑμῖν πάντα ὁρῶ. Τό, τε γὰρ ἰσοτιμίαν ἅπασιν εἶναι, καὶ μηδένα τοῦ πλησίον διαφέρειν·
4 ὑπερήδιστον ἔμοι γ' οὖν δοκεῖ. Τεκμαίρομαι δὲ μηδ' ἀπαιτεῖσθαι χρέα τοὺς ὀφείλοντας ἐνταῦθα, μηδὲ φόρους ὑποτελεῖν· τὸ δὲ μέγιστον, μηδὲ ῥιγοῦν τοῦ χειμῶνος, μηδὲ νοσεῖν, μήθ' ὑπὸ τῶν δυνατωτάτων ῥαπίζεσθαι, εἰρήνη δὲ πᾶσα, καὶ τὰ πράγματα

λέσαντα ἑαυτόν, δοῦνα αὐτῷ οἶνον πιεῖν, ἔσχατον ὑπισχνεῖτο πάντων φαγεῖν· τοῦτο οὖν φησὶ Μάκυλλος, ὡς οὐδὲν εὐφραίνει αὐτὸν τὸ ὕστερον ὑπισχνεῖσθαι φαγεῖν. — Κατέδ.) Ὅμηρ. Ὀδυσ. Ι. στίχ. 268. — Ἐκ διαμ.) Παροιμία ἐπὶ πάντων τῶν πάνυ διαφερόντων· διάμετρος δὲ ἡ διὰ τοῦ κέντρου διερχομένη τοῦ κύκλου γραμμή, καὶ ἐπὶ τὴν περιφέρειαν ἀποπερατουμένη. — Φασίν) Τὸ δὲ φασὶν ἀρίστως λαμβάνεται.

4. Ἀποσπώμενος) Σπώμενος δηλ. καὶ χωριζόμενος ἀπ' αὐτῶν.

5. Ἰξῷ) Ἀπαλείφοντες ῥάβδους ἐπὶ τῶν δένδρων τιθέασιν οἱ δονιεθῆται· ἐφ' ὧν τὰ πτηνὰ ἐπικαθήμενα, κολλῶνται τούς τε πόδας καὶ τὰς πτέρυγας ἀναπτῆναι προθυμούμενα. Οὕτως οὖν καὶ ἡ ψυχὴ κολλᾶται ἐπὶ τῶν ἐν τῷ βίῳ.

— Τ' ἄλλα) Κατὰ τὰ ἄλλα.

6. Τοὐπίσ.) Εἰς τὸ ὀπίσω. — Δυσέρ.) Οἱ πάνυ ἐρῶντες· καὶ δυσχερῶς ἀπὸ τῶν ἐρωμένων χωριζόμενοι.

ιέ. Εὔζ.) Ἐλευθερος, καὶ εὐκίνητος.

— Κἀπειδ.) Καὶ Ἐπειδή. — Ἄτρ.) Μία τῶν Μοιρῶν.

4. Τοῦ χειμῶνος) Διὰ τοῦ χειμῶνος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐς τοὔμπαλιν ἀνεστραμμένα· ἡμεῖς μὲν γὰρ οἱ πένητες, γελῶ- 5
μεν, ἀνιῶνται δὲ καὶ οἰμώζουσιν οἱ πλούσιοι.

ιϛ΄. Κλωθ. Πάλαι οὖν σε, ὦ Μίκυλλε, γελῶντα ἑώρων· τί δ' ἦν ὅν σε μάλιστα ἐκίνει γελᾷν; — Μίκυλ. Ἄκουσον, ὦ τιμιω- 2
τάτη μοι θεῶν· παροικῶν ἄνω τυράννῳ, πάνυ ἀκριβῶς ἑώρων τὰ γιγνόμενα ὑπ' αὐτοῦ, καί μοι ἐδόκει τότε ἰσόθεός τις εἶναι. Τῆς τε 3
γὰρ πορφύρας τὸ ἄνθος ὁρῶν, ἐμακάριζον καὶ τῶν ἀκολουθούντων τὸ πλῆθος, καὶ τὸν χρυσὸν, καὶ τὰ λιθοκόλλητα ἐκπώματα, καὶ τὰς κλίνας τὰς ἀργυρόποδας· ἔτι δὲ καὶ ἡ κνίσσα ἡ τῶν σκευαζομένων ἐς τὸ δεῖπνον, ἀπέκναιέ με· ὥστε ὑπεράνθρωπός τις ἀνὴρ καὶ τρισόλβιος κατεφαίνετό μοι, καὶ μονονουχὶ καλλίων, καὶ ὑψηλότερος ὅλῳ πήχει βασιλικῷ· ἐπαιρόμενος τῇ τύχῃ, καὶ σεμνῶς προβαίνων, καὶ ἑαυτὸν ἐξυπτιάζων, καὶ τοὺς ἐντυγχάνοντας ἐκπλήττων. Ἐπεὶ δὲ ἀπέθανεν, αὐτός τε παγγέλοιος ὤφθη 4
μοι ἀποδυσάμενος τὴν τρυφὴν· κἀμαυτοῦ ἔτι μᾶλλον κατεγέλων, οἷον κάθαρμα ἐτεθήπειν, ἀπὸ τῆς κνίσσης τεκμαιρόμενος αὐτοῦ τὴν εὐδαιμονίαν, καὶ μακαρίζων ἐπὶ τῷ αἵματι τῶν ἐν τῇ Λακωνικῇ θαλάττῃ κοχλιῶν.

ιζ΄. Οὐ μόνον δὲ τοῦτον, ἀλλὰ καὶ τὸν δανειστὴν Γνίφωνα ἰδὼν στένοντα, καὶ μεταγινώσκοντα, ὅτι μὴ ἀπέλαυσε τῶν χρημάτων, ἀλλ' ἄγευστος αὐτῶν ἀπέθανε, τῷ ἀσώτῳ Ῥοδοχάρει τὴν οὐσίαν ἀπολιπών, (οὗτος γὰρ ἄγχιστα ἦν αὐτῷ γένους, καὶ πρῶτος ἐπὶ τὸν κλῆρον ἐκαλεῖτο κατὰ τὸν νόμον·) οὐκ εἶχον ὅπως καταπαύσω τὸν γέλωτα, καὶ μάλιστα μεμνημένος, ὡς ὠχρὸς ἀεὶ, καὶ αὐχμηρὸς ἦν, φροντίδος τὸ μέτωπον ἀνάπλεως, καὶ μόνοις τοῖς δακτύλοις πλουτῶν, οἷς τάλαντα καὶ μυριάδας ἐλογίζετο, κατὰ μικρὸν συλλέγων τὰ μετ' ὀλίγον ἐκχυθησόμενα πρὸς τοῦ μακαρίου Ῥοδοχάρους. Ἀλλὰ τί οὐκ ἀπερχόμεθα ἤδη; καὶ μεταξὺ γὰρ 2
πλέοντες τὰ λοιπὰ γελασόμεθα οἰμώζοντας αὐτοὺς ὁρῶντες. — Κλωθ. Ἔμβαινε, ἵνα καὶ ἀνιμήσηται ὁ πορθμεὺς τὸ ἀγκύριον. 3

ιϛ΄. 3. Ἀπέκναιέ με) Νοθρότερον εἰς τὸ ζῆν με ἐποίει. — Πήχει βασιλικῷ) Ἀντὶ τοῦ Μέτρῳ μεγάλῳ· ὑπερέχει γὰρ ὁ βασιλικὸς πῆχυς τοῦ ἰδιωτικοῦ καὶ κοινοῦ δακτύλους τρεῖς. — Τῇ τύχῃ) Αἰρόμενος ἐπὶ τῇ τύχῃ. — Ἐξυπτιάζων) Τείνων τὸν τράχηλον καὶ τὸ στῆθος προβαλλόμενος ἅμα, καὶ τοὺς ἰδίους ὤμους περισκοπούμενος βαδίζων· ὁ ἐστι γαυριῶν, καὶ ὑπερήφανος.

4. Κἀμαυτοῦ) Καὶ ἐμαυτοῦ. — Ἐτεθήπειν) Τέθηπα Μέτ. Παρακ. — Κοχλιῶν) Ἐν τῶν κοχλιῶν ἡ πορφύρα· εὕρηται δὲ παρὰ κυνὸς κοχλίας ματσώντος, καὶ τὸ γένειον πορφυροῦν ποιήσαντος· δοκεῖ δὲ ἡ ἐν τῇ Λακωνικῇ κόχλιος εὐδοκιμωτέρα τῶν ἄλλων εἰς τὸ Πορφυροῦν χρῶμα.

ιζ΄. Γνίφ.) Ὄνομα, ἤτοι ὡς ἔτυχε λεχθὲν εἰς ἐμπαιγμόν τινος, ἢ γνωρίμου τινὸς τῷ Λουκιανῷ. — Ἄγχιστα) Πλέον πάντων πλησίον ἦν τῷ γένει. — Πλουτῶν) Λογιζόμενος ὅλῃ τοῖς δακτύλοις, τὰ δὲ χρήματα αὐτῷ ἦσαν πάντα ἐπὶ τόκῳ δεδομένα. — Ἐκχυθησόμενα) Ἐγχέω.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ιή. Χάρ. Οὗτος, ποῖ φέρῃ; πλῆρες ἤδη τὸ σκάφος· αὐτοῦ πε-
2 ρίμενε· ἐς αὔριον ἔωθέν σε διαπορθμεύσομεν. — Μίκυλ. Ἀδικεῖς,
ὦ Χάρων, ἕωλον ἤδη νεκρὸν ἀπολιμπάνων· ἀμέλει γράψομαί σε
3 παρανόμων ἐπὶ τοῦ Ῥαδαμάνθυος. Οἴμοι τῶν κακῶν! ἤδη πλέ-
ουσιν· ἐγὼ δὲ μόνος ἐνταῦθα περιλελείψομαι. Καί τοι, τί οὐ δια-
νήχομαι κατ' αὐτούς; οὐ γὰρ δέδια μὴ ἀπαγορεύσας ἀποπνιγῶ,
ἤδη τεθνεώς· ἄλλως τε οὐδὲ τὸν ὀβολὸν ἔχων τὰ πορθμία κατα-
4 βαλεῖν. — Κλωθ. Τί τοῦτο; περίμενον, ὦ Μίκυλλε· οὐ θέμις
οὕτω σε διελθεῖν. — Μίκυλ. Καὶ μὴν ἴσως ὑμῶν καὶ προκαταχ-
θήσομαι. — Κλωθ. Μηδαμῶς, ἀλλὰ προσελάσαντες, ἀναλά-
βωμεν αὐτόν, καὶ σύ, ὦ Ἑρμῆ, συνανάσπασον.

ιθ. Χάρ. Ποῦ νῦν καθεδεῖται; μεστὰ γὰρ πάντα, ὡς ὁρᾷς.
— Ἑρμ. Ἐπὶ τοὺς ὤμους, εἰ δοκεῖ, τοῦ τυράννου. — Κλωθ.
2 Καλῶς ὁ Ἑρμῆς ἐνενόησε. — Χάρ. Ἀνάβαινε οὖν, καὶ τὸν τένοντα
3 τοῦ ἀλιτηρίου καταπάτει· ἡμεῖς δ' εὐπλοοῦμεν. — Κυνίσ. Ὦ Χά-
ρων, καλῶς ἔχει σοι τὰς ἀληθείας ἐντεῦθεν εἰπεῖν. Ἐγὼ τὸν
ὀβολὸν μὲν οὐκ ἂν ἔχοιμι δοῦναί σοι, καταπλεύσας· πλέον γὰρ
οὐδέν ἐστι τῆς πήρας, ἣν ὁρᾷς, καὶ τουτουὶ τοῦ ξύλου· τἄλλα δέ,
ἂν ἀντλεῖν ἐθέλῃς, ἕτοιμος, καὶ πρόσκωπος εἶναι· μέμψῃ δὲ οὐδέν,
ἢν εὕρῃς καὶ καρτερόν μοι ἐρετμὸν ὀῆς μόνον. — Χάρ. Ἔρεττε·
4 καὶ τουτὶ γὰρ ἱκανὸν παρὰ σοῦ λαβεῖν. — Κυνίσκ. Ἦ καὶ ὑπο-
κελεῦσαι δεήσει. — Χάρ. Νὴ Δί', ἤν περ εἴδῃς κέλευσμά τι τῶν
ναυτικῶν. — Κυνίσκ. Οἶδα, καὶ πολλά, ὦ Χάρων. [τῶν ναυτι-
κῶν.] Ἀλλ' ὁρᾷς, ἀντεπηχοῦσιν οὗτοι δακρύοντες· ὥστε ἡμῖν
τὸ ἄσμα ἐπιταραχθήσεται.

κ'. Πλούσ. Οἴμοι τῶν κτημάτων. — Ἄλλος. Οἴμοι τῶν ἀ-
γρῶν. — Ἄλλ. Ὀττοτοῖ, τὴν οἰκίαν οἵαν ἀπέλιπον. — Ἄλλ.
2 Ὅσα τάλαντα ὁ κληρονόμος σπαθήσει λαβών. — Ἄλλ. Αἴ! αἴ!
τῶν νεογνῶν μου παιδίων. — Ἄλλ. Τίς ἄρα τὰς ἀμπέλους τρυ-
3 γήσει, ἃς πέρυσιν ἐρυτευσάμην; — Ἑρμ. Μίκυλλε, σὺ δ' οὐδὲν

ιή. Οὗτος) Λαμβάνεται ἀντὶ τοῦ, ὦ σύ, ὦ φίλε. — Ποῖ φέρῃ) Ποῦ δηλ. ὑπάγεις.

2. Ἕωλον) Χθεσινόν, δηλ. — Ἀμελ.) Πάντως βέβαια. — Παραν.) Κατηγορήσω σε ἕνα τῶν παρανόμων· συνήθης δὲ ἡ φράσις μετὰ τοῦ, γράφομαι, καὶ Ἀττική.

3. Κατ' αὐτ.) Ἀντὶ πρὸς αὐτούς· — Καταβαλεῖν) Ἵνα πληρώσω δηλ. τὸν νοῦλον

4. Προσελάσαντες) Πλησίον αὐτοῦ γενώμεθα δηλ. τῷ πλοιαρίῳ.

ιθ. Καθεδ.) Ὡς ἀναβιβασθέντος φησὶ Χάρων· οἷον. Καὶ νῦν δὴ ποῦ καθεδεῖται, ἀνελθὼν ἐπὶ τοῦ πλοίου.

2. Εὐπλοῦμ.) Τοῦτο ἐστὶ· τὸ παρ' ἡμῖν· κατευόδιον ἔστω ἡμῖν. Ἐν ὥραις καλαῖς.

3. Καλῶς ἔχ.) Καλὸν ἐστὶ τ' ἐνταῦθα εἰπωμέν σοι τὴν ἀλήθειαν — Τἄλλα) Κατὰ τὰ ἄλλα.

4. Δεήσ.) Εἰπέ μοι φησὶν εἰ δεήσει καὶ ἄσαι ἐρέττων. Ναυτικὴ δὲ ᾠδὴ τὸ Ὑποκέλευσμα· οἱονεὶ ἑνὸς καταρχομένου ἄλλοι ὑπήκουον τὸ ἀδόμενον.

κ'. Τῶν κτημ.) Ἡ γενικὴ κατ' ἔλλειψιν τοῦ Ἕνεκα λέγεται. 2. Ἐρυτ.) Τοῦτο δὲ σημαίνει· οἱ ἐμῶν ἀναλωμάτων ἐποίησα φυτευθῆναι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οἰμώζεις; καὶ μὴν οὐ θέμις ἀδακρυτὶ διαπλεῦσαί τινα. — Μίκυλ. Ἄπαγε. Οὐδὲν ἐστιν ἐφ᾽ ὅτῳ ἂν οἰμώξωμαι εὐπλοῶν. — Ἑρμ. Ὅμως κἂν μικρόν τι, πρὸς τὸ ἔθος ἐπιστέναξον. — Μίκυλ. Οἰμώξομαι τοίνυν, ἐπειδή σοι, ὦ Ἑρμῆ, δοκεῖ. Οἴμοι τῶν κατατμάτων· οἴμοι τῶν κρηπίδων τῶν παλαιῶν· ὀττοτοῖ, τῶν σαθρῶν ὑποδημάτων· οὐκ ἔτι ὁ κακοδαίμων ἔωθεν ἐς ἑσπέραν ἄσιτος διαμενῶ, οὐδὲ τοῦ χειμῶνος ἀνυπόδητός τε, καὶ ἡμίγυμνος περινοστήσω, τοὺς ὀδόντας ὑπὸ τοῦ κρύους συγκροτῶν. Τίς ἄρα μου τὴν σμίλην ἕξει, καὶ τὸ κεντητήριον; Ἱκανῶς τεθρύνηται· σχεδὸν δὲ ἤδη καὶ καταπεπλεύκαμεν. 4

κά. Χάρ. Ἄγε δή τὰ πορθμία πρῶτον ἡμῖν ἀπόδοτε· καὶ σὺ δέ, δός· παρὰ πάντων ἤδη ἔχω· δὸς καὶ σὺ τὸν ὀβολόν, ὦ Μίκυλλε. — Μίκ. Παίζεις, ὦ Χάρων, ἢ καθ᾽ ὕδατός φασιν, ἤδη γράφεις, παρὰ Μικύλλου ἤδη τινὰ ὀβολὸν προσδοκῶν· ἀρχὴν δέ, οὔτε οἶδα εἰ τετράγωνόν ἐστιν ὀβολός, ἢ στρογγύλον. — Χάρ. Ὦ καλῆς ναυτιλίας καὶ ἐπικερδοῦς τήμερον· ἀποβαίνετε δ᾽ ἅμως· ἐγὼ δὲ ἵππους, καὶ βοῦς, καὶ κύνας, καὶ τὰ λοιπὰ ζῶα μέτειμι· διαπλεῦσαι γὰρ κἀκεῖνα δεῖ. — Κλωθ. Ἄπαγε αὐτούς, ὦ Ἑρμῆ, παραλαβών· ἐγὼ δὲ αὐτή, ἐς τὸ ἀντιπέρας ἀποπλευσοῦμαι, Ἰνδοπάτην, καὶ Ἡραμίθρην τοὺς Σῆρας διάξουσα· τεθνᾶσι γὰρ ἤδη πρὸς ἀλλήλων, περὶ γῆς ὅρων μαχόμενοι. — Ἑρμ. Προιώμεν, ὦ οὗτοι· μᾶλλον δὲ πάντες ἑξῆς ἔπεσθέ μοι. 2 3 4

κβ΄. Μίκυλ. Ἡράκλεις, τοῦ ζόφου· ποῦ νῦν ὁ καλὸς Μέγιλλος; ἢ τῷ διαγνῶ τις ἐνταῦθα εἰ καλλίων Φρύνης Σιμμίχη; πάντα γὰρ ἴσα, καὶ ὁμόχροα, καὶ οὐδὲν οὔτε καλὸν, οὔτε κάλλιον· ἀλλ᾽ ἤδη καὶ τὸ τριεθώνιον, τὸ πρότερον τέως ἄμορφον εἶναί μοι δοκοῦν, ἰσότιμον γίγνεται τῇ πορφυρίδι τοῦ βασιλέως. Ἀφανῆ γὰρ ἄμφω, καὶ ὑπὸ τῷ αὐτῷ σκότῳ καταδεδυκότα. Κυνίσκε, σὺ δὲ ποῦ ποτε ἄρα ὢν τυγχάνεις; — Κυνίσ. Ἐνταῦθα λέγω σοι, Μίκυλλε· ἀλλ᾽ ἅμα εἰ δοκεῖ, βαθίζωμεν. — Μίκυλ. Εὖ λέγεις· 2 3

— Χειμῶνος) Διὰ τοῦ χειμῶνος.

κά. 2. Καθ᾽ ὕδ.) Παροιμία ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων πεφάσθαι λεγομένη. — Ἀρχ.) Κατ᾽ ἀρχὴν· ὅ ἐστι παντάπασιν.

3. Μέτειμι) Προεύομαι δηλ. ἵνα κομίσω· τὸ αὐτὸ δὲ σημαίνει καὶ τὸ μετέρχομαι.

4. Τοὺς Σῆρ.) Τὰ μὲν ὀνόματα πεπλασμένα δοκεῖ. Σῆρας δὲ λέγει Ἔθνος, ἐν ᾧ γίνονται τὰ Σηρικὰ ἱμάτια. Ἡ δὲ τοῦ κειμένου ἀκολουθία· Σῆρας νοεῖν τοὺς σκόλληκας τοὺς ποιοῦντας τὴν μετάξην δίδωσι. Διαπαίζει γὰρ ἐνταῦθα τοὺς ἀθανάτους εἶναι τὰς τῶν ἀλόγων ψυχὰς λέγοντας.

κβ΄. Μέγιλ.) Κορίνθιος ἦν οὗτος ὑπερφέρων κάλλει τοὺς κατ᾽ αὐτόν. — Ἡ Τῷ) Ἀντί τινι· τὸ γὰρ ἄρθρον καὶ ἀντὶ ἐρωτηματικοῦ. — Σιμμίχ.) Ὀνόματα γυναικῶν ἑταιρων. — Τοῦ βατιλ.) Ὁ τριεθώνιον δηλ. φοροῦν ἰσότιμος ἐστὶ τοῦ βασιλέως πορφυρίδι ἐνδεδυμένου.

2. Ὦν τυγχ.) Περιφροαστικῶς ἀντὶ εἶ. — Βαθίζ.) Ἀνθυποστάκτως. — Ἐμβαλ.) Εἰς τὴν ἀριστερὰν μου χεῖρα περιπλεξόν σου τὴν δεξιάν. Οὕτω γὰρ πορεύεσθαι βούλονται, ὡς ἔθος νῦν τοὺς ἐν τῇ Εὐρώπῃ περιδιαβάζειν, τοῦ ἑνὸς ἐμβαλόντος τὴν χεῖρα εἰς τὴν τοῦ ἑτέρου. — Ἐτελ.) Εἰπέ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἔμβαλέ μοι τὴν δεξιάν· εἰπέ μοι, ἐτελέσθης γάρ, ὦ Κυνίσκε, [τὰ
Ἐλευσίνια,] οὐχ ὅμοια τοῖς ἐκεῖ τὰ ἐνταῦθά σοι δοκεῖ; — Κυνίσ.
4 Εὖ λέγεις· ἰδοὺ οὖν προσέρχεται δαδουχοῦσά τις, φοβερόν τι
καὶ ἀπειλητικὸν προσβλέπουσα· ἦ ἄρά που Ἐριννύς ἐστιν; — Μίκυλ.
Ἔοικεν ἀπό γε τοῦ σχήματος.

κγ'. Ἑρμ. Παραλάμβανε τούτους. ὦ Τισιφόνη, τέτταρας ἐπὶ
τοῖς χιλίοις. — Τισιφ. Καὶ μὴν πάλαι γε ὁ Ῥαδάμανθυς οὗτος
2 ὑμᾶς περιμένει. — Ῥαδάμ. Πρόσαγε αὐτούς, ὦ Ἐριννύ. Σὺ δέ,
ὦ Ἑρμῆ, κήρυττε, καὶ προσκάλει. — Κυνίσ. Ὦ Ῥαδάμανθυ,
3 πρὸς τοῦ πατρὸς ἐμὲ πρῶτον ἐπίσκεψαι παραγαγών. — Ῥαδάμ.
Τίνος ἕνεκα; — Κυνίσκ. Πάντως βούλομαι κατηγορῆσαί τινος,
ἃ συνεπίσταμαι πονηρὰ δράσαντι αὐτῷ παρὰ τὸν βίον· οὐκ ἂν
οὖν ἀξιόπιστος εἴην λέγων, μὴ οὐχὶ πρότερον αὐτὸς φανεὶς οἷός
εἰμι, καὶ οἷόν τινα ἐβίωσα τὸν τρόπον. — Ῥαδάμ. Τίς δὲ σύ; —
4 Κυνίσ. Κυνίσκος, ὦ ἄριστε, τὴν γνώμην φιλόσοφος. — Ῥαδάμ.
Δεῦρ' ἐλθέ, καὶ πρῶτος ἐς τὴν δίκην κατάστηθι. Σὺ δὲ προσκάλει
τοὺς κατηγόρους.

κδ'. Ἑρμ. Εἴ τις Κυνίσκου τουτουὶ κατηγορεῖ, δεῦρο προσίτω.
2 — Ῥαδάμ. Οὐδεὶς προσέρχεται· ἀλλ' οὐχ ἱκανὸν τοῦτο, ὦ Κυνί-
σκε· ἀπόδυθι δὲ ὅπως ἐπισκοπήσω σε ἀπὸ τῶν στιγμάτων. —
3 Κυνίσ. Ποῦ γὰρ ἐγὼ στιγματίας ἐγενόμην; — Ῥαδάμ. Ὁπόσα
ἂν τις ὑμῶν πονηρὰ ἐργάσηται παρὰ τὸν βίον, καθ' ἕκαστον αὐ-
τῶν ἀρανῆ στίγματα ἐπὶ τῆς ψυχῆς περιφέρει. — Κυνίσ. Ἰδοὺ
σοι γυμνὸς παρέστηκα· ὥστε ἀναζήτει ταῦτα, ἅπερ σὺ φῄς τὰ
4 στίγματα. — Ῥαδάμ. Καθαρὸς ὡς ἐπίπαν οὗτοσί, πλὴν τούτων

μοι, οὐχ ὅμοια τοῖς ἐν Ἐλευσῖνι τὰ ἐν-
ταῦθα δοκεῖ σοι· ἐρωτῶ δέ σε ἐπειδὴ
γιγνώσκω ὅτι ἐτελέσθης τὰ Ἐλευσίνια. Ἦν
δὲ ἑορτὴ παρ' Ἀθηναίοις Δήμητρι καὶ
Περσεφόνῃ ἐπιτελουμένη, κατὰ μῆνα Βοη-
δρομιῶνα τῷ καθ' ἡμᾶς Σεπτεμβρίῳ ἀντε-
ξετάζομένου πως, ἐν ἡμέραις ἐννέα· ὧν
ἐν ταῖς πρώταις τέσσαρσι θύοντες διε-
τέλουν· τὴν δὲ νύκτα τῆς ἑσχάτης, κανοῦν
ἐπὶ ἀμάξης βουσὶν ἑλκομένης, γυναικῶν
ἑπομένων μετὰ κανῶν, ἐμπλεων τῶν
ποδὸς τελέσθαι, ἕφεσον ἡ δὲ πέμπτη ἦν
λαμπαδοῦχος· ἀνδρῶν καὶ γυναικῶν ἐν
νυκτὶ λαμπαδοφορούντων· ἡ δὲ ἕκτη, ἐκ-
κόρευσις ἀπὸ τοῦ Κεραμικοῦ διὰ τῆς
πόλεως μέχρις Ἐλευσῖνος, περὶ τὰς τρεῖς
μυριάδας ἑπομένων, καὶ φερόντων τοῦ
Διονύσου τὸ ἄγαλμα, ὑμνούντων τε καὶ
ἐν ῥυθμῷ χορευόντων· τῇ δ' ἑβδόμῃ γυ-
μνικοὶ ἀγῶνες προὐτίθεντο· ταῖς δὲ
λοιπαῖς δυσὶ τὰ καλούμενα μυστήρια
ἤγοντο· περὶ ὧν οὐδὲν σαφὲς ἴσμεν. Τα-
ῦτα δὴ τὰ μυστήρια ἐν Ἐλευσῖνι τελου-
μενα διασύρει ἐνταῦθα Λουκιανός.

4. Ἐρινύς) Τρεῖς ἦσαν αἱ Ἐρινύες,
Τισιφόνη, Μέγαιρα, Ἀλληκτὼ λαμπαδο-
φορεῦσαι· ὧν αἱ τρίχες δράκοντες ἦσαν·
κγ'. Τισιφ.) Μία τῶν Ἐρινύων.

2. Πρὸς τοῦ πατρ.) Ὁρκίζω σε κατὰ
τοῦ πατρὸς Διός· ὁ γὰρ Ῥαδάμανθυς Διὸς
καὶ Εὐρώπης υἱός.

4. Τὴν γν.) Κατὰ τὴν γνώμην ἀπὸ
προαιρέσεως δηλαδὴ φιλόσοφος. — Σὺ δὲ)
ὦ Ἑρμῆ.

κδ'. 3. Στιγματ.) Στιγματίας καλοῦσι
τοὺς δικέτας τοὺς στιζομένους ὡς ἀχρεί-
ους εἰς τοῦτο οὐν ἀγροῖκος ὁ Κυνίσκος
οὐκ ἠνέσχετο στιγματίας καλεῖσθαι.

4. Ὡς ἐπιπ.) Καθαρὸς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τριῶν ἢ τεττάρων ἀμαυρῶν πάνυ, καὶ ἀσαφῶν στιγμάτων· καί τοι, τί τοῦτο; ἴχνη μὲν, καὶ σημεῖα τῶν ἐγκαυμάτων, οὐκ οἶδα δὲ ὅπως ἐξαλήλειπται, μᾶλλον δὲ ἐκκέκοπται· πῶς ταῦτα, ὦ Κυνίσκε, ἢ πῶς καθαρὸς ἐξ ὑπαρχῆς ἀναπέφηνας; — Κυνίσ. Ἐγώ σοι 5 φράσω· πάλαι πονηρὸς δι' ἀπαιδευσίαν γενόμενος, καὶ πολλὰ διὰ τοῦτο ἐμποδίσας στίγματα, ἐπειδὴ τάχιστα φιλοσοφεῖν ἠρξάμην, κατ' ὀλίγον ἀπάσας τὰς κηλῖδας ἐκ τῆς ψυχῆς ἀπελουσάμην. — Ῥαδάμ. Ἀγαθῷ γε, οὗτος, καὶ ἀνυσιμωτάτῳ χρησάμενος 6 τῷ φαρμάκῳ· ἀλλ' ἄπιθι ἐς τὰς Μακάρων νήσους, τοῖς ἀρίστοις συνεσόμενος, κατηγορήσας γε πρότερον, οὗ φῄς τυράννου. Ἄλλους προσκάλει.

κέ. Μίκυλ. Καὶ τοὐμὸν, ὦ Ῥαδάμανθυ, μικρόν ἐστι, καὶ βραχείας τινὸς ἐξετάσεως δεόμενον· πάλαι γοῦν σοι καὶ γυμνός εἰμι, ὥστε ἐπισκόπει. — Ῥαδάμ. Τίς δὲ ὢν τυγχάνεις; — Μίκυλ. Ὁ 2 σκυτοτόμος Μίκυλλος. — Ῥαδάμ. Εὖγε, ὦ Μίκυλλε, καθαρὸς 3 ἀκριβῶς καὶ ἀνεπίγραφος, ἄπιθι καὶ σὺ παρὰ Κυνίσκον τουτονί. Τὸν τύραννον ἤδη προσκάλει. — Ἑρμ. Μεγαπένθης ὁ Λακύδου ἡκέτω. Ποῖ στρέφῃς; Πρόσιθι. Σὲ τὸν τύραννον προσκαλῶ· πρόβαλλ' αὐτὸν, ὦ Τισιφόνη, ἐς τὸ μέσον, ἐπὶ τράχηλον ὠθοῦσα. Σὺ δὲ, ὦ Κυνίσκε, κατηγόρει, καὶ διέλεγχε ἤδη· πλησίον γὰρ ἀνὴρ οὗτοσί.

κς'. Κυνίσ. Τὸ μὲν ὅλον, οὐδὲ λόγων ἔδει· γνώσῃ γὰρ αὐτὸν αὐτίκα μάλα, οἷός ἐστιν, ἀπὸ τῶν στιγμάτων· ὅμως δὲ, καὐτὸς ἀποκαλύψω σοι τὸν ἄνδρα, κἀκ τοῦ λόγου δείξω φανερώτερον· οὗτοσὶ γὰρ ὁ τρισκατάρατος, ὁπόσα μὲν ἰδιώτης ὢν ἔπραξε, παραλείψειν μοι δοκῶ· ἐπεὶ δὲ τοὺς θρασυτάτους προσεταιρούμενος, καὶ δορυφόρους συναγαγὼν, ἐπαναστὰς τῇ πόλει τύραννος κατέστη, ἀκρίτους μὲν ἀπέκτεινε πλείους ἢ μυρίους· τὰς δὲ οὐσίας ἑκάστων ἀφαιρούμενος, καὶ πλούτου πρὸς τὸ ἀκρότατον ἀφικόμενος, εὐδαιμόνων μὲν ἀκολασίας ἰδέαν παραλέλοιπεν· ἀπάσῃ δὲ ὠμότητι, καὶ ὕβρει κατὰ τῶν ἀθλίων πολιτῶν ἐχρήσατο, παρβέ-

---

5. Τάχιστα) Ὅρα σημειῶσ. εἰ. 2. — Ἀπελ.) Ὁ γὰρ τελιστὸς εἶτι ἐν ὁπαιδευσία ὢν ἔπρηξεν ἀτόπημα, σωφρονήσας ἀποκαθαίρει.

6. Οὗτος) Οἷον· ἀπελούσθης οὖ χρησάμενος ἀγαθῷ πάντως καὶ ἀνυσιμωτάτῳ τινὶ φαρμάκῳ. — Μακάρ. Νῆσ.) Μακάρων νήσους καὶ Ἠλύσια πεδία καλοῦσι οἱ Ἕλληνες τὸν τόπον, ἔνθα οἰκοῦσι τῶν ἀγαθῶν ἀνδρῶν αἱ ψυχαί. — Οὗ φῄς τυρ.) Κατηγορήσας πρότερον τοῦ τυράννου, ὃν λέγεις· ἡ σύνταξις ἀττική. — Προσκάλει) Ω' Ἑρμῆ.

κέ. Τοὐμὸν) Τὸ ἐμόν.

2. Ὢν τυγχ.) Ἀντί, τίς δὲ εἶ. — Ἀνεπίγρ.) Μηδεμίαν γραμμὴν ἢ στίγμα ἔχων.

3 Προσκάλ. Ω' Ἑρμῆ. — Ὠθοῦσ.) Ἀναθοῦσα ἀπὸ τοῦ τραχήλου ὤθει. — Οὗτοσι) Ἐστὶ δηλ. ὁ τύραννος.

κς'. Ἀκρότ.) Καὶ ἀφικόμενος, πρὸς τὸ ἀκρότατον τοῦ πλούτου ἦτοι, γενόμενος πλουσιώτατος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νους διαφθείρων, καὶ ἐφήβους καταισχύνων, καὶ πάντα τρόπον τοῖς ὑπηκόοις ἐμπαροινῶν· καὶ ὑπεροψίας μέν γε, καὶ τύφου, καὶ τοῦ πρὸς τοὺς ἐντυγχάνοντας φρυάγματος, οὐδὲ κατ' ἀξίαν δύναιο ἂν παρ' αὐτοῦ λαβεῖν τὴν δίκην· ῥᾴδιον γοῦν ἄν τις τὸν ἥλιον, ἢ τοῦτον ἀσκαρδαμυκτὶ προσέβλεψεν· οὐ μὴν καὶ τὸ τῶν κολάσεων πρὸς ὠμότητα καινουργὸν αὐτοῦ τίς ἂν διηγήσασθαι δύναιτο,
2 ὅς γε μηδὲ τῶν οἰκειοτάτων ἀπέσχετο; Καὶ ταῦτα ὅτι μὴ ἄλλως κενή τίς ἐστι κατ' αὐτοῦ διαβολή, αὐτίκα εἴση, προσκαλέσας τοὺς ὑπ' αὐτοῦ πεφονευμένους· μᾶλλον δὲ ἄκλητοι ὡς ὁρᾷς πάρεισι, καὶ περιστάντες, ἄγχουσιν αὐτόν· οὗτοι πάντες, ὦ Ῥαδάμανθυ, πρὸς τοῦ ἀλιτηρίου τεθνᾶσιν· οἱ μέν, γυναικῶν ἕνεκα εὐμόρφων ἐπιβουλευθέντες· οἱ δέ, υἱέων πρὸς ὕβριν ἀπαγομένων ἀγανακτήσαντες· οἱ δέ, ὅτι ἐπλούτουν· οἱ δέ, ὅτι ἦσαν δεξιοί, καὶ σώφρονες, καὶ οὐδαμοῦ ἠρέσκοντο τοῖς ὁρωμένοις.

κζ'. Ῥαδάμ. Τί πρὸς ταῦτα φῄς, ὦ μιαρὲ σύ; — Μεγαπ. Τοὺς μὲν φόνους εἴργασμαι, οὓς λέγει· τὰ δ' ἄλλα πάντα, τὰς μοιχείας, καὶ τὰς τῶν ἐφήβων ὕβρεις, καὶ τὰς διαφθορὰς τῶν
2 παρθένων, ταῦτα πάντα Κυνίσκος μου κατεψεύσατο. — Κυνίσ. Οὐκοῦν καὶ τούτων, ὦ Ῥαδάμανθυ, παρέξω σοι μάρτυρας. —
3 Ῥαδάμ. Τίνας τούτους λέγεις; — Κυνίσ. Προσκάλει μοι, ὦ Ἑρμῆ, τὸν λύχνον αὐτοῦ, καὶ τὴν κλίνην· μαρτυρήσουσι γὰρ αὐ-
4 τοὶ παρελθόντες, οἷα πράττοντι συνηπίσταντο αὐτῷ. — Ἑρμ. Ἡ κλίνη, καὶ ὁ Λύχνος ὁ Μεγαπένθους παρέστω· εὖγε ἐποίησαν ὑπακούσαντες. — Ῥαδάμ. Εἴπατε οὖν ὑμεῖς, ἃ σύνιστε
5 Μεγαπένθει τούτῳ· προτέρα δὲ σὺ ἡ Κλίνη λέγε. — Κλίν. Πάντα ἀληθῆ κατηγόρησε Κυνίσκος· ἐγὼ μέν τοι ταῦτα εἰπεῖν, ὦ δέσποτα Ῥαδάμανθυ, αἰσχύνομαι· τοιαῦτα ἦν ἃ ἐπ' ἐμοῦ διε-
6 πράττετο. — Ῥαδάμ. Σαρέστατα μὲν οὖν καταμαρτυρεῖς, μηδ' εἰπεῖν αὐτὰ ὑπομένουσα· καὶ σὺ δὲ ὁ Λύχνος ἤδη μαρτύρει
7 — Λύχν. Ἐγὼ τὰ μεθ' ἡμέραν μέν, οὐκ εἶδον· οὐ γὰρ παρῆν· ἃ δὲ τῶν νυκτῶν ἐπείσι, καὶ ἔπασχεν, ὀκνῶ λέγειν· πλὴν·

— Πάντα τρ.) Κατὰ πάντα τρόπον. — Ἐμπαροιν.) Ἐνυβρίζων ἀπὸ μεταφορᾶς τῶν μεθυόντων.

— Φρύαγμ.) Ἀγριότης μετ' ἀλαζονείας τὸ φρύαγμα. — Λάβεῖν δίκ.) Τιμωρήσασθαι αὐτὸν κατ' ἀξίαν τῆς ὑπὲρ τοῦ τύφ. καὶ φρύαγμ.

2. Καὶ ταῦτ.) Καὶ ταῦτ' αὐτίκα εἴση, ὅτι οὐκ εἰσὶν ἄλλως κενή τις διαβολή· ἔνθα τὸ μὴ πρὸς ὁριστικὸν κατ' ἀνάλυσιν μετοχῆς· οἷον καὶ ταῦτα αὐτίκα εἴση μὴ ὄντα κενή τις διαβολή.

— Τεθνᾶσ.) Ὡς παρόντας δείκνυσι τοὺς ὑπὸ τοῦ τυράννου τεθνηκότας. — Οἱ δὲ τεθνᾶσιν.

κζ'. 2. Τίνας τούτ.) Τίνες εἰσὶν οὗτοι, οὓς λέγεις· οὕτως ἐνηρμόζεται τὸ ἰδίωμα τοῦτο.

3. Κλίν.) Ἐπειδὴ γὰρ καὶ φυτὰ λέγουσιν ἔμψυχα· ἐπιτειδὲς ὁ Λουκιανὸς καὶ λύχνον καὶ κλίνην εἰσάγει μαρτυροῦντα. — Συνεπ.) Συνεπίσταμαι τινι.

5. Κατηγόρ.) Πάντα εἰσὶν ἀληθῆ, ὅσα κατηγόρησε.

7. Τῶν νυκτ.) Διὰ τῶν νυκτῶν. —

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀλλὰ ἐθεασάμην γε πολλά, καὶ ἄῤῥητα, καὶ πᾶσαν ὕβριν ὑπερπεπαικότα. Καί τοι πολλάκις ἑκὼν τοῦλαιον οὐκ ἔπινον, ἀποσθῆναι θέλων· ὁ δὲ, καὶ προσῆγέ με τοῖς δρωμένοις, καὶ τὸ φῶς μου πάντα τρόπον κατεμίαινεν.

κή. Ῥαδάμ. Ἅλις ἤδη τῶν μαρτύρων· ἀλλὰ καὶ ἀπόδυθι τὴν πορφυρίδα, ἵνα καὶ τὸν ἀριθμὸν ἴδωμεν τῶν στιγμάτων. Παπαί! ὅλος οὑτοσὶ πελιδνὸς, καὶ κατάγραφος, μᾶλλον δὲ κυάνεός ἐστιν ἀπὸ τῶν στιγμάτων· τίνα οὖν κολασθείη τρόπον; 2
Ἆρ' ἐς τὸν Πυριφλεγέθοντά ἐστιν ἐμβλητέος, ἢ παραδοτέος τῷ Κερβέρῳ; — Κυνίσ. Μηδαμῶς· ἀλλ' εἰ θέλοις, ἐγώ σοι καινήν τινα καὶ πρέπουσαν αὐτῷ τιμωρίαν ὑποθήσομαι. — Ῥαδάμ. Λέγε, ὡς ἐγώ σοι μεγίστην ἐπὶ τούτῳ χάριν εἴσομαι. — Κυ- 4
νίσκ. Ἔθος ἐστὶν οἶμαι τοῖς ἀποθνήσκουσι πᾶσι, πίνειν τὸ τῆς Λήθης ὕδωρ. — Ῥαδάμ. Πάνυ μὲν οὖν. — Κυνίσκ. Οὐκοῦν μόνος ἐξ ἁπάντων ἄποτος ἔστω.

κθ΄. Ῥαδάμ. Διὰ τί δή; — Κυνίσκ. Χαλεπὴν οὕτως ὑφέξει τὴν δίκην, μεμνημένος οἷος ἦν, καὶ ὅσον ἐδύνατο ἐν τοῖς ἄνω, καὶ ἀναπεμπαζόμενος τὴν τρυφήν. — Ῥαδάμ. Εὖ λέγεις· καὶ κα- 2
ταδεδικάσθω, καὶ παρὰ τὸν Τάνταλον ἀπαχθεὶς οὑτοσὶ, δεδέσθω, μεμνημένος ὧν ἔπραξε κατὰ τὸν βίον.

ΣΤ΄. ΧΑΡΩΝ, Η ΕΠΙΣΚΟΠΟΥΝΤΕΣ. (*)

Ἑρμῆς, καὶ Χάρων.

α. Ἑρμ. Τί γελᾷς, ὦ Χάρων; ἢ τί τὸ πορθμεῖον ἀπο-

Ὑπερπεπαικ.) Ὑπερπαίω τὸ ὑπερβάλω. — Τοῦλ.) Τὸ ἔλαιον. — Ὁ δὲ) Μεγαπένθης. — Πάντα τρόπον) Κατὰ πάντα τρόπον.

κή. Ἅλις ἤδη) Ἱκανὴ ἡ μαρτυρία.

2. Κατάγρ.) Πλήρης στιγμάτων ἐστίν.

3. Πυριφλ.) Ποταμὸς πυρὸς ἐν ᾅδου οὗτος. — Ἐμβλητ.) Δεῖ ἐμβληθῆναι. — Κερβέρῳ) Κύων δὲ οὗτος, τρεῖς κεφαλὰς ἔχων, φύλαξ τοῦ ᾅδου. — Εἴσομ.) Οἶδά σοι χάριν λέγουσιν οἱ Ἕλληνες οἱ ἀρχαῖοι, τὸ παρ' ἡμῖν Εὐχαριστῶ.

4. Λήθης ὕδ.) Ποταμὸς ἐν ᾅδου, οὗ ἀπὸ τοῦ ὕδατος πίνουσαι αἱ ψυχαὶ, ἐπιλανθάνονται πάντα τὰ ἐν τῷ βίῳ ὄντα καὶ Σημειώσ. 3. Ὥσπερ ἄλλος τις. — Ἐξ ἁπάντ.) Τὸ μόνος, ἄπεὐπέρθεσιν σημαῖνον φύσει, καὶ οὐκ ἀπὸ σχηματισμοῦ, πρὸς γενικὴν φέρεται πληθυντικὴν κατὰ τὰ ὑπερθετικά. Ἔστι δὲ καὶ προθετοπτώτως μετὰ τῆς Ἐξ, ἢ Ἀπό.

κθ΄. Ὑφέξει τὴν δίκην) Κακῶς κολασθήσεται· τὸ γὰρ Ὑπέχω δίκην ἀντὶ τοῦ Κολάζομαι κεῖται. — Ὅσον ἐστ.) Καὶ καθ' ὅσον. — Ἀναπεμπαζόμενος) Εἰς νοῦν ἀνακαλῶν.

2. Τάνταλον) Λέγουσιν ὅτι ὁ Τάνταλος, ἄνθρωπος ὢν, ἠξιώθη γενέσθαι τοῖς Θεοῖς ὁμοτράπεζος, καὶ ἄκουων, ὅσα ἔλεγον, ἔλεγε τοῖς ἀνθρώποις, καὶ διὰ τοῦτο οἱ Θεοὶ ὀργισθέντες, κολάζουσιν αὐτὸν ἐν τῷ ᾅδῃ· Θεωροῦν γὰρ δένδρα πλήρη καρπῶν, καὶ ποταμοὺς παρῤῥέοντας, οὐδὲν αὐτῶν δύναται ἀπογεύσασθαι, αὐτοῦ γὰρ προσιόντος, ἐκεῖνα φεύγουσιν. — Ἔπραξε) Ἐκείνων δηλ. ἃ ἔπραξεν· ἡ σύνταξις Ἀττική.

ς΄. (*) Ἐπειδὴ ὑποτίθεται Χάρων εἰς περιήγησιν ἐπὶ γῆς ἀνελθὼν, καὶ βοηθείᾳ Ἑρμοῦ τῇ ἐπιθέσει τῶν ὀρέων, ἐπισκοπεῖται πάντα, ὅσα συμβαίνει ἐπὶ γῆς καθ' ἡμέραν, διὰ τοῦτο καὶ τοιαύτης εὐμοίρησεν ἐπιγραφῆς ὁ διάλογος οὗτος. Ἐνθα παίζων Λουκιανὸς ἤθη τε διδάσκει, καὶ τὴν ματαιοφροσύνην τῶν ἀνθρώπων ἐλέγχει ἐν σχήματι παιδιᾶς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λιπὼν δεῦρο ἀνελήλυθας, εἰς τὴν παροῦσαν ἡμέραν οὐ πάνυ εἰωθὼς
2 ἐπιχωριάζειν τοῖς ἄνω πράγμασιν; — Χάρ. Ἐπεθύμησα, ὦ Ἑρμῆ, ἰδεῖν ὁποῖά ἐστι τὰ ἐν τῷ βίῳ, καὶ ἃ πράττουσιν οἱ ἄνθρωποι ἐν αὐτῷ, ἢ τίνων στερούμενοι πάντες ὀμώζουσι κατιόντες
3 παρ' ἡμᾶς· οὐδεὶς γὰρ αὐτῶν ἀδακρυτὶ διέπλευσεν. Αἰτησάμενος οὖν παρὰ τοῦ Ἅδου καὶ αὐτὸς, ὥσπερ καὶ ὁ Θετταλὸς ἐκεῖνος νεανίσκος, μίαν ἡμέραν λειπόνεως γενέσθαι, ἀνελήλυθα ἐς τὸ φῶς· καὶ μοι δοκῶ ἐς δέον ἐντετυγχανέναι σοι· ξεναγήσεις γὰρ εὖ οἶδ' ὅτι με ξυμπεριιοντῶν, καὶ δείξεις ἕκαστα, ὡς ἂν εἰδὼς
4 ἅπαντα. — Ἑρμ. Οὐ σχολή μοι, ὦ πορθμεῦ· ἀπέρχομαι γάρ τι διακονησόμενος τῷ ἄνω Διὶ τῶν ἀνθρωπικῶν· ὁ δὲ ἀξύθυμός τέ ἐστι, καὶ δέδια μὴ βραδύνωντά με ὅλον ὑμέτερον ἐάσῃ εἶναι, παραδοὺς τῷ ζόφῳ· ἢ, ὅπερ τὸν Ἡραιστον πρώην ἐποίησε, ῥίψῃ κἀμὲ τεταγὼν τοῦ ποδὸς ἀπὸ τοῦ Θεσπεσίου βηλοῦ, ὡς ὑπο-
5 σκάζων γέλωτα παρέχοιμι καὶ αὐτὸς οἰσυχῶν. — Χάρ. Περιόψει οὖν με ἄλλως πλανώμενον ὑπὲρ γῆς, καὶ ταῦτα ἑταῖρος, καὶ ξύμπλους, καὶ ξυνδιάκτορος ὤν; Καὶ μὴν καλῶς εἶχεν, ὦ παῖ Μαίας, ἐκείνων γοῦν σε μεμνῆσθαι, ὅτι μηδεπώποτέ σε ἢ ἀν-
6 τλεῖν ἐκέλευσα, ἢ πρόσκωπον εἶναι· ἀλλὰ σὺ μὲν ῥέγκεις ἐπὶ τοῦ καταστρώματος ἐκταθεὶς, ὤμους οὕτω καρτεροὺς ἔχων· ἢ εἴ τινα λάλον νεκρὸν εὕροις, ἐκεῖνο παρ' ὅλον τὸν πλοῦν διαλέγῃ. Ἐγὼ
7 δὲ πρεσβύτης ὤν, τὴν δικωπίαν ἔλκων, ἐρέττω μόνος. Ἀλλὰ πρὸς τοῦ πατρὸς, ὦ φίλτατον Ἑρμίδιον, μὴ καταλίπῃς με περιή-

---

— Εἰς τὴν παροῦσαν ἡμέρ.) Εἰς τὴν παροῦσαν ἡμέραν, εἰς τὸ φῶς λέγειν ἔθος ἦν παρ' Ἕλλησιν ὅθεν Αἰσχ. Σωκρ. ἐν Μενέξ. γ'. Εἰ στεφήσομαι τοῦδε, φησί, τοῦ φωτὸς, καὶ τῶν ἀγαθῶν. Τὸν Χάρωνα δὲ πλοῦτεα λέγειν ὅτι ἐν ἅδου μὲν σκότος, ἐνθα αὐτὸς διατριβεῖ, ἐπὶ γῆς δὲ ἡμέρα.

3. Πηρὰ τοῦ Ἅδου) Ἐνοεῖται δὲ τὸν Πλούτωνα· οὗτος γὰρ ἦν ἐν ἅδου βασιλεύς. — Καὶ ὁ Θετ-ταλ.) Τὸν Πρωτεσιλαον λέγει. Τούτων γὰρ φασὶν ἀποθανόντα καὶ τὸν γαμετὴν τῆς γυναικὸς μὴ φέροντα, δεηθῆναι Πλούτωνος μίαν ἡμέραν ἀναβῆναι, καὶ ἀνῆλθε τῇ γυναικί, ἅμα γὰρ αὐτῆς περιπαθὴς· τὸν δὲ Πλούτωνα ἐάσαι, καὶ φανέντα ἰδοῦσα Λαοδάμεια ἡ γυνὴ αὐτοῦ, ἀπέθανεν. — Λειπόνεως γεν.) Λειπεῖν δηλ. τὴν νοῦν. Ἡ ὀνοματικὴ διὰ τὴν ταὐτοπροσωπ. αν· το δὲ Γενέσθαι ἀπὸ τοῦ Γίνομαι. — Ὡ.ὰν εἰδ.) Οἶδα Ὡς ἐπιστάμενος δηλ. οὐ, ὦ Ἑρμῆ, ἅπαντα. Καὶ ἔστιν ὁ Ἀν παρέλκων μὲν οὐ, δύναμιν δὲ τινα παρέχων τῷ Ὡς.

4. Οὐ σχολ.) Ἔλλειπει Ἐστίν. — Τῷ ἄνω Διί) Καὶ ὁ Πλούτων γὰρ ὀνομάζεται κατω Ζεὺς, ὡς ἐν Ἅδου τὴν διατριβὴν ποιούμενος, ὅθεν ὁ Ζεὺς ἄνω· ὡς ἐν οὐρανῷ οἰκῶν. — Ὁ δὲ) Ἄνω Ζεὺς. — Ῥίψῃ κἀμ.) Θέλοντα βοηθῆσαι τῇ μητρὶ Ἥρα Ἡφαιστον Ζεὺς.

Ῥῖψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ Θεσπεσιοιο.

Ὅμηρ. Ἰ. Α. 596. ὁ δὲ, χολωθεὶς, παρεῖχε γέλωτα τοῖς Θεοῖς ὑποσκάζων. — Τέταγ.) Διατείνας καὶ διατινάξας, καὶ ῥίψας· ἔστι δὲ παρα τοῦ τάω· το τείνω.

5. Καὶ ταῦτα) Ποιήσεις δηλ. — Παῖ Μαίας) Ὦ Ἑρμῆ. Διὸς γὰρ καὶ Μαίας ὁ Ἑρμῆς.

6. Διαλέγῃ) Ὁ γὰρ Ἑρμῆς καὶ πάλαι καὶ λόγων θεὸς λέγεται· ὅθεν προσέθηκε τὸ, Ὤμους καρτεροὺς· καὶ τὸ, Διαλέγεσθαι λάλους.

7. Πρὸς τοῦ πατρ.) Διὸς δηλ. Διὸς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ζησαι δὲ τὰ ἐν τῷ βίῳ ἅπαντα, ὡς τι καὶ ἰδὼν ἐπανέλθοιμι ὡς ἦν μὲ σὺ ἀρῇς, οὐδὲν τῶν τυφλῶν διοίσω· καθάπερ γὰρ ἐκεῖνοι σφάλλονται διολισθαίνοντες ἐν τῷ σκότῳ, οὕτω δὴ κἀγώ σοι ἔμπαλιν ἀμβλυώττω πρὸς τὸ φῶς. Ἀλλὰ δὸς, ὦ Κυλλήνιέ, μοι ἐς ἀεὶ μεμνησομένῳ τὴν χάριν.

β'. Ἑρμ. Τουτί τὸ πράγμα πληγῶν αἴτιον καταστήσεταί μοι. Ὁρῶ γοῦν ἤδη τὸν μισθὸν τῆς περιηγήσεως οὐκ ἀκόνδυλον παντάπασιν ἡμῖν ἐσόμενον· ὑπουργητέον δὲ ὅμως· τί γὰρ ἂν καὶ πάθοι τις, ὁπότε φίλος τις ὢν βιάζοιτο; Πάντα μὲν οὖν σε 2
ἰδεῖν καθ' ἕκαστον ἀκριβῶς ἀμήχανόν ἐστιν, ὦ πορθμεῦ. Πολλῶν γὰρ ἂν ἐτῶν ἡ διατριβὴ γένοιτο. Εἶτα ἐμὲ μὲν κηρύττεσθαι δεήσει, καθάπερ ἀποδράντα ὑπὸ τοῦ Διός· σὲ δὲ καὶ αὐτὸν κωλύσει ἐνεργεῖν τὰ τοῦ θανάτου ἔργα, καὶ τὴν Πλούτωνος ἀρχὴν ζημιοῦν, μὴ νεκραγωγοῦντα πολλοῦ τοῦ χρόνου· κἄτα ὁ τελώνης Αἰακὸς ἀγανακτήσει, μηδ' ὀβολὸν ἐμπολῶν. Ὡς δὲ τὰ κεφάλαια τῶν γιγνομένων ἴδοις, τοῦτ' ἤδη σκεπτέον. — Χάρ. Αὐτός, 3
ὦ Ἑρμῆ, ἐπινόει τὸ βέλτιστον· ἐγὼ δὲ οὐδὲν οἶδα τῶν ὑπὲρ γῆς, ξένος ὤν. — Ἑρμ. Τὸ μὲν ὅλον, ὦ Χάρων, ὑψηλοῦ τινος ἡμῖν δεῖ χωρίου, ὡς ἀπ' ἐκείνου πάντα κατίδοις· σοὶ δὴ εἰ μὲν ἐς τὸν οὐρανὸν ἀνελθεῖν δυνατὸν ἦν, οὐκ ἂν ἐκάμομεν· ἐκ περιωπῆς γὰρ ἂν ἀκριβῶς ἅπαντα καθεώρας. Ἐπεὶ δὲ οὐ θέμις, εἰ- 4
δώλοις ἀεὶ ξυνόντα ἐπιβατεύειν τῶν βασιλείων τοῦ Διός, ὥρα ἡμῖν ὑψηλόν τι ὄρος περισκοπεῖν.

γ'. Χάρ. Οἶσθα, ὦ Ἑρμῆ, ἅπερ εἴωθα λέγειν ἐγὼ πρὸς ὑμᾶς, ἐπειδὰν πλέωμεν; ὁπόταν γὰρ τὸ πνεῦμα καταιγίσαν πλαγίᾳ τῇ ὁδόνῃ ἐμπέσῃ, καὶ τὸ κῦμα ὑψηλὸν ἀρθῇ, τότε ὑμεῖς μὲν ὑπ' ἀγνοίας κελεύετε τὴν ὁδόνην στεῖλαι, ἢ ἐνδοῦναι ὀλίγον τοῦ ποδός, ἢ συνεκδραμεῖν τῷ πνεύματι· ἐγὼ δὲ τὴν

γὰρ καὶ Μαῖας, ὡς εἰρηται. — Ἑρμιδ.) Ὑπουργητέος.

— Κυλλ.) Οὕτως ὀνομάζεται ὁ Ἑρμῆς ὡς ἐπὶ Κυλλήνης ὄρους Ἀρκαδίας γεννηθείς. — Τὴν χάρ.) Κατημέρησόν μοι τὴν χάριν ταύτην, ἵν' ἐς ἀεὶ εἰσομαι.

β'. Οὐκ ἀκόνδ.) Ὁρῶ ὅτι διὰ ταύτην τὴν περιήγησιν καὶ πληγὰς λήψομαι, γράδιμα δασεῖς.

2 Κηρύττεσθ.) Ἤτοι ἀποκηρύττεσθαι· ἢ γοῦν κηρύξαι δεήσει, εἴτις τε μηνύσαι πεοὶ ἐμοῦ ἔχοι· ὥσπερ κηρύττουσιν εἴτις ἀποδράῃ. — Πολλοῦ τοῦ χρ.) Διὰ πολλοῦ τοῦ χρ.

3. Σὺ δή) Ἀνωνταπόδοτος ἡ ὀνοματοπ. Ἀλλ' ἐν ἔθει ἐστὶ τὸ τοιοῦτον, ἐκ τῆς βύμης τοῦ λόγου γινόμενον· ὅθεν καὶ Ἱστορ. ἐν τῷ Πανθ. »Αἱ μὲν οὖν »ἀ πίαι . . . δία μακροτέρων μὲν αὐ»τὸς διήθον, αὗται δ' οὖν ἦσαν τοιοῦ»το δὲ δοκεῖ καὶ τὸ τοῦ Ἡσιοδ. Α'. ἀ. »Ὁ δὲ αἰγιαλὸς, μεστὰ πάντα σωμά»των νεοσφαγῶν. — Ὥρα ἡμ.) Καιρὸς ἤδη ἡμῖν ἐστίν.

γ'. Οἶσθα) Οἶδα, οἶδας, οἴδασθα, καὶ κατὰ συγκοπὴν οἶσθα. — Καταιγ.) Ἀπὸ τοῦ Καταιγὶς ὁ ἐξαίφνης ἐγειρόμενος ἄνεμος. — Τοῦ ποδ.) Τὸ ἄκρον τοῦ ἱστίου λέγει. Ποὺς γὰρ λέγεται τὸ σχοινίον ἀφ' οὗ δεδεμένον ἐστὶ τοῦ ἱστίου τὸ ἄκρον. — Συνεκδραμεῖν) Ἵνα δηλ. αὐξήσωμεν τὴν ναῦν (ἴσως κατὰ τὴν θέλησιν τοῦ ἀνέμου. — Ἄγειν) Περίφρασις, ἀντὶ Ἡσυχάζειν. — Δῦπος γὰρ) Ἐννοεῖται

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἡσυχίαν ἄγειν παρακελεύομαι ὑμῖν· αὐτὸς γὰρ εἰδέναι τὰ βελ-
2 τίω. Κατὰ ταῦτα δὴ καὶ σὺ πράττε, ὁπόσα καλῶς ἔχειν νο-
μίζεις, κυβερνήτης νῦν γε ὤν. Ἐγὼ δέ, ὥσπερ ἐπιβάταις νόμος,
σιωπῇ καθεδοῦμαι, πάντα πειθόμενος κελεύοντί σοι. — Ἑρμ.
Ὀρθῶς λέγεις, αὐτὸς γὰρ εἴσομαι τί ποιητέον, κἀξερήσω τὴν
3 ἱκανὴν σκοπήν. Ἆρ' οὖν ὁ Καύκασος ἐπιτήδειος, ἢ ὁ Παρνασ-
σὸς ὑψηλότερος, ἢ ἀμφοῖν ὁ Ὄλυμπος ἐκείνοσί; καὶ τοι σὺ φαῦ-
λόν τι ἀνεμνήσθην ἐς τὸν Ὄλυμπον ἀπιδών· συγκαμεῖν δέ τι
καὶ ὑπουργήσαι καὶ σὲ δεῖ. — Χάρ. Πρόσταττε· ὑπουργήσω
4 γάρ, ὅσα δυνατά. — Ἑρμ. Ὅμηρος ὁ ποιητής φησι τοὺς Ἀ-
λωέως υἱέας, δύο καὶ αὐτοὺς ὄντας ἔτι παῖδας, ἐθελῆσαί ποτε
τὴν Ὄσσαν ἐκ βάθρων ἀνασπάσαντας, ἐπιθεῖναι τῷ Ὀλύμπῳ,
εἶτα τὸ Πήλιον ἐπ' αὐτῇ, ἱκανὴν ταύτην κλίμακα ἕξειν οἰο-
5 μένους καὶ πρόσβασιν ἐπὶ τὸν οὐρανόν. Ἐκείνω μὲν οὖν τῷ μει-
ρακίῳ, ἀτασθάλω γὰρ ἦστην, δίκας ἐτισάτην. Νῷ δέ, (οὐ γὰρ
ἐπὶ κακῷ τῶν θεῶν ταῦτα βουλεύομεν,) τί οὐχὶ οἰκοδομοῦ-
μεν καὶ αὐτοὶ κατὰ τὰ αὐτὰ ἐπικυλινδοῦντες ἐπάλληλα τὰ
ὄρη, ὡς ἔχοιμεν ἀφ' ὑψηλοτέρου ἀκριβεστέραν τὴν σκοπήν.

δ'. Χάρ. Καὶ δυνησόμεθα, ὦ Ἑρμῆ, δύ' ὄντες ἀναθέσθαι
ἀράμενοι τὸ Πήλιον, ἢ τὴν Ὄσσαν; — Ἑρμ. Διὰ τί δ' οὐκ ἄν,
ὦ Χάρων; ἢ ἀξιοῖς ἡμᾶς ἀγεννεστέρους εἶναι τοῖν βρεφυλλίοιν
2 ἐκείνοιν, καὶ ταῦτα, θεοὺς ὑπάρχοντας; — Χάρ. Οὔκ· ἀλλὰ
τὸ πρᾶγμα δοκεῖ μοι ἀπίθανόν τινα τὴν μεγαλουργίαν ἔχειν.
— Ἑρμ. Εἰκότως· ἰδιώτης γὰρ εἶ, ὦ Χάρων, καὶ ἥκιστα ποιη-
τικός. Ὁ δὲ γεννάδας Ὅμηρος ἀπὸ δυοῖν στιχοῖν αὐτίκα ἡ-
μῖν ἀμβατὸν ἐποίησε τὸν οὐρανόν, οὕτω ῥᾳδίως συντιθεὶς τὰ
3 ὄρη. Καὶ θαυμάζω, εἴ σοι ταῦτα τεράστια εἶναι δοκεῖ, τὸν
Ἄτλαντα δηλαδὴ εἰδότι, ὃς τὸν πόλον αὐτόν, εἷς ὤν, φέρει,
ἀνέχων ἡμᾶς ἅπαντας. Ἀκούεις δέ γε ἴσως καὶ τοῦ ἐμοῦ ἀ-
δελφοῦ περί, τοῦ Ἡρακλέους, ὡς διαθέξαιτό ποτε αὐτὸν ἐκεῖ-

Δέγων· ἀεὶ γὰρ τοῦτο ἐννοεῖται, ἑπομένου ἀπαρεμφάτου μετὰ τὸν Γάρ.

2. Νόμος) Ἐννοεῖται ἐστίν. — Κἀξερ.) Καὶ ἐξευρήσω.

3. Ἆρ οὖν) Καθ' ἑαυτὸν συλλογιζόμενον τὸν Ἑρμῆν ἐννοητέον, καὶ λέγοντα ταῦτα. — Ἐκείνοσι) Δεικνύων γὰρ τὸν Ὄλυμπον λέγει· ὅθεν καὶ εἰς ἐπίτασιν δείξεως προστέθη κατ' ἐπέκτασιν τὸ ι. — Ὅσα δυνατ.) Κατ' ἐκεῖνα, ὅσα εἰσὶ δυνατά.

4. Τοὺς Ἀλ. υἱέας) Δύο δὲ ἦσαν οἱ Ἀλωέως παῖδες, Ὦτος καὶ Ἐφιάλτης· οἱ ἐκ Ποσειδῶνος καὶ Ἰφιμεδείας γυναικὸς Ἀλωέως ἐγεννήθησαν, καὶ ἐτράφησαν ὑπὸ Ἀλωέως ὡς ἴδια αὐτοῦ τέκνα· οὗτοι οὖν ὄρη ἐπὶ ὀρῶν θέντες, εἰς οὐρανὸν ἀνελθεῖν ἐφαντάσθησαν.

5. Δίκας ἐτισάτ.) Δίκας τίνειν, τὸ ἀξίως τοῦ ἐγκλήματος κολάζεσθαι δηλοῖ.

δ'. Διὰ τί δ' οὐκ ἄν) Δυνηθείημεν δηλ. — Καὶ ταῦτα) Λέγεις, ἀξιῶν ἀγεννεστέρους εἶναι, θεοὺς ὑπάρχοντας.

3. Τοῦ Ἡρακλ.) Ἡρακλῆς ἀδελφὸς Ἑρμοῦ· ἑκάτεροι γὰρ ἐκ Διός. Οὗτος πρὸς τοῖς ἄλλοις ἄθλοις πολλοῖς καὶ μεγάλοις οὖσι, καὶ τοῦτον ἐποίησεν, ἀνω-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νον τὸν Ἄτλαντα, καὶ ἀναπαύσειε πρὸς ὀλίγον τοῦ ἄχθους, ὑποθεὶς ἑαυτὸν τῷ φορτίῳ; — Χάρ. Ἀκούω καὶ ταῦτα· εἰ δὲ ἀληθῆ ἐστι, σὺ ἄν, ὦ Ἑρμῆ, καὶ οἱ ποιηταὶ εἰδείητε. — Ἑρμ. Ἀληθέστατα, ὦ Χάρων· ἢ τίνος γὰρ ἕνεκα σοφοὶ ἄνδρες ἐψεύδοντο ἄν; ὥστε ἀναμοχλεύωμεν τὴν Ὄσσαν πρῶτον, ὥσπερ ἡμῖν ὑφηγεῖται τὸ ἔπος, καὶ ὁ ἀρχιτέκτων Ὅμηρος, Αὐτὰρ ἐπ' Ὄσσῃ Πήλιον εἰνοσίφυλλον· ὁρᾷς, ὅπως ῥᾳδίως ἅμα καὶ ποιητικῶς ἐξειργασάμεθα; Φέρε οὖν ἀναβὰς ἴδω, εἰ καὶ ταῦτα ἱκανά, ἢ ἐποικοδομεῖν ἔτι δεήσει. 4

ε΄. Παπαί! κάτω ἔτι ἐσμὲν ἐν τῇ ὑπωρείᾳ τοῦ οὐρανοῦ· ἀπὸ μὲν γὰρ τῶν ἑῴων μόγις Ἰωνία, καὶ Λυδία φαίνεται· ἀπὸ δὲ τῆς ἑσπέρας οὐ πλέον Ἰταλίας καὶ Σικελίας· ἀπὸ δὲ τῶν ἀρκτῴων τὰ ἐπὶ τάδε τοῦ Ἴστρου μόνα· κἀκεῖθεν, ἡ Κρήτη οὐ πάνυ σαφῶς· μετακινητέα ἡμῖν, ὦ Πορθμεῦ, καὶ ἡ Οἴτη, ὡς ἔοικεν· εἶτα ὁ Παρνασσὸς ἐπὶ πᾶσι. — Χάρ. Οὕτω ποιῶμεν. Ὅρα μόνον, μὴ λεπτότερον ἐξεργασώμεθα τὸ ἔργον, ἀπομηκύνοντες πέρα τοῦ πιθανοῦ· εἶτα συγκαταῤῥιφθέντες αὐτῷ πικρᾶς τῆς Ὁμήρου οἰκοδομητικῆς πειραθῶμεν, ξυντριβέντες τῶν κρανίων. — Ἑρμ. Θάῤῥει· ἀσφαλῶς γὰρ ἕξει ἅπαντα· μετατίθει τὴν Οἴτην· ἐπικυλινδείσθω καὶ ὁ Παρνασσός. Ἰδού, ἐπάνειμι αὖθις· εὖ ἔχει πάντα ὁρῶ· ἀνάβαινε ἤδη καὶ σύ. — Χάρ. Ὄρεξον, ὦ Ἑρμῆ, τὴν χεῖρα· οὐ γὰρ ἐπὶ μικρὰν με ταύτην τὴν μηχανὴν ἀναβιβάζεις. — Ἑρμ. Εὖγε καὶ ἰδεῖν ἐθέλεις, ὦ Χάρων, ἅπαντα . . . . οὐκ ἔνι δὲ ἄμφω, καὶ ἀσφαλῆ, καὶ φιλοθεάμονα εἶναι· ἀλλ' ἔχου μου τῆς δεξιᾶς, καὶ φείδου μὴ κατὰ τοῦ ὀλισθηροῦ πατεῖν· εὖγε, ἀνελήλυθας καὶ σύ· καὶ ἐπείπερ δικόρυμβος ὁ Παρνασσός ἐστι, μίαν ἑκάτερος ἄκραν ἐπιλαβόμενοι καθεζώμεθα. Σὺ δέ μοι ἤδη ἐν κύκλῳ περιβλέπων, ἐπισκόπει ἅπαντα. 2 3 4 5

ς΄. Χάρ. Ὁρῶ γῆν πολλὴν, καὶ λίμνην τινὰ μεγάλην περιῤῥέουσαν, καὶ ὄρη, καὶ ποταμοὺς τοῦ Κωκυτοῦ καὶ Πυριφλε-

---

κουφίσας τὸν Ἄτλαντα, ὑποθεὶς ἑαυτὸν τῷ φορτίῳ, καὶ βαστάσας καὶ αὐτὸν τὸν οὐρανὸν ἐπὶ τῶν ὤμων.

4. Σὺ ἄν) Ὡς λόγιος δηλ. καὶ πατὴρ τῶν λόγων. — Τίνος γὰρ) Ὁ Γὰρ παρέλκει. — Αὐτὰρ ἐπί) Ὅμηρ. Ὀδύσ. Δ. 315.

ε΄. 2. Ξυντριβ.) Ἡ Ξὺν Ἀττικῶς ἀντὶ Σύν. Γενικῇ δὲ συντέτακται Ἀττικῶς, ἀνομαζομένης τῆς Μέρος αἰτιατικῆς.

4. Οὐκ ἔνι δ') Ὁ Δὲ ἀντὶ τοῦ Γάρ· ὁ δὲ νοῦς. Εὖγε καὶ ἰδεῖν ἐθέλεις ἅπαντα, κινδυνεύειν χρὴ· οὐ γὰρ ἔνεστιν ἄμφω γενέσθαι· καὶ ἀσφαλῆ εἶναι δηλ. καὶ φιλοθεάμονα. — Ἔχου) Ἔστι δὲ ἴσον τῷ παρ' ἡμῖν Πιάσθητι ἀπὸ τῆς δεξιᾶς μου χειρός.

ς΄. Λίμν . . . περιῤῥ.) Τὴν Ὠκεανὸν λέγει· πᾶσα γὰρ ἡ γῆ περιῤῥεῖται ὑπ' αὐτοῦ — Οὗς φωλ.) Ἡ σύνταξις Ἀττική. Ἔδει γὰρ τὸ ἀνωφορικὸν πρὸς τὸ ἡγούμενον, πρὸς ὃ καὶ ἀναφέρεται, συμφωνεῖν κατὰ γένος, οὗ κρὸς τὸ ἑπόμε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γέβοντος μείζονας· καὶ ἀνθρώπους πάνυ σμικροὺς, καὶ τινας φωλεοὺς αὐτῶν. — Ἑρμ. Πόλεις ἐκεῖναί εἰσιν, οὓς φωλεοὺς εἶναι
2 νομίζεις. — Χάρ. Οἶσθα οὖν, ὦ Ἑρμῆ· ὡς οὐδὲν ἡμῖν πέπρακται; ἀλλὰ μάτην τὸν Παρνασσὸν αὐτῇ Κασταλίᾳ, καὶ τὴν Οἴταν, καὶ τὰ ἄλλα ὄρη μετεκινήσαμεν. — Ἑρμ. Ὅτι τί; —
3 Χάρ. Οὐδὲν ἀκριβὲς ἔγνωμε ἀπὸ τοῦ ὑψηλοῦ ὀρῶν· ἐβουλόμην δὲ οὐ πόλεις καὶ ὄρη αὐτὰ μόνον, ὥσπερ ἐν γραφαῖς, ὁρᾶν, ἀλλὰ τοὺς ἀνθρώπους αὐτοὺς, καὶ ἃ πράττουσι, καὶ οἷα λέγουσιν· ὥσπερ ὅτε με τὸ πρῶτον ἐντυχὼν εἶδες γελῶντα, καὶ εἶπας μοι, ὅτι γελῶν· ἀκούσας γὰρ τινος ἥσθην ἐς ὑπερβολήν.
4 — Ἑρμ. Τί δὲ τοῦτ' ἦν; — Χάρ. Ἐπὶ δεῖπνον, οἶμαι, κληθεὶς ὑπὸ τινος τῶν φίλων ἐς τὴν ὑστεραίαν, μάλιστα ἥξω, ἔφη· καὶ μεταξὺ λέγοντος, ἀπὸ τοῦ τέγους κεραμὶς ἐπιπεσοῦσα, οὐκ οἶδ' ὅτου κινήσαντος, ἀπέκτεινεν αὐτόν. Ἐγέλασα οὖν, οὐκ ἐ-
5 πιτελέσαντος τὴν ὑπόσχεσιν. Ἔοικα δὲ καὶ νῦν ὑποκαταβήσεσθαι, ὡς μᾶλλον βλέπουμι, καὶ ἀκούουμι.

ζ'. Ἑρμ. Ἔχ' ἀτρέμας· καὶ τοῦτο γὰρ ἐγὼ ἰάσομαί σοι, καὶ ἐξυδερκέστατον ἐν βραχεῖ ἀποφανῶ, παρ' Ὁμήρου τινὰ καὶ πρὸς τοῦτο ἐπῳδὴν λαβὼν· κἀπειδὰν εἴπω τὰ ἔπη, μέ-
2 μνησο μηκέτι ἀμελοῦντ' ειν, ἀλλὰ σαφῶς πάντα ὁρᾶν. — Χάρ. Λέγε μουνον. — Ἑρμ.

Ἀχλὺν δ' οἱ τοι ἀπ' ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν,
Ὀφρ' εὖ γιγνώσκῃς ἠμὲν θεὸν, ἠδὲ καὶ ἄνδρα.

3 Χάρ. Τί ἐστιν; — Ἑρμ. Ἦδη ὁρᾷς; — Χάρ. Ὑπερφυῶς γε· τυφλὸς ὁ Λυγκεὺς ἐκεῖνος, ὡς πρὸς ἐμέ· ὥστε σὺ τὸ ἐπὶ τούτῳ προ-
4 διδάσκε με, καὶ ἀποκρίνου ἐρωτῶντι. Ἀλλὰ βούλει κατὰ τὸν Ὁμήρου κἀγὼ ἔρωμαί σε, ὡς μάθῃς οὐδ' αὐτὸν ἀμελέστατον ὄντα με τῶν Ὁμήρου; — Ἑρμ. Καὶ πόθεν σὺ ἔχεις τί τῶν ἐκείνου
5 εἰδέναι, νεωστὶ ἀεὶ καὶ πρόσκοπος ὤν; — Χάρ. Ὁρᾷς, ἐνειδιστικὸν τοῦτο ἐς τὴν τέχνην. Ἐγὼ δὲ, ὁπότε διεπόρουμεν αὐτὸν

νον· οἱ δὲ Ἀττικοὶ καινοτομοῦντες πρὸς τὸ ἐπόμενον ἀποδιδόασι τὸ γένος.

3. Ἐν γραφ.) Ἐν Χάρταις ἤτοι καὶ πίναξι γεγραμμένα. — Ὅ,τι γελ.) Καθ' ὅ,τι ἢ Διὰ ὅ,τι γελῶν· καὶ τὸ μὲν εὐκτικὸν, ὅτι ἀπὸ παρωχημένου ὁ λόγος· τὸ δὲ ἄπαρ, Γελᾶν, λῶ.

4. Κληθεὶς) Ἐνταῦθα δὲ ἐνοεῖται Τίς.

ζ'. Ἔχ' ἀτρέμας) Ἀντὶ, Ἠσύχως ἔχε. Ἡσύχαζε.

2. Ἀχλ.) Ὅμηρ. Ἰλ. Ε. 127. — Ἠμὲν . . . ἠδὲ) Ποιητικοὶ οἱ σύνδεσμοι ἀντὶ Μὲν, Δὲ, Οἷον. Ὄφρα εὖ γιγνώσκῃς καὶ θεὸν καὶ ἄνδρα.

3. Ὁ Λυγκεὺς) Εἷς τῶν Ἀργοναυτῶν, ὀξυδερκέστατος, μακρυδεν πολὺ τὰ πάντα ὁρῶν. — Ὡς πρὸς ἐμέ) Ὡς ἔστιν ἐξεταστὴς, πρὸς ἐμὲ παραβαλλόμενος. Καὶ ἔστι τὸ Ὡς οὐ παρέλκον· ἀλλὰ τὸ δυνατὸν τῆς παραβολῆς σημαῖνον. — Τὸ ἐπὶ τούτῳ) Κατὰ τὸ δι' ἐπὶ τούτῳ· ὅπερ ἐστὶν εἰς τὸ ἑξῆς.

4. Βούλει . . . ἔρωμαι.) Κατ' ἔλλειψιν τοῦ Ἵνα· οἷον βούλει ἵνα κἀγὼ ἔρωμαί σε καθ' Ὅμηρον.

5. Τοῦτο) Τὸ εἰδέναι· ἢ γοῦν ὁ λέγεις· καὶ γὰρ, ἢ ὁ λέγεις ἐνειδὸς ἐστι πρὸς τὴν τέχνην· ἢ γοῦν τὸ εἰδέναι τι ἐνειδιστικόν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀποθανόντα, πολλὰ ῥαψῳδοῦντος ἀκούσας, ἐνίων ἔτι μέμνημαι. Καίτοι χειμὼν ἡμᾶς οὐ μικρὸς τότε κατέλαβεν. Ἐπεὶ γὰρ ἤρ- 6
ξατο ᾄδειν οὐ πάνυ αἴσιόν τινα ᾠδὴν τοῖς πλεουσιν, ὡς ὁ Ποσειδῶν συνήγαγε τὰς νεφέλας, καὶ ἐτάραξε τὸν πόντον, ὥσπερ τορύνην τινὰ ἐμβαλὼν τὴν τρίαιναν, καὶ πάσας τὰς θυέλλας ὠρόθυνε, καὶ ἄλλα πολλά, κυκῶν τὴν θάλατταν ὑπὸ τῶν ἐπῶν, χειμὼν ἄρνω καὶ γνόφος ἐμπεσὼν ὀλίγου δεῖν περιέτρεψεν ἡμῖν τὴν ναῦν· ὅτεπερ καὶ ναυτιάσας ἐκεῖνος, ἀπήμεσε τῶν ῥαψῳδῶν τὰς πολλὰς αὐτῇ Σκύλλῃ, καὶ Χαρύβδει, καὶ Κύκλωπι. — Ἑρμ. Οὐ χαλεπὸν οὖν ἦν ἐκ τοσούτου ἐμετοῦ ὀλίγα γοῦν διαφυλάττειν. 7

ἡ. Χάρ. Εἰπὲ γάρ μοι.

Τίς γὰρ δ' ἐστὶ πάχιστος ἀνὴρ, ἠΰς τε, μέγας τε,
Ἔξοχος ἀνθρώπων κεφαλὴν καὶ εὐρέας ὤμους.

Ἑρμ. Μίλων οὗτος ὁ ἐκ Κρότωνος ἀθλητής. Ἐπιπροτοῦσι δ' αὐτῷ οἱ Ἕλληνες, ὅτι τὸν ταῦρον ἀράμενος φέρει διὰ τοῦ σταδίου μέσου. — Χάρ. Καὶ πόσῳ δικαιότερον ἂν ἐνὲ, ὦ Ἑρμῆ, ἐπαινοίεν, ὃς αὐτὸν σοι τὸν Μίλωνα μετ' ὀλίγον ξυλλαβὼν ἐνθήσομαι εἰς τὸ σκαφίδιον, ὁπόταν ἥκῃ πρὸς ἡμᾶς ὑπὸ τοῦ ἀμαχωτάτου τῶν ἀνταγωνιστῶν καταπαλαισθεὶς τοῦ Θανάτου, μηδὲ ξυνείς, ὅπως αὐτὸν ὑποσκελίζει; κἄτα οἰμώξεται ἡμῖν δηλαδὴ, μεμνημένος τῶν στεφάνων τούτων, καὶ τοῦ κρότου· νῦν δὲ μέγα

ἐστι διὰ τὴν ναυτικὴν μόρφωσιν τέχνην. Ἐκπαίζει δὲ διὰ τούτων τοὺς ὀνειδίζουσι τοὺς τέχνην τινὰ ἐπισκαίνοντας τῶν βασιλέων, καὶ καταγελῶντα καὶ εἴτε καὶ λόγου μετέχοιεν.

6. Ὀλίγου δεῖν) Τὸ παρ' ἡμῖν Ὀλίγον ἔλειψε. Τὸ δὲ Δεῖν ἀντὶ τοῦ Δέον κατὰ συναίρεσιν. Ὅθεν καὶ ἀπολύτως λαμβάνεται κατὰ τὰς τῶν ἀποσιωπῶν μετοχάς. — Ἐκεῖν.) Ὁ Ὅμηρος. — Αὐτῇ Σκ. καὶ Χαρ. καὶ Κύκλ.) Ἐν τοῖς δοτικοῖς ταύταις ἐλλείπει ἡ Σύν. Σκύλλα μὲν οὖν ἓξ κεφαλὰς εἶχε, τὰ δὲ ἄνω ἀνθρώπου, περὶ τὸ Ῥήγιον τῆς Σικελίας· ἔστι δὲ ἀκρωτήριον ἐξέχον εἰς θάλασσαν, οὗ κάτωθεν πέτραι πολλαὶ καὶ μεγάλαι ἔχουσι κοίλους πόντους καὶ σπήλαια, ἐνοῖς καταμένουσι θηρία θαλάσσης ἧς πλησίον ἡ Χαρύβδις περὶ Μεσσήνην· τὸν δὲ πλοῦν ἐν ταῖς πέτραις ἀκοντιζομένων, ἐκ τοῦ τῆς Χαρύβδεος ὕδατος, καὶ συγκλυζομένων, τοὺς ἄνδρας ἔτθιουσι· Φόρκυς δὲ πατὴρ Σκύλλης εἴη· οὗν ἡ θάλασσα περὶ ὧν Ὅμηρ. Κύκλωψ δὲ, Ποσειδῶνος υἱὸς Πολύφημος· ἐν Σικελίᾳ δὲ ᾤκουν οἱ Κύκλωπες ἕνα ὀφθαλμὸν κατὰ τὸ μέτωπον ἔχοντες· τὸν δὲ Πολύφημον ἐνίοτε Ὀδυσσεὺς εἰς Σικελίαν, καὶ ἐγλυκανθεὶς ὑπ' αὐτοῦ εἰς τὸ σπήλαιον, ἐξεπύρωσε· περὶ οὗ Ὅμηρ. Ὀδ. Ι.

7. Ἐμετοῦ) Σκωπτόμεναι ὅτι οὐ πρώτος Λουκιανὸς τῆς ἰδέας ταύτης τοῦ καθ' Ὅμηρον ἐμετοῦ ἐγένετο Καίγαρ καὶ Γαλάτων ὁ Ζωγράφος, ὡς φησιν Ἀλκαῖος Ποικίλ. Ἱστορ. ΙΓ'. κθ'. ἐγραψεν Ὅμηρον ἐμοῦντα, τοὺς δὲ ἄλλους ποιητὰς τὰ ἐμημεμεμένα ἀφυνοῦντας.

ἡ. Τίς γὰρ δδ') Ὅμηρ. Ἰλ. Γ. 226. Τὸ δὲ Ὅδε ἀντὶ τοῦ Οὗτος· τὸ ἀεθρον μετὰ τοῦ Δὲ ἀντὶ δεικτικῆς ἀυτωνυμίας. — Παχύς.) Παρὰ τὸ Πάχος. — Εὐρέας ὤμ.) Λέ αἰτιατικαὶ κατὰ συνεκδοχὴν τῶν Κατά — Διὰ τὸ στάδ. μετ.) Τὸ ἐπίθετον ἀνάρθρως, ὡς μὴ πρὸς τὸ στάδιον ἀναφερόμενον· ἔστι γὰρ ὅτι διὰ μέσου χωρίου τοῦ σταδίου· ὁ γὰρ Μίλων ὁ ἀθλητὴς, ὁ Κροτωνιάτης, φασὶ, εἶναι μνᾶς κρεῶν ἤσθιε, καὶ τοσαύτας ἄστυν, οἶνον δὲ τρεῖς χοᾶς ἔπινεν· Ἐν δ' Ὀλυμπίᾳ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

3 φρονεῖ, θαυμαζόμενος ἐπὶ τῇ τοῦ ταύρου φορᾷ. Τί οὖν; οἰηθῶμεν ἄρα ἐλπίζειν αὐτὸν καὶ τεθνήξεσθαί ποτε; — Ἑρμ. Πόθεν ἐκεῖνος θανάτου νῦν μνημονεύσειεν ἂν ἐν ἀκμῇ τοσαύτῃ; — Χάρ. Ἔα τοῦτον οὐκ εἰς μακρὰν γέλωτα ἡμῖν παρέξοντα, ὁπότ' ἂν πλέῃ μηδὲ ἐμπίδα, οὐχ ὅπως ταῦρον, ἔτι ἄρασθαι δυνάμενος.

Θ'. Σὺ δέ μοι ἐκεῖνο εἰπέ, τίς τ' ἄρ' ὁδ' ἄλλος ὁ σεμνὸς ἀνήρ; οὐχ Ἕλλην, ὡς ἔοικεν ἀπὸ γοῦν τῆς στολῆς. — Ἑρμ. Κῦρος, ὦ Χάρων, ὁ Καμβύσου, ὃς, τὴν ἀρχὴν πάλαι Μήδων ἐχόντων, νῦν Περσῶν ἤδη ἐποίησεν εἶναι. Καὶ Ἀσσυρίων ἔναγχος οὗτος ἐκράτησε, καὶ Βαβυλῶνα παρεστήσατο· καὶ νῦν ἐλασείοντι ἐπὶ Λυδίαν ἔοικεν, ὡς καθελὼν τὸν Κροῖσον ἅρχοι ἁπάντων. — Χάρ. Ὁ Κροῖσος δὲ ποῦ ποτε κἀκεῖνός ἐστιν; — Ἑρμ.
2 Ἐκεῖσε ἀποβλέψον ἐς τὴν μεγάλην ἀκρόπολιν, τὴν τὸ τριπλοῦν τεῖχος· Σάρδεις ἐκεῖναι, καὶ τὸν Κροῖσον αὐτὸν ὁρᾷς ἤδη ἐπὶ κλίνης χρυσῆς καθήμενον, Σόλωνι τῷ Ἀθηναίῳ διαλεγόμενος;
3 Βούλει ἀκούσωμεν αὐτῶν, ὅ,τι καὶ λέγουσι; — Χάρ. Πάνυ μὲν οὖν.

i. » Κροῖσ. Ὦ ξένε Ἀθηναῖε, εἶδες γάρ μου τὸν πλοῦτον, καὶ τοὺς θησαυροὺς, καὶ ὅσος ἄσημος χρυσός ἐστιν ἡμῖν, καὶ τὴν ἄλλην πολυτέλειαν, εἰπέ μοι, τίνα ἡγῇ τῶν ἁπάντων ἀνθρώπων εὐδαιμονέστατον εἶναι«. — Χάρ. Τί ἄρα ὁ Σόλων ἐρεῖ; — Ἑρμ. Θάρ-
2 ρει· οὐδὲν ἀγεννές, ὦ Χάρων. — »Σόλ. Ὦ Κροῖσε, ὀλίγοι μὲν οἱ εὐδαίμονες· ἐγὼ δὲ, ὧν οἶδα, Κλέοβιν καὶ Βίτωνα ἡγοῦμαι εὐδαιμονεστάτους γενέσθαι, τοὺς τῆς ἱερείας παῖδας, τῆς Ἀργόθεν«. — Χάρ. Φησὶν οὗτος τοὺς ἅμα πρώην ἀποθανόντας, ἐπεὶ τὴν μητέρα ὑποδυντες, εἵλκυσαν ἐπὶ τῆς ἀπήνης ἄχρι πρὸς τὸ ἱερόν.

ταῦρον ἀναθέμενος τοῖς ἅμμασι τετρακτῇ, καὶ τοῦτον περιενέγκας τὸ στάδιον, μετὰ ταῦτα διαιτρεύσας, μόνος αὐτὸν κατέφαγεν ἐν μιᾷ ἡμέρᾳ.

3. Οὐχ ὅπως ταῦρον) Τὸ οὐχ ὅπως εἰς τὸ Πόσῳ μᾶλλον ἢ κοινῇ ἐκφράζει διάλεκτος.

Θ'. Ἐλασείοντι) Ἐλασείω τὸ ἔχω σκοπὸν ἐλαύνειν. Ὁ γὰρ Κῦρος εἰς Λυδίαν ἐλάσας, καὶ τὸν Κροῖσον καθελὼν, πᾶσαν ῥᾳδίως τὴν Ἀσίαν ὑφ' ἑαυτὸν ἐποιήσατο.

2. Τὸ τριπλοῦν τεῖχος) Ἐννοεῖται Περιβεβλημένην, ἣ ἔχουσαν — Σάρδεις ἐκ.) Ἐννοεῖται Ἐστὶν ἤτοι Ἐκείνη ἡ πόλις, ἣν ὁρᾷς, εἰσὶν αἱ Σάρδεις.

3. Πάνυ μὲν) Κροῖσος δείξας πάντα τὸν πλοῦτον καὶ τοὺς θησαυροὺς Σόλωνι τῷ Ἀθηναίων νομοθέτῃ, κατα περιήγησιν εἰς Σάρδεις ἐλθόντι, δόξας ἐπαινεθῆναι ὑπ' αὐτοῦ, ἐπεὶ οὐκ ἔτυχεν αὐτὸς αὐτὸν εἴσετο. Ὅσα δὲ τὴν διάλεξιν ταύτην παρ' Ἡροδότῳ ἐν Κλειῳ, κεφ. λ'.

i. Ἄσημος χρυσός) Ὁ μὴ ἔχων τὸ σημεῖον· ὁ μὴ μεταβληθεὶς εἰς χρήματα σημεῖον ἔχοντα κεχαραγμένον. — Ἐρεῖ) Εἰρηκα.

2. Τῆς Ἀργόθεν) Τῆς ἐκ τοῦ Ἄργους δηλ. Κλέοβις γὰρ καὶ Βίτων, τῆς μητρὸς ἱερείας οὔσης τῆς Ἥρας, ἐπειδὴ τῆς εἰς τὸν ναὸν ἀναβάσεως ἦκεν ὁ καιρὸς, τῶν ἐλλόντων τὴν ἀπήνην ἡμιόνων ὑστερησάντων, καὶ τῆς ὥρας ἐπειγούσης, ὑποδύντες ὑπὸ τὴν ἀπήνην, ἤγαγον εἰς τὸ ἱερὸν τὴν μητέρα· ἧς ὑπερησθεῖσα κῦξατο τὸ κράτιστον αὐτοῖς παρὰ θεοῦ γενέσθαι· οἱ δὲ κοιμηθέντες, μηκέτι ἀνέστησαν. Ἡροδότ. Κλειο. κεφ. λ'. — Ἄχρι πρὸς τ.) Σύνηθες δὲ τὸ Ἐπίρρημα τοῦτο καὶ πρὸς προθετόπτωτον ῥῆμα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

— »Κροῖσ. Ἔστω· ἐχέτωσαν τὰ πρῶτα ἐκεῖνοι τῆς εὐδαιμονίας· 3
ὁ δεύτερος δὲ, τίς ἂν εἴη;« — »Σόλ. Τέλλος ὁ Ἀθηναῖος, ὃς εὖ τε
ἐβίω, καὶ ἀπέθανεν ὑπὲρ τῆς πατρίδος.» — «Κροῖσ. Ἐγὼ δὲ, ὦ
κάθαρμα, οὔ σοι δοκῶ εὐδαίμων εἶναι;« — »Σόλ. Οὐδέπω οἶδα, ὦ 4
Κροῖσε, ἢν μὴ πρὸς τὸ τέλος ἀρίκῃ τοῦ βίου· ὁ γὰρ θανάτος ἀκριβὴς ἔλεγχος τῶν τοιούτων, καὶ τὸ ἄχρι πρὸς τὸ τέρμα εὐδαιμόνως διαβιῶναι.« — Χάρ. Κάλλιστα, ὦ Σόλων, ὅτι ἡμῶν οὐκ ἐπιλέλησαι, ἀλλὰ παρὰ τὸ πορθμεῖον αὐτὸ ἀξιοῖς γενέσθαι τὴν περὶ τῶν τοιούτων κρίσιν.

ιά. Ἀλλὰ τίνας ἐκείνους ὁ Κροῖσος ἐκπέμπει, ἢ τί καὶ ἐπὶ τῶν ὤμων φέρουσι; — Ἑρμ. Πλίνθους τῷ Πυθίῳ χρυσᾶς ἀνατίθησι, μισθὸν τῶν χρησμῶν, ὑφ᾽ ὧν καὶ ἀπολεῖται μικρὸν ὕστερον· φιλόμαντις δὲ ὁ ἀνὴρ ἐκτόπως. — Χάρ. Ἐκεῖνο γὰρ ἐστιν ὁ χρυσὸς τὸ λαμπρὸν, ὃ ἀποστίλβει; τὸ ὕπωχρον μετ᾽ ἐρυθήματος; νῦν γὰρ πρῶτον εἶδον, ἀκούων ἀεί. — Ἑρμ. Ἐκεῖνο, ὦ Χάρων, τὸ ἀοίδιμον ὄνομα, καὶ περιμάχητον. — Χάρ. Καὶ μὴν οὐχ ὁρῶ, ὅ,τι ἀγαθὸν αὐτῷ πρόσεστιν, εἰμὴ ἄρα ἕν τι μόνον, ὅτι βαρύνονται οἱ φέροντες αὐτό. — Ἑρμ. Οὐ γὰρ οἶσθα, ὅσοι πόλεμοι διὰ τοῦτο, καὶ ἐπιβουλαὶ, καὶ λῃστήρια, καὶ ἐπιορκίαι, καὶ φόνοι, καὶ δεσμὰ, καὶ πλοῦς μακρὸς, καὶ ἐμπορίαι, καὶ δουλεῖαι; — Χάρ. Διὰ τοῦτο, ὦ Ἑρμῆ, τὸ μὴ πολὺ τοῦ χαλκοῦ διαφέρον; οἶδα γὰρ τὸν χαλκὸν, ὀβολὸν, ὡς οἶσθα, παρὰ τῶν καταπλεόντων ἑκάστου ἑκλέγων. — Ἑρμ. Ναὶ· ἀλλ᾽ ὁ χαλκὸς 4
μὲν πολὺς· ὥστε οὐ πάνυ σπουδάζεται ὑπ᾽ αὐτῶν· τοῦτον δὲ ὀλίγον ἐκ πολλοῦ τοῦ βάθους οἱ μεταλλεύοντες ἀνορύττουσι· πλὴν ἀλλ᾽ ἐκ τῆς γῆς καὶ οὗτος, ὥσπερ ὁ μόλιβδος, καὶ τἆλλα. —

σθαι· ὡς καὶ παρακαταιῶν. Ἄχρι πρὸς τὸ τέρμα φησὶ καὶ ἐν Ἰκαρομένιπ. Ἄχρι πρὸς τὴν σελήνην.

3. Τέλλος ὁ Ἀθηναῖος) Τέλλῳ τῷ Ἀθηναίῳ παῖδες ἦσαν καλοὶ κἀγαθοὶ, ὧν τέκνα εἶδεν, εὐδαιμόνως ζήσας, καὶ ἐν τῇ πρὸς Ἐλευσῖνα μάχῃ κατὰ τῶν ἀστυγειτόνων ἀποθανὼν, ταφῆς ἐνδόξου καὶ τιμῆς ἠξιώθη. Ἡρόδοτ. Κλειο. κεφ. λ'.

ιά. Τῷ Πυθίῳ) Ἀπόλλωνι. Ἀπόλλων γὰρ τοξεύσας ἐφόνευσε Πύθωνα δράκοντα μέγαν, γεννηθέντα ἐπὶ γῆς μετὰ τὸν Δευκαλίωνος κατακλυσμὸν, τὴν μητέρα αὐτοῦ Λητὼ κατ᾽ ἐπιτιμίαν Ἥρας διώκοντα· οὗ τὸ δέρας ἐπὶ τρίποδος ἐν Δελφοῖς, ἔνθα ἦν τὸ ἱερὸν Ἀπόλλωνος, Πυθίου διὰ τοῦτο κληθέντος, ἐτάξετο ἐπιτίθεσθαι, καὶ ἐπὶ τούτου τὴν ἱέρισσαν. Πυθίων καθημένων χρησμοδοτεῖν. — Ἀποδοτεῖται) Ἔλαβε γὰρ ὁ Κροῖσος χρησμὸν, ὃς ἔλεγε.

Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει.

Ὁ δὲ Ἅλυς ποταμὸς ἦν διορίζων τὴν Κροίσου καὶ Μήδων ἀρχήν· ὁ δὲ Κροῖσος τούτῳ τῷ χρησμῷ πειθόμενος, καὶ στρατεύσας κατὰ Περσῶν, κατέλυσε τὴν ἑαυτοῦ ἀρχὴν μεγάλην οὖσαν, νικηθεὶς ὑπὸ Κύρου· οἰόμενος τὴν ἐκείνου καταλύσειν. Οὕτως οὖν ὑπὸ τῶν χρησμῶν ἀπώλετο. — Ἐκτόπως) Πάντα γὰρ τὰ μαντεῖα ἠρώτησε παντοίως, καὶ δῶρα παντοῖα προσήνεγκεν αὐτοῖς, ὡς Ἡρόδοτος ἱστόρηκεν.

3. Ὀβολ.) Ἔθος γὰρ ἦν τῶν ἀποθανόντων ἐν τῷ στόματι ὀβολὸν τιθέναι, ἵνα δῶθεν διδῶσι πορθμεῖα τῷ Χάρωνι, διαπορθμεύοντι αὐτοὺς εἰς τὸν ᾅδην.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Χάρ. Δεινήν τινα λέγεις τῶν ἀνθρώπων τὴν ἀθελτηρίαν, οἱ το-
5 σοῦτον ἔρωτα ἐρᾶσιν ὀχροῦ καὶ βαρέως κτήματος. — Ἑρμ. ἀλλ' οὐ Σόλων γε ἐκεῖνος, ὦ Χάρων, ἐρᾷν αὐτοῦ φαίνεται, ὡς ὁρᾷς· καταγελᾷ γὰρ τοῦ Κροίσου, καὶ τῆς μεγαλαυχίας τοῦ βαρβάρου· καὶ, μοι δοκεῖ, ἔρεσθαί τι βούλεται αὐτόν· ἐπακούσωμεν οὖν.

ιθ'. »Σόλ. Εἰπέ μοι, ὦ Κροῖσε, οἴει γάρ τι δεῖσθαι τῶν πλούθων τούτων τὸν Πύθιον;« — »Κροῖσ. Νή Δί· οὐ γὰρ ἔστιν αὐτῷ
2 ἐν Δελφοῖς ἀνάθημα οὐδὲν τοιοῦτον.« — »Σόλ. Οὐκοῦν μακάριον οἴει τὸν θεὸν ἀπορρίψειν, εἰ κτήσαιτο σὺν τοῖς ἄλλοις καὶ πλούθους χρυσᾶς;« — »Κροῖσ. Πῶς γὰρ οὔ;« — »Σόλ. Πολλὴν μοι λέγεις, ὦ Κροῖσε, πενίαν ἐν τῷ οὐρανῷ, εἰ ἐκ Λυδίας μεταστέλλεσθαι τὸ χρυσίον δεήσει αὐτοῦ, ἣν ἐπιδυμήσωσι.« — »Κροῖσ. Πού
3 γὰρ τοσοῦτος ἂν γένοιτο χρυσὸς, ὅσος παρ' ἡμῖν;« — »Σόλ. Εἰπέ μοι, σίδηρος δὲ ὀρύσσεται ἐν Λυδίᾳ;« — »Κροῖσ. Οὐ πάνυ τι.« — »Σόλ. Τοῦ βελτίονος ἄρα ἐνδεὲς ἐστε.« — »Κροῖσ. Πῶς ἀμείνων ὁ σίδηρος τοῦ χρυσίου;« — »Σόλ. Ἢν ἀποκρίνῃ μηδὲν ἀγανακτῶν,
4 μάθοις ἄν.« — »Κροῖσ. Ἐρώτα, ὦ Σόλων.« — »Σόλ. Πότερον ἀμείνους οἱ σώζοντές τινας, ἢ οἱ σωζόμενοι πρὸς αὐτῶν;« — Κροῖσ. Οἱ σώζοντες δηλαδή.« — »Σόλ. Ἆρ' οὖν, ἢν Κῦρος, ὡς λεγοποιοῦσι τινὲς, ἐπὶ Λυδίᾳ, χρυσᾶς μαχαίρας σὺ ποιήσῃ τῷ στρατῷ, ἢ ὁ σίδηρος ἀναγκαῖος τότε;« — »Κροῖσ. Ὁ σίδηρος δηλαδή.« — »Σόλ. Καί εἴ γε μὴ τοῦτον παρασκευάσαιο, ὄχροιτο ἂν σοι ὁ χρυ-
5 σὸς ἐς Πέρσας αἰχμάλωτος.« — »Κροῖσ. Εὐρήμει, ἄνθρωπε.« — »Σόλ. Μὴ γένοιτο μὲν οὖν οὕτω ταῦτα· φαίνῃ δ' οὖν ἀμείνων τοῦ χρυσοῦ τὸν σίδηρον ὁμολογῶν.« — »Κροῖσ. Οὐκοῦν καὶ τῷ θεῷ κελεύεις σιδηρᾶς πλούθους ἀνατιθέναι με, τὸν δὲ χρυσὸν ὀπίσω αὖ-
6 θις ἀνακαλεῖς;« — »Σόλ. Οὐδὲ σιδήρου ἐκεῖνός γε δεήσεται· ἀλλ' ἤν τε χαλκὸν, ἤν τε χρυσὸν ἀνάθῃς, ἄλλοις μὲν ποτε κτῆμα, καὶ ἔρμαιον ἔσῃ ἀνατεθεικώς, Φωκεῦσιν, ἢ Βοιωτοῖς, ἢ Δελφοῖς αὖ-

---

4. Ἐρώτα ἐρώτεν) Ὡς ἐπιβατικῶς, ποὺς ἐπίστασιν τοῦ λεγομένου λεξιλογικοῦ εἴτε κατ' αἰτιατικὴν τιθεμένου τοῦ συστίχου τῷ ῥήματι ὀνόματος.

ιθ'. Οἴει γαρ) Ὁ Γὰρ παρέλκει κατ' ἔμφασιν κείμενος· ὅπερ διὰ τοῦ Καὶ ἡμεῖς ἐκφέρομεν, οἷον Καὶ νομίζεις ὅτι ἔχει τινὰ χρεία τῶν πλούθων τούτων ὁ Πύθιος.

3. Σίδηρος δὲ) Ὁ δὲ μεταβατικῶς, καὶ οὐ παρελκῶν, καὶ ἄθλιον, οὕτως ἀναγινωσκομένου τοῦ χωρίου. Σίδηρος δὲ, εἰπέ μοι, ῥύεται ἐν Λυδίᾳ; — Μάθοις ἄν) Ἔσται σοι δυνατὸν μαθεῖν. Καὶ ἔστι δυνατικὸς ὁ Ἂν τὸ ῥῆμα μαθόντα.

6. Ἔσῃ ἀνατεθεικώς) Πεπροφασιστικῶς, ἀντὶ ἀναθήτεις. Οὗ ὄφ. τῷ Θεῷ, ἐκείνοις δέ τοι τὸ ἀνάθημα ἔσται. — Φωκ. ἢ Βοιωτ. ἢ Δελ.) Τῶν γὰρ Φωκέων γεωργησάντων χώραν ἀνατεθειμένην εἰς τὸν ἐν Δελφοῖς Ἀπόλλωνα, καὶ κατακριθέντων ὡς ἱεροσύλων, ἠγέρθη ὁ ἱερὸς καλούμενος πόλεμος· ὅτε καὶ ὁ στρατηγὸς Φωκέων Φιλομελὸς κατέτηξε τοὺς θησαυροὺς τοῦ Θεοῦ, καὶ διεδίδου τοῖς στρατιώταις· πολλὰ δὲ μαχῶν γενομένων,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῖς, ἤ τινι τυράννῳ, ἢ λῃστῇ· τῷ δὲ ζεῷ ὀλίγον μέλει τῶν σῶν χρυσοποιῶν. « — » Κροῖσ. Ἀεὶ σύ μου τῷ πλούτῳ προσπολεμεῖς καὶ φθονεῖς. «

ιγ'. Ἑρμ. Οὐ φέρει ὁ Λύδος, ὦ Χάρων, τὴν ἀλήθειαν καὶ τὴν παῤῥησίαν τῶν λόγων, ἀλλὰ ξένον αὐτῷ δοκεῖ τὸ πρᾶγμα, πένης ἄδοξος οὐχ ὑποπτήσσων, τὸ δὲ παριστάμενον ἐλευθέρως λέγων. Μεμνήσεται δ' οὖν μακρὸν ὕστερον τοῦ Σόλωνος, ὅταν 2
αὐτὸν δέῃ ἀλόντα ἐπὶ τὴν πυρὰν ὑπὸ τοῦ Κύρου ἀναχθῆναι· ἤκουσα γὰρ τῆς Κλωθοῦς πρώην ἀναγιγνωσκούσης τὰ ἑκάστῳ ἐπικεκλωσμένα· ἐν οἷς καὶ ταῦτ' ἐγέγραπτο, Κροῖσον μὲν ἁλῶναι ὑπὸ Κύρου, Κῦρον δὲ αὐτὸν ὑπ' ἐκείνῃσι τῆς Μασσαγετίδος ἀποθανεῖν. Ὁρᾷς τὴν Σκυθίδα, τὴν ἐπὶ τοῦ ἵππου τούτου τοῦ 3
λευκοῦ ἐξελαύνουσαν; — Χάρ. Νὴ Δία. — Ἑρμ. Τώμυρις ἐκείνη ἐστί. Καὶ τὴν κεφαλήν γε ἀποτεμοῦσα τοῦ Κύρου αὐτῇ, ἐς ἀσκὸν ἐμβαλεῖ πλήρη αἵματος. Ὁρᾷς δὲ καὶ τὸν υἱὸν αὐτοῦ τὸν νεανίσκον; Καμβύσης ἐκεῖνός ἐστιν. Οὗτος βασιλεύσει μετὰ 4
τὸν πατέρα, καὶ μυρία κακὰ ἐν τε τῇ Λιβύῃ, καὶ Αἰθιοπίᾳ, τὸ τελευταῖον μανεὶς ἀποθανεῖται, ἀποκτείνας τὸν Ἄπιν. — Χάρ. 5
Ὦ πολλοῦ γέλωτος! Ἀλλὰ νῦν τίς ἂν αὐτοὺς προσβλέψειεν, οὕτως ὑπερῤῥονοῦντας τῶν ἄλλων; ἢ τίς ἂν πιστεύσειεν, ὡς μετ' ὀλίγον οὗτος μὲν αἰχμάλωτος ἔσται, οὗτος δὲ τὴν κεφαλὴν ἕξει ἐν ἀσκῷ αἵματος;

ιδ'. Ἐκεῖνος δὲ τίς ἐστιν, ὦ Ἑρμῆ, ὁ τὴν πορφυρᾶν ἐρεστρίδα ἐμπεποιημένος, ὁ τὸ διάδημα, ὁ τὸν δακτύλιον ὁ μάγειρος ἀνα-

---

τέλος οἱ Βοιωτοί, βοηθοῦντες ὑπὸ Φιλίππου τοῦ Μακεδόνος, ἐκώλυσαν τοὺς Φωκεῖς· καὶ τὸ ἱερὸν παρέλαβον Διόδωρ.) Σκελ. ἰγ'. νγ'.

ιγ'. 2. Ἀναχθ.) Κροῖσος ἁλοὺς ὑπὸ Κύρου ἐπὶ πυρὰν ἀνήχθη δεσμοῖς, ἐνθα ἀναμνησθεὶς τῶν Σόλωνος λόγων ἐδάκρυσεν ὦ Σόλων, Σόλων! Κῦρος ἀκούσας, καὶ πυθόμενος ἐνταῦθα πάντα, καὶ τὰς τύχας ἐκείνας Κροῖσον τὰς πυρὰς ἐξέκαιετο, καὶ σῴζουσιν τὸν λοιπὸν ἔχει. Ἡροδ. Κλειώ. πγ'.

— Ἥκουσα γὰρ) Ἐννοεῖται τὸ λέγω ταῦτα· ὁ κατασκευάζει ὁ Γάσ. — Ἀποθανεῖν) Κῦρος μετὰ τὴν Λυδίας καὶ Βαβυλῶνος ἅλωσιν, στρατεύσας κατὰ Μασσαγετῶν, ἔθνος Σκυθικόν, διαβὰς τὸν Ἀραξῆν ποταμόν, βρώματα καὶ οἶνον καταλιπὼν, μεθυσθεὶς Μασσαγέταις ἐπέπεσεν, ἀποκτείνων πολλοὺς αὐτῶν καὶ τὸν υἱὸν Τωμύριδος βασιλέσσης Μασσαγετῶν· ἡ δὲ, συλλέξασα πᾶσαν τὴν δύναμιν, νικᾷ καὶ ἀποκτείνει Κῦρον, συμπαρεσκευάσα καὶ τὴν κεφαλὴν τεμοῦσα, εἰς ἀσκὸν ἔθετο πλήρη αἵματος ἐπειπουσα. Κορέσθητι αἵματος ἀνθρωπείου Κῦρε. Ἡροδοτ. Κλει. σά. σεα.

4. Ἀποθαν.) Καμβύσης ὁ Κύρου παῖς Αἰγύπτου ἐχειρώσατο ἐνεῦθεν δὲ τὸ μὲν ἐπὶ Ἀμμωνίους κατὰ Λιβύην στρατεύσας τῷ στρατεύματι ἐν τῇ ψάμμῳ ἐξαμαυρίσθη πᾶν· αὐτὸς δὲ ὑπὸ μέθης κατ' Αἰθιοπίαν ὁδὸν ἐπιστρεψας, διὰ τὸ ἐλλιπὸν πίναι τὰ ἐπιτήδεια, καὶ τὰ ὑποζύγια, καὶ ἐν ὀκτὼ ἔνα ἀπολλύουσιν ἐστέλλετο πρὸς στρατεύσας κατ' Ἄπιν Ἔπαφον, μάχην, θεὸν Αἰγυπτίων κτείνας· εἰς τὸν μηρὸν τρώσας, ἐμάνη. Ἀποστασίαν δὲ ἀκούσας ἐν Περσαις, ἐν τῇ ὁδῷ ἐπιβαίνων τοῦ ἵππου, τῷ ἔφιππ γυμνωθέντι εἰς τὸ μηρὸν τρωθεὶς, ἀπέθανε. Ἡροδοτ. ἐν Θαλ.

5. Οὗτος μὲν) Ὁ Κροῖσος δηλ. — Οὗτος δὲ) Ὁ Κῦρος. δηλ.

ιδ'. Ὁ τὸ διάδ.) Φορῶν δηλ. — Νήσῳ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δίδωσι, τὸν ἰχθῦν ἀνατεμών, »Νήσῳ ἐν ἀμφιρύτῃ, βασιλεὺς δὲ
2 τίς εὔχεται εἶναι;« — Ἑρμ. Εὖγε παρῳδεῖς, ὦ Χάρων. Ἀλλὰ
Πολυκράτην ὁρᾷς τὸν Σαμίων τύραννον, πανευδαίμονα οἰόμενον
εἶναι· ἀτὰρ καὶ οὗτος αὐτός, ὑπὸ τοῦ παρεστῶτος οἰκέτου Μαιαν-
δρίου προδοθεὶς Ὀροίτῃ τῷ σατράπῃ, ἀνασκολοπισθήσεται, ἄθλιος
ἐκπεσὼν τῆς εὐδαιμονίας ἐν ἀκμαῖῳ τοῦ χρόνου. Καὶ ταῦτα γὰρ
2 τῆς Κλωθοῦς ἐπήκουσα. — Χάρ. Εὖγε, ὦ Κλωθοί, γεννικῶς καὶ
αὐτούς, ὦ βελτίστη, καὶ τὰς κεφαλὰς ἀπότεμνε, καὶ ἀνασκολο-
πίζε, ὡς εἰδῶσιν ἄνθρωποι ὄντες. Ἐν τοσούτῳ δὲ ἐπαιρέσθων,
ὡς ἂν ἀφ' ὑψηλοτέρου ἀλγεινότερον καταπεσούμενοι. Ἐγὼ δὲ γε-
λάσομαι τότε γνωρίσας αὐτὸν ἕκαστον γυμνὸν ἐν τῷ σκαφιδίῳ,
μήτε πορφυρίδα, μήτε τιάραν, ἢ κλίνην χρυσῆν κομίζοντας.

ιέ. Ἑρμ. Καὶ τὰ μὲν τούτων ὧδε ἔξει· τὴν δὲ πληθύν, ὦ
Χάρων, ὁρᾷς, τοὺς πλέοντας αὐτῶν, τοὺς πολεμοῦντας, τοὺς
δικάζομένους, τοὺς γεωργοῦντας, τοὺς δανείζοντας, τοὺς προ-
σαιτοῦντας; — Χάρ. Ὁρῶ ποικίλην τινὰ τὴν διατριβήν, καὶ με-
στὸν ταραχῆς τὸν βίον, καὶ τὰς πόλεις γε αὐτῶν ἐοικυίας τοῖς
σμήνεσιν, ἐν οἷς ἅπας μὲν ἴδιόν τι κέντρον ἔχει, καὶ τὸν πλησίον
κεντεῖ· ὀλίγοι δέ τινες, ὥσπερ σφῆκες, ἄγουσι, καὶ φέρουσι τὸν
2 ὑποδεέστερον. Ὁ δὲ περιπετόμενος αὐτοὺς ἐκ τ' ἀφανοῦς οὗτος
ὄχλος τίνες εἰσίν; — Ἑρμ. Ἐλπίδες, ὦ Χάρων, καὶ δείματα, καὶ
ἄγνοιαι, καὶ ἡδοναί, καὶ φιλαργυρίαι, καὶ ὀργαί, καὶ μῖση, καὶ
3 τα τοιαῦτα. Τούτων δε ἡ ἄγνοια μὲν κάτω ξυναναμέμικται αὐ-
τοῖς, καὶ ξυμπολιτεύεταί γε, νὴ Δία, καὶ τὸ μῖσος, καὶ ἡ ὀργή,
καὶ ζηλοτυπία, καὶ ἀμαθία, καὶ ἀπορία, καὶ φιλαργυρία. Ὁ φό-
βος δὲ, καὶ ἐλπίδες, ὑπεράνω πετόμενοι, ὁ μὲν ἐμπίπτων ἐκπλήτ-
τει, ἐνίοτε καὶ ὑποπτήσσειν ποιεῖ· αἱ δ' ἐλπίδες, ὑπὲρ κεφαλῆς
αἰωρούμεναι, ὁπότ' ἂν μάλιστα οἴηταί τις ἐπιλήψεσθαι αὐτῶν,
ἀναπτάμεναι ᾤχοντο, κεχηνότας αὐτοὺς ἀπολιποῦσαι, ὅπερ καὶ
τὸν Τάνταλον κάτω πάσχοντα ὁρᾷς ὑπὸ τοῦ ὕδατος.

ἐν ἀμφ.) Ὁμήρ. Ὀδυσ. Α. 50. — Εὔχετ') Ὅμηρ. Ὀδ. Α. 180. Ε. 450.

2. Παρῳδ.) Διὰ στίχων λαλεῖς. — Ἐκπεσ.) Πολυκράτης, ὁ Σαμίων τύραννος, εὐτυχέστατος τῶν ἐπὶ τῆς γῆς ἐγένετο· καὶ γὰρ καὶ δακτύλιον, ὃν ἐτίμα μάλιστα, συμβουλῇ Ἀμάσιδος Αἰγυπτίων βασιλέως ἔρριψεν εἰς θάλασσαν, ἵνα τι καὶ λυπήσῃ αὐτόν· ἀλλ' ὁ μάγειρος καὶ τοῦτον εἰς ἰχθὺν εὐσὼν ἐπέδωκε, καὶ Ἄμασις τῆς πρὸς αὐτὸν φιλίας ἀπείπατο, οὐκ ἀγαθὰ ἐκ τοσαύτης τεκμαιρόμενος καὶ προσδοκῶν εὐδαιμονίας· εἰκότως. Ὀροίτης γὰρ Περσῶν ἄνδρ, Σαρδεῖσιν ὑπαρχος, ἀπατήσας αὐτόν, ὡς πλεύσειε πρὸς αὐτόν, καὶ χρήματα λάβοι ἱκανὰ πρὸς μεγάλων ἔργων ἐκτέλεσιν, διὰ Μαιανδρίου τοῦ γραμματιστοῦ αὐτοῦ, ἰδόντος πολλὰ χρήματα ἔχοντα, διαπλεύσαντα εἰς Μαγνησίαν, ἀνεσταύρωσε, κτείνας. Ἡρόδοτ. Θαλ. λθ'. . . ρκέ.

ιέ. 2. Τίνες εἰσιν) Οἷον. Τίνες δὲ εἰσιν ὁ περιπετ. καὶ τλ.

3. Τάνταλ.) Κολάζεται γὰρ ὁ Τάνταλος ἐν Ἅδου ἐν Λίμνῃ ἑστώς, καὶ διψῶν διὰ τὸ ἐξαπατῆσαι τοὺς θεούς, καὶ παραθεῖναι αὐτοῖς εἰς βρῶσιν Πέλοπα τὸν υἱὸν αὐτοῦ· προσεγγίζοντα γὰρ τὸ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ις'. Ἢν δ' ἀτενίσῃς, κατόψει καὶ Μοίρας ἄνω ἐπικλωθούσας ἑκάστῳ τὸν ἄτρακτον, ἀφ' οὗ ἠρτῆσθαι ξυμβέβηκεν ἅπαντας ἐκ λεπτῶν νημάτων. Ὁρᾷς καθάπερ ἀράχνιά τινα καταβαίνοντα ἐφ' ἕκαστον ἀπὸ τῶν ἀτράκτων; — Χάρ. Ὁρῶ πάνυ λεπτὸν ἑκάστῳ νῆμα ἐπιπεπλεγμένον γε τὰ πολλά, τοῦτο μὲν ἐκείνῳ, ἐκεῖνο δὲ ἄλλῳ. — Ἑρμ. Εἰκότως, ὦ πορθμεῦ· εἵμαρται γάρ, ἐκεῖνον 2
ὑπὸ τούτου φονευθῆναι· τοῦτον δὲ ὑπ' ἄλλου· καὶ κληρονομῆσαί γε τοῦτον μὲν ἐκεῖνον, ὅτου ἂν ᾖ μικρότερον τὸ νῆμα· ἐκεῖνον δὲ αὖ τούτου· τοιόνδε γάρ τι ἡ ἐπιπλοκὴ δηλοῖ. Ὁρᾷς δ' οὖν· ἀπὸ λεπτοῦ κρεμαμένους ἅπαντας· καὶ οὗτος μὲν ἀνασπασθεὶς ἄνω με- 3
τέωρός ἐστι, καὶ μετὰ μικρὸν καταπεσὼν, ἀπορραγέντος τοῦ λίνου, ἐπειδὰν μηκέτι ἀντέχῃ πρὸς τὸ βάρος, μέγαν τὸν ψόφον ἐργάσεται. Οὗτος δὲ ὀλίγον ἀπὸ γῆς αἰωρούμενος, ἢν καὶ πέσῃ, ἀψοφητὶ κείσεται, μόγις καὶ τοῖς γείτοσιν ἐξακουσθέντος τοῦ πτώματος. — Χάρ. Παγγέλοια ταῦτα, ὦ Ἑρμῆ.

ιζ'. Ἑρμ. Καὶ μὴν οὐδ' εἰπεῖν ἔχοις ἂν κατὰ τὴν ἀξίαν, ὅπως ἐστὶ καταγέλαστα, ὦ Χάρων· καὶ μάλιστα αἱ ἄγαν σπουδαὶ αὐτῶν, καὶ τὸ μετὰξὺ τῶν ἐλπίδων οἴχεσθαι, ἀναρπάστους γιγνομένους ὑπὸ τοῦ βελτίστου θανάτου. Ἄγγελοι δὲ αὐτοῦ, καὶ ὑπηρέται μάλα πολλοί, ὡς ὁρᾷς, ἠπίαλοι, καὶ πυρετοί, καὶ φθόαι, καὶ περιπνευμονίαι, καὶ ξίφη, καὶ λῃστήρια, καὶ κώνεια, καὶ δικασταί, καὶ τύραννοι· καὶ τούτων οὐδὲν ὅλως αὐτοὺς εἰσέρχεται, ἔστ' ἂν εὖ πράττωσιν· ὅταν δὲ σφαλῶσι, πολὺ τὸ ὀττοτοῖ, καὶ τὸ αἰ αἴ, καὶ τὸ οἴμοι· εἰ δ' εὐθὺς ἐξ ἀρχῆς ἐνενόουν, ὅτι θνητοί τε 2
εἰσιν αὐτοὶ, καὶ ὀλίγον τοῦτον χρόνον ἐπιδημήσαντες τῷ βίῳ ἀπίασιν, ὥσπερ ἐξ ὀνείρατος, πάντα ὑπὲρ γῆς ἀφέντες, ἔζων τε ἂν σωφρονέστερον, καὶ ἧττον ἠνιῶντο ἀποθανόντες. Νῦν δὲ ἐς ἀεὶ 3
ἐλπίσαντες χρήσεσθαι τοῖς παροῦσιν, ἐπειδὰν ἐπιστὰς ὁ ὑπηρέτης καλῇ, καὶ ἀπάγῃ, πεθήσας τῷ πυρετῷ, ἢ τῇ φθόῃ, ἀγανακτοῦσι πρὸς τὴν ἀγωγὴν, οὔ ποτε προσδοκήσαντες ἀποσπασθήσεσθαι αὐτῶν. Ἢ τί γὰρ οὐκ ἂν ποιήσειν ἐκεῖνος ὁ τὴν οἰκίαν 4
σπουδῇ οἰκοδομούμενος, καὶ τοὺς ἐργάτας ἐπισπέρχων, εἰ μάθοι, ὅτι ἡ μὲν ἕξει τέλος αὐτῷ· ὁ δὲ, ἄρτι ἐπιθεὶς τὸν ὄροφον, ἅπασι,

---

στόμα διαφεύγει τὸ ὕδωρ, Ὅμηρ. Ὀδυσ. Α. 582.

ις'. Τοῦτο μὲν) Τοῦτο μὲν τὸ νῆμα ὁρῶ ἐπιπεπλεγμένον ἐκείνῳ τῷ ἀνθρώπῳ· ἐκεῖνο δὲ τὸ νῆμα ἐπιπεπλεγμένον ἄλλῳ ἀνθρώπῳ.

2. Κληρονομ.) Τὸ κληρονομῶ καὶ γενικῇ καὶ αἰτιατικῇ συντάσσεται· οὕτω καὶ Πλούταρχ. ἐν Σύλλᾳ· ἐκληρονόμησε δὲ καὶ τὴν μητρυιάν.

ιζ'. Ἐς τ' ἂν εὖ πρ.) Ἕως ἂν εὐτυχῶσιν οὐδὲν τούτων ὅλως εἰς νοῦν αὐτοῖς εἰσέρχεται.

4. Ἀπ.) Σημείωσαι δὲ ὅτι τὸ μὲν ἕξει μελλοντικῶς ἐξενήνεκται· τὸ δὲ ἄπιοι, ἐνεστικῶς· τὸ μὲν, ὡς βέβαιον· τὸ δ' ὡς ἀμφιβαλλόμενον· πιθανὸν γὰρ καὶ τελέσαντα τὴν οἰκίαν, οἰκῆσαι ἐν αὐτῇ, καὶ μὴ προαποθανόντα. — Καταλιπ.) Καταλείπω,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῷ κληρονόμῳ καταλιπὼν ἀπολαύειν αὐτῆς, αὐτὸς μηδὲ δειπνή-
5 σας ἄθλιος ἐν αὐτῇ; Ἐκεῖνος μὲν γὰρ ὁ χαίρων, ὅτι ἄῤῥενα παῖ-
δα ἔτεκεν αὐτῷ ἡ γυνή, καὶ τοὺς φίλους διὰ τοῦτο ἑστιῶν, καὶ τοῦ-
νομα τοῦ πατρὸς τιθέμενος, εἰ ἠπίστατο, ὡς ἐπταέτης γενόμενος ὁ
παῖς τεθνήξεται, ἆρα ἂν σοι δοκῇ χαίρειν ἐπ' αὐτῷ γεννωμένῳ;
6 ἀλλὰ τὸ αἴτιον, ὅτι τὸν μὲν εὐτυχοῦντα ἐπὶ τῷ παιδὶ ἐκεῖνον ὁρᾷ,
τὸν τοῦ ἀθλητοῦ πατέρα τοῦ Ὀλυμπιονεικικοῦ τὸν γείτονα
δὲ, τὸν ἐκκομιζόντα τὸ παιδίον οὐχ ὁρᾷ, οὐδὲ εἶδεν ἀφ' οὗς αὐτῷ
7 κρούκης ἐκρέμετο. Τοὺς μὲν γὰρ περὶ τὸν ὅρον διαφερομένους ὁρᾷς,
ὅσοι εἰσὶ, καὶ τοὺς ξυναγείροντας τὰ χρήματα, εἶτα, πρὶν ἀπο-
λαῦσαι αὐτῶν, καλουμένους ὑφ' ὧν εἶπον ἐπιόντων ἀγγέλων τε
καὶ ὑπηρετῶν.

ιή. Χάρ. Ὁρῶ ταῦτα πάντα, καὶ πρὸς ἐμαυτόν γε ἐνοῶ, ὅ,τι
τὸ ἡδὺ αὐτοῖς παρὰ τὸν βίον, ἢ τί ἐκεῖνό ἐστιν, οὗ στερούμενοι ἀ-
2 γανακτοῦσιν. — Ἑρμ. Ἢν γοῦν τοὺς βασιλέας ἴδῃς τινὰς αὐτῶν, οἵ-
περ εὐδαιμονέστατοι εἶναι δοκοῦσιν, ἔξω τοῦ ἀβεβαίου, καὶ ὡς ῥᾴ-
ᾳ ἀμφιβόλου τῆς τύχης, πλείω τῶν ἡδέων τὰ ἀνιαρὰ εὑρήσει προ-
σόντα αὐτοῖς, φόβους, καὶ ταραχὰς, καὶ μίση, καὶ ἐπιβουλὰς, καὶ
ὀργὰς, καὶ κολακείας· τούτοις γὰρ ἅπαντες ξυνεισιν. Ἐῶ πένθη,
καὶ νόσους, καὶ πάθη, ἐξ ἰσοτιμίας δηλαδὴ ἄρχοντα αὐτῶν· ὅπου
δὲ τὰ τούτων πονηρὰ, λογίζεσθαι χαλεπὸς, οἷα τὰ τῶν ἰδιωτῶν ἂν εἴη.

ιθ. Χάρ. Ἐθέλω γοῦν σοι, ὦ Ἑρμῆ, εἰπεῖν, ὦ τινι ἐοικέναι μοι
ἔδοξαν οἱ ἄνθρωποι, καὶ ὁ βίος ἅπας οὗτος. Ἤδη ποτὲ πομφό-
λυγας ἐν ὕδατι εἰδέσθω ὑπὸ κρουνῷ τινι καταῤῥάττοντι ἀνιστανέ-
2 νας· τὰς φυσαλίδας λέγω, ἀφ' ὧν ξυναγείρεται ὁ ἀφρὸς· ἐκείνων
τοίνυν αἱ μέν τινες μικραὶ εἰσι, καὶ αὐτίκα ἐκφυγεῖσαι ἀπέσβησαν·
αἱ δ' ἐπὶ πλέον διαρκοῦσι· καὶ προσχορευσῶν αὐταῖς τῶν ἄλλων
αὗται ὑπερφυσώμεναι ἐς μέγιστον ὄγκον ἀίρονται· εἶτα μέντοι κἀ-
κεῖναι πάντως ἐξεῤῥάγησάν ποτε· οὐ γὰρ οἷόν τε ἄλλως γενέσθαι.
3 Τοῦτό ἐστιν ὁ ἀνθρώπων βίος· ἅπαντες ὑπὸ πνεύματος ἐμπεφυση-
μένοι, οἱ μὲν μείζους, οἱ δ' ἐλάττους· καὶ οἱ μὲν ὀλιγοχρόνιον ἔχουσι,
καὶ ὠκύμορον τὸ φύσημα· οἱ δὲ ἅμα τῷ ξυστῆναι ἐπαύσαν-
4 το. Πάσι δ' οὖν ἀποῤῥαγῆναι ἀναγκαῖον. — Ἑρμ. Οὐδὲν χεῖ-

---

5. Ἐκεῖνος μὲν) Ἐξ ὑποθέσεως ταῦτα δοκεῖ. Εἰδὲ καὶ πρός τινα ἀναφέρει τὸν λόγον, ἐρεῖ ἀδίκου γοῦν.

ιή. 2. Ἔξω τοῦ ἀβ.) Ἵνα μὴ τὸ ἀβέβαιον καὶ ἀμφίβολον τῆς τύχης εἴπω· ἢ πρὸς τῷ ἀβεβαίῳ καὶ ἀμφιβόλῳ τῆς τύχης. — Ἐξ ἰσοτιμ.) Ἰσοτίμους δηλ. καὶ πένητα καὶ πλούσιον, καὶ ἄρχοντα καὶ ἰδιώτην, καὶ πᾶν εἶδος ἀνθρώπων.

ιθ. 2. Ἀπεσβήσ.) Ἔστι δὲ κατὰ ἀντιχρονισμόν· τὰ γὰρ ὡς βέβαια ἐν τῷ λόγῳ παριστάμενα διὰ παρωχημένων ἐκφράζεται.

4. Φύλλοις) Ἰλ. Ζ. 146.

Οἵη περ φύλλων γενεὴ, τοιήδε καὶ ἀνδρῶν.

Καὶ Ἰλ. Φ. 465.

. . . Οἳ φύλλοισιν ἐοικότες

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ρον σὺ τοῦ Ὁμήρου εἴκασας, ὦ Χάρων, ὃς φύλλοις τὸ γένος αὐτῶν ὁμοιοῖ.

κ'. Χάρ. Καὶ τοιοῦτοι ὄντες, ὦ Ἑρμῆ, ὁρᾷς οἷα ποιοῦσι, καὶ ὡς φιλοτιμοῦνται πρὸς ἀλλήλους ἀρχῶν πέρι, καὶ τιμῶν, καὶ κτήσεων ἀμιλλώμενοι· ἅπερ ἅπαντα καταλιπόντας αὐτοὺς δεήσει, ἕνα ὀβολὸν ἔχοντας, ἥκειν παρ' ἡμᾶς. Βούλει οὖν, ἐπείπερ 2
ἐφ' ὑψηλοῦ ἐσμὲν, ἀναβήσας παμμέγεθες παραινέσω αὐτοῖς, ἀπέχεσθαι μὲν τῶν ματαίων πόνων, ζῆν δὲ ἀεὶ τὸν θάνατον πρὸ ὀφθαλμῶν ἔχοντας, λέγων, ὦ μάταιοι, τί ἐσπουδάκατε περὶ ταῦτα; παύσασθε κάμνοντες· οὐ γὰρ ἐς ἀεὶ βιώσεσθε· οὐδὲν τῶν ἐνταῦθα σεμνῶν ἀΐδιόν ἐστιν, οὐδ' ἂν ἀπάγοι τις αὐτῶν τι ξὺν αὐτῷ ἀποθανών· ἀλλ' ἀνάγκη, τὸν μὲν γαμνὸν σῴζεσθαι τὴν οἰκίαν δὲ, καὶ τὸν ἀγρὸν, καὶ τὸ χρυσίον, ἀεὶ ἄλλων εἶναι, καὶ μεταβάλλειν τοὺς δεσπότας. Εἰ ταῦτα, καὶ τὰ τοιαῦτα, ἐξ ἐπηκόου 3
ἐμβοήσαιμι αὐτοῖς, οὐκ ἂν οἶει μέγα ὠφεληθῆναι τὸν βίον, καὶ σωφρονεστέρους ἂν γενέσθαι παραπολύ;

κά. Ἑρμ. Ὦ μακάριε, οὐκ οἶσθα, ὅπως αὐτοὺς ἡ ἄγνοια, καὶ ἡ ἀπάτη διατεθείκασιν, ὡς μηδ' ἂν τρυπάνῳ ἔτι διανοιχθῆναι αὐτοῖς τὰ ὦτα. Τοσοῦτῳ κηρῷ ἔδυσαν αὐτὰ, οἱόνπερ Ὀδυσσεὺς τοὺς ἑταίρους ἔδρασε δέει τῆς Σειρήνων ἀκροάσεως. Πόθεν ἂν 2
οὖν ἐκείνοι δυνηθεῖεν ἀκοῦσαι, ἢν καὶ σὺ κεκραγὼς διαῤῥαγῇς; Ὅ"περ γὰρ παρ' ἡμῖν ἡ λήθη δύναται, τοῦτο ἐνταῦθα ἡ ἄγνοια ἐργάζεται. Πλὴν ἀλλ' εἰσὶν αὐτῶν ὀλίγοι, οὐ παραδεδεγμένοι τὸν κηρὸν ἐς τὰ ὦτα, πρὸς τὴν ἀλήθειαν ἀποκλίνοντες, ὀξὺ δεδορκότες ἐς τὰ πράγματα, καὶ κατεγνωκότες οἷά ἐστιν. — Χάρ. Οὐκοῦν ἐκείνοις γοῦν ἐμβοήσωμεν; — Ἑρμ. Περιττὸν τοῦτο, λέγειν πρὸς αὐτοὺς, ἃ ἴσασιν. Ὁρᾷς, ὅπως ἀπῃσπάσαντες τῶν πολλῶν καταγελῶσι τῶν γιγνομένων, καὶ οὐδαμῇ οὐδαμῶς ἀρέσκονται αὐτοῖς, ἀλλὰ δηλοί εἰσι δρασμὸν ἤδη βουλεύοντες παρ' ὑμᾶς ἀπὸ τοῦ βίου; καὶ γὰρ μισοῦνται, ἐλέγχοντες αὐτῶν τὰς ἀμαθίας. — Χάρ. Εὖγε, ὦ γενναῖε· πλὴν πάνυ ὀλίγοι εἰσίν, ὦ 4
Ἑρμῆ. — Ἑρμ. Ἱκανοὶ καὶ οὗτοι· ἀλλὰ κατίωμεν ἤδη.

κβ'. Χάρ. Ἓν ἔτι ἐπόθουν εἰδέναι, ὦ Ἑρμῆ, καὶ μοι δείξας

κά. Ἑδρασε) Μετὰ τὴν Τροίας ἅλωσιν Ὀδυσσεὺς δεκαετίαν πλανηθεὶς, καὶ εἰς Σειρῆνας ἐγένετο πλησίον Σικελίας οἰκούσας. Θαλάττια δὲ αὗται θηρία, τὰ μέχρι μέσης παρθένοι, τὸ δὲ λοιπὸν σῶμα ἰχθύες οὖσαι· ἡδὺ δὲ μάλα λιγυρῶς, ὥστε τοὺς διαβαίνοντας, ὑφ' ἡδονῆς εἰς τὴν θάλασσαν ἐμπίπτοντας, καταβιβρώσκεσθαι ὑπ' αὐτῶν. Ὀδυσσεὺς οὖν φράξας τῶν ἑταίρων τὰ ὦτα κηρῷ, καὶ ἑαυτὸν τῷ ἱκρίῳ δήσας τοῦ πλοίου, προσέταξε μὴ λῦσαι αὐτὸν, καὶ μάλα βουλόμενον· καὶ οὕτως ὑπέρβη τὸν κίνδυνον· Ὅμηρ. Ὀδυσ. Μ. 165 . . . 20.

3. Λέγειν) Τὸ λέγειν ἐπεξηγηματικόν. οἷον περιττὸν ἐστὶ τοῦτο· τὸ λέγειν δηλ. αὐτοῖς ταῦτα, ἃ ἴσασιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτὸ ἐντελῆ ἔσῃ τὴν περιήγησιν πεποιηκώς, τὰς ἀποθήκας
τῶν σωμάτων, ἵνα κατορύττουσι, θεάσασθαι. — Ἑρμ. Ἡρία,
2 ὦ Χάρων, καὶ τύμβους, καὶ τάφους καλοῦσι τὰ τοιαῦτα. Πλὴν
τὰ πρὸ τῶν πόλεων ἐκεῖνα τὰ χώματα ὁρᾷς, καὶ τὰς στή-
λας, καὶ πυραμίδας; ἐκεῖνα πάντα νεκροδοχεῖα, καὶ σωματο-
3 φυλάκιά ἐστι. — Χάρ. Τί οὖν ἐκεῖνοι στεφανοῦσι τοὺς λίθους,
καὶ χρίουσι μύρῳ; οἱ δὲ καὶ πυρὰν νήσαντες πρὸ τῶν χωμά-
των, καὶ βόθρον τινὰ ὀρύξαντες, καίουσί τε ταυτὶ τὰ πολυ-
τελῆ δεῖπνα, καὶ εἰς τὰ ὀρύγματα οἶνον καὶ μελίκρατον, ὡς γοῦν
4 εἰκάσαι, ἐγχέουσιν; — Ἑρμ. Οὐκ οἶδα, ὦ πορθμεῦ, τί ταῦτα
πρὸς τοὺς ἐν ᾅδου· πεπιστεύκασι δ' οὖν τὰς ψυχὰς ἀναπεμ-
πομένας κάτωθεν δειπνεῖν μὲν ὡς οἷόν τε περιπετομένας τὴν
κνίσσαν, καὶ τὸν καπνὸν, πίνειν δὲ ἀπὸ τοῦ βόθρου τὸ μελίκρα-
τον. — Χάρ. Ἐκείνους ἔτι πίνειν, ἢ ἐσθίειν, ὧν τὰ κρανία
ξηρότατα; καί τοι γελοῖός εἰμί σοι λέγων ταῦτα, ὁσημέραι κα-
5 τάγοντι αὐτούς. Οἴσθ' οὖν, εἰ δύναιντ' ἂν ἔτι ἀνελθεῖν ἅπαξ ὑ-
ποχθόνιοι γενόμενοι; ἐπεί τοι καὶ παῖ γέλοια ἂν, ὦ Ἑρμῆ, ἔ-
πασχον, οὐκ ὀλίγα πράγματ' ἔχων, εἰ ἔδει μὴ κατάγειν μό-
6 νον αὐτοὺς, ἀλλὰ καὶ αὖθις ἀνάγειν πιομένους. Ὦ μάταιοι,
τῆς ἀνοίας, οὐκ εἰδότες ἡλίκοις ὅροις διακέκριται τὰ νεκρῶν,
καὶ τὰ ζώντων πράγματα· καὶ οἷα τὰ παρ' ἡμῖν ἐστι· καὶ ὅτι

Κάτθαν' ὁμῶς ὅ, τ' ἄτυμβος ἀνὴρ, ὅς τ' ἔλαχε τύμβου,
Ἐν δ' ἰῇ τιμῇ Ἥρως, κρείων τ' Ἀγαμέμνων.
Θερσίτῃ δ' ἶσος Θέτιδος παῖς ἠυκόμοιο.
Πάντες δ' εἰσὶν ὁμῶς νεκύων ἀμενηνὰ κάρηνα,
Γυμνοί τε, ξηροί τε, κατ' ἀσφοδέλον λειμῶνα.

κθ'. Ἔσῃ . . . πεποιηκ.) Ἀντὶ Ποιήσεις· κατὰ περίφρασιν γὰρ εἴρηται. — Ἵνα) Τὸ Ἵνα τοπικὸν ἀντὶ τοῦ Ἔνθα. — Θεάσασθαι) Θεάομαι, ὤμαι. Ἐξαστᾶται δὲ ἀπὸ τοῦ Ἐπόθουν· ὦν' ἢ. Ἐπόθουν Θεάσασθαι καὶ τὰς θήκας τῶν ἀνθρωπείων σωμάτων, ἔνθα κατορύττουσιν αὐτά.

3. Ἐγχέουσ.) Ἔθος παρ' Ἕλλησιν οὕτω τὰς κηδείας ποιεῖσθαι. Ὀγδόην ἡμέραν μετὰ τὸν θάνατον ἤγον ἐπὶ κλίνης τὸν νεκρὸν ἐπὶ τὸν τάφον, αὐλητῶν ἑπομένων· ἐγγὺς δὲ τοῦ τάφου ἐπὶ πυρᾶς ἕκαιον τὸ σῶμα, ἄνθη, μέλι, οἶνον, κρέα, ἄρτον, ὅπλα, χρυσοῦφῆ ἐπὶ τῆς πυρᾶς ῥίπτοντες, καὶ περιῤῥαντίζοντες τὸν μὲν τάφον οἴνῳ, θαλασσίῳ δὲ ὕδατι τοὺς περιεστῶτας διὰ κλάδου ἐλαίας. Ἐν δὲ μηνὶ τῷ ἀνθεστηριῶνι, κοινῇ ἑορτὴν ἐποιοῦντο, εἰς τιμὴν τῶν θανόντων, στεφανοῦντες τοὺς λίθους, καὶ χρίοντες μύρῳ, καὶ ἐπὶ πυρᾶς καίοντες δεῖπνα πολυτελῆ, καὶ εἰς λάκκους χέοντες οἶνον καὶ μέλι. Ἐπίστευον γὰρ τὰς ψυχὰς ἀναπεμπομένας δειπνεῖν τὴν κνίσσαν, καὶ τὸν καπνὸν καὶ πίνειν ἐκ τοῦ βόθρου τὸ μελίκρατον. Ἔστι δὲ τὰ τοιαῦτα καὶ παρ' ἄλλοις τῶν ποιητῶν ἐοικασθαι, καὶ παρ' Ὁμήρῳ. Ἰλ. Ψ. 164. 237. Ὀδύσ. Κ. 516.

6. Καὶ ὅτι) Οἱ στίχοι οὗτοι παρ' Ὁμήρου κατὰ παρῳδίαν ἐλήφθησαν· καὶ γὰρ Ἰλ. Ι, 319. φησί.

Ἐν δὲ ἰῇ τιμῇ ἠμὲν κακὸς, ἠδὲ καὶ ἐσθλός.

Κάθθαν' ὁμῶς ὅ,τ' ἄεργος ἀνὴρ· ὅ,τε πολλὰ ἐοργώς.

Καὶ Ὀδύσ. Κ. 521.

Πολλὰ δὲ γουνοῦσθαι νεκύων ἀμενηνὰ κάρηνα. Καὶ Ὀδύσ. Α. 537.

. . Ψυχὴ δὲ ποδώκεος Δαϊκίδαο
Φοῖτα, μακρὰ βιβοῦσα, κατ' ἀσφοδελὸν λει-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κγ'. Ἑρμ. Ἡράκλεις, ὡς πολὺν τὸν Ὅμηρον ἐπαντλεῖς. Ἀλλ' ἐπείπερ ἀνέμνησάς με, θέλω σοι δεῖξαι τὸν τοῦ Ἀχιλλέως τάφον· ὁρᾷς τὸν ἐπὶ τῇ θαλάττῃ; Σίγειον μὲν ἐκεῖνο τὸ Τρωϊκόν· ἀντικρὺ δὲ ὁ Αἴας τέθαπται ἐν τῷ Ῥοιτείῳ. — Χάρ. Οὐ μεγάλοι, ὦ Ἑρμῆ, οἱ τάφοι. Τὰς πόλεις δὲ τὰς ἐπισήμους δείξόν μοι ἤδη, ἃς κάτω ἀκούομεν· τὴν Νῖνον τὴν Σαρδαναπάλου, 2
καὶ Βαβυλῶνα, καὶ Μυκήνας, καὶ Κλεωνάς, καὶ τὴν Ἴλιον αὐτήν. Πολλοὺς γοῦν μέμνημαι διαπορθμεύσας ἐκεῖσε, ὡς δέκα ὅλων ἐτῶν μηδὲ νεωλκῆσαι, μηδὲ διαψύξαι τὸ σκαφίδιον. — Ἑρμ. Ἡ Νῖνος μέν, ὦ Πορθμεῦ, ἀπολωλεν ἤδη, καὶ οὐδὲν ἴχνος ἔτι λοιπὸν αὐτῆς· οὐδ' ἂν εἴποις ὅπου ποτ' ἦν. Ἡ Βα- 3
βυλὼν δέ σοι ἐκείνη ἐστίν, ἡ εὔπυργος, ἡ τὸν μέγαν περίβολον, οὐ μετὰ πολὺ καὶ αὐτὴ ζητηθησομένη, ὥσπερ ἡ Νῖνος. Μυκήνας δέ, καὶ Κλεωνάς, αἰσχύνομαι δεῖξαί σοι· καὶ μάλιστα τὸ Ἴλιον. Ἀποπνίξεις γὰρ εὖ οἶδ' ὅτι τὸν Ὅμηρον κα- 4
τελθὼν ἐπὶ τῇ μεγαληγορίᾳ τῶν ἐπῶν. Πλὴν ἀλλὰ πάλαι μὲν ἦσαν εὐδαίμονες, νῦν δὲ τεθνήκασι καὶ αὗται. Ἀποθνήσκουσι γάρ, ὦ πορθμεῦ, καὶ πόλεις, ὥσπερ ἄνθρωποι· καὶ τὸ παραδοξότερον, καὶ ποταμοὶ ὅλοι. Ἰνάχου οὖν οὐδὲ τάφρος ἐν 5
Ἄργει ἔτι καταλείπεται. — Χάρ. Παπαῖ τῶν ἐπαίνων, Ὅμηρε, καὶ τῶν ὀνομάτων, Ἴλιος ἱρὴ, καὶ εὐρυάγυια καὶ εὐκτίμεναι Κλεωναί.

κδ'. Ἀλλὰ μεταξὺ λόγων, τίνες εἰσὶν οἱ πολεμοῦντες ἐκεῖνοι, ἢ ὑπὲρ τίνος ἀλλήλους φονεύουσιν; — Ἑρμ. Ἀργείους ὁρᾷς, ὦ Χάρων, καὶ Λακεδαιμονίους, καὶ τὸν ἡμιθνῆτα ἐκεῖνον στρατηγὸν Ὀθρυάδην, τὸν ἐπιγράφοντα τὸ τρόπαιον τῷ αὐτοῦ αἵματι. — Χάρ. Ὑπὲρ τίνος δὲ αὐτοῖς, ὦ Ἑρμῆ, ὁ πόλεμος; — 2
Ἑρμ. Ὑπὲρ τοῦ πεδίου αὐτοῦ, ἐν ᾧ μάχονται. — Χάρ. Ὦ τῆς ἀνοίας, οἵγε οὐκ ἴσασιν, ὅτι κἂν ὅλην τὴν Πελοπόννησον ἕκαστος

μῶνα. — Ἔλαχε) Ἀντὶ ἔλαχεν· οἱ γὰρ ποιηταὶ διπλασιάζουσι τὰ συμφωνα διὰ τὸ μέτρον ἵνα μακρὸν τὸ προ αὐτὸν φωνῆεν ποιήσωσι.

κγ'. Τέθαπ) Ῥοίτειον καὶ Σίγειον πλησίον ἀλλήλων εἰσὶν· ἔνθα οἱ τάφοι Ἀχιλλέως καὶ Αἴαντος τῶν ἐν τῇ Τροίᾳ ἀποθανόντων.

2. Νεωλκ.) Δέκα γὰρ ἔτη ἐπολιόρκουν Ἕλληνες Τροίαν, εἷλον δὲ τῷ δεκάτῳ.

3. Ἡ τὸν μέγ. περίβ.) Ἐννοεῖται Ἔχουσα.

4. Εὖ οἶδ' ὅτι) Καθ' ὑπερβιβασμόν· τὸ γὰρ φύσει τοιοῦτον. Εὖ οἶδ' ὅτι ἀποπνίξεις· καὶ τλ. 5. Καταλείπετ.) Ἐνοχος ποταμὸς ἐν Ἄργει πασᾷ τοῦ παλαιοτάτου βασιλέως Ἀργείων Ἰνάχου τὸ ὄνομα λαβών. Οὗτος ψηφισάμενος τὴν Ἀργείων χώραν Ἥρας εἶναι, Ποσειδῶνος ἀντιλέγοντος, ἐστερήθη τοῦ ὕδατος, καὶ θέρους αὐᾶ ἐστὶν αὐτοῦ τὰ ῥεύματα, ὅτι μὴ ὕσαντος τοῦ θεοῦ. Παυσαν. β'. — Ἴλιος ἱρ. καὶ εὐρ.) Συνεχῶς Ὅμηρος τούτοις τοῖς ἐπιθέτοις κοσμεῖ Τροίαν. κδ'. Ἡμιθνῆτα) Ἡμιθνῆς. Θυρεῶν ἐν Πολοποννήσῳ χωρίου Ἀργείων μέρος κατεχόντων Λακεδαιμονίων, οὐκ ἠνέσχοντο Ἀργεῖοι. Συνέθεντο οὖν ἀμφότεροι, λοχάδας ἑκατέρωθεν τριακοσίους ἐκλεξάντες, τοῦ παντὸς καταλιπεῖν αὐτοῖς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτῶν κτήσωνται, μόγις ἂν ποδιαῖον λάβοιεν τόπον παρὰ τοῦ Αἰακοῦ· τὸ δὲ πεδίον τοῦτο ἄλλοτε ἄλλοι γεωργήσουσι, πολλάκις ἐκ βόθρων τὸ τρόπαιον ἀνασπάσαντες τῷ ἀρότρῳ. —
3 Ἑρμ. Οὕτω μὲν ταῦτα ἔσται. Ἡμεῖς δὲ καταβάντες ἤδη, καὶ κατὰ χώραν εὐθετήσαντες αὖθις τὰ ὅρη, ἀπαλλαττώμεθα, ἐγὼ μὲν, καθὰ ἐστάλην, σὺ δὲ ἐπὶ τὸ πορθμεῖον· ἥξω δέ σοι μετ'
4 ὀλίγον καὶ αὐτὸς νεκροστολῶν. — Χάρ. Εὖγε ἐποίησας, ὦ Ἑρμῆ· εὐεργέτης ἐς ἀεὶ ἀναγεγράψῃ. Ὠνάμην δέ τι διὰ σὲ τῆς ἀποδημίας. . . . οἷά ἐστι τὰ τῶν κακοδαιμόνων ἀνθρώπων πράγματα· [βασιλεῖς, πλίνθοι χρυσαῖ, ἑκατόμβαι, μάχαι·] Χάρωνος δὲ, οὐδεὶς λόγος.

Ζ'. ΠΛΟΙΟΝ Η ΕΥΧΑΙ. (*)

Λυκῖνος, Τιμόλαος, Σάμιππος, καὶ Ἀδείμαντος.

ἀ. Λυκ. Οὐκ ἐγὼ λέγω ὅτι θᾶττον τοὺς γύπας ἕωλος νεκρὸς ἐν φανερῷ κείμενος, ἢ θέαμά τι τῶν παραδόξων Τιμόλαον διαλάβοι, κἂν ἐς Κόρινθον δέοι, ἀπνευστὶ θέοντα ἀπιέναι διὰ τοῦ-
2 τοι; οὕτω φιλοθεάμων σύ γε καὶ ἄσκνος τὰ τοιαῦτα. — Τιμ. Τί γὰρ ἔδει καὶ ποιεῖν, ὦ Λυκῖνε, σχολὴν ἄγοντα, πυθόμενον οὕτως ὑπερμεγέθη ναῦν, καὶ πέρα τοῦ μέτρου ἐς τὸν Πειραιᾶ κατα-
3 πεπλευκέναι, μίαν τῶν ἀπ' Αἰγύπτου εἰς Ἰταλίαν σιταγωγῶν; οἶμαι δὲ καὶ σρῶ, σέ τε καὶ Σάμιππον τουτονί, μὴ κατ' ἄλλο τι ἐξ ἄστεος ἥκειν, ἢ ὀψομένους τὸ πλοῖον. — Λυκ. Νὴ Δία,

---

τὴν κρίσιν τουτ' ἔστι τῶν νικησάντων εἶναι τὸ χωρίον. Τῶν δ' ἐξακοσίων μαχεσαμένων τὴν ἡμέραν πᾶσαν, κατελείφθησαν τρεῖς Ἀλκήνωρ, καὶ Χοφμιος, Ἀργεῖοι· οἱ ὡς νικήσαντες ἦλθον εἰς Ἄργος. Ὀθυδάκης δὲ, Λακεδαιμόνιος ὁς ἀνυλεύτας Ἀργείων τοὺς νεκροὺς, ἔσται ἐν τῇ τάξει. Ἐμιδὰς δὲ ἐν τούτοις γενομένος, ὀπόσοι νικήσειαν, εἰς μάχην ἦλθον, καὶ ἐνίκησαν Λακεδαιμόνιοι. Ὀθυδάκης δὲ κατεχρήσατο ἑαυτὸν ἐν Θυρεᾷ, αἰσχρὸν εἶναι κρίνων μὴ συνταφῆναι τοῖς ἑτέροις ἐλεῖ πεσοῦσιν. Ἡρόδ. Κλειο. πθ'. — Ἐπιγράφ.) Ἐπέγραψε δὲ, Δεῖ τροπαιοῦχον.

2. Κτήσωντ.) Τὸ δὲ πληθυντικὸν πρὸς τὸ σημαινόμενον· τὸ γὰρ Ἕκαστος πολλοὺς καθ' ἕνα δηλοῖ.

3. Νεκροστ.) Ὁ γὰρ Ἑρμῆς ἦν ὁ εἰς Ἅιδου πέμπων τὰς ψυχὰς τῶν νεκρῶν.

4. Ἀναγεγρ.) Ἀναγράψω, τὸ παρ' ἡμῖν Γράφω εἰς τὸ κατάστιχον ὡς εὐεργέτην παντοτεινον. Τοῦτο δὲ ἐλήφθη ἐκ τοῦ Πεοτικοῦ ἔθους· οἱ γὰρ Περσῶν βασιλεῖς τοὺς εἰτι ὠφελοῦντας τῷ ἑαυτοῦ θρόνῳ φαινομένους, ἐν τῷ Κώδικι ἀντγράφοντο εὐεργέτας· ὅθεν καὶ Ξέρξης πρὸς Παυσανίαν τὸν Λακεδαιμόνιον γράφων, ἔλεγε. Κείσεταί σοι εὐεργεσία ἐν τῷ ἡμετέρῳ οἴκῳ ἀνάγραπτος· Θουκυδ. Α', ρκθ'. — Οὐδεὶς λόγ.) Ἐννοεῖται Ἐστί.

(*) Ὁ Διάλογος οὗτος ἐλήφθη Πλοῖον μὲν, διότι περὶ τινος πλοίου σιταγωγοῦ Αἰγυπτίου ὁ λόγος. Εὐχαὶ δὲ, διότι ἑκάστου τῶν τοῦ διαλόγου τούτου προσώπων ὑποτίθεται εὐχόμενον ὅ,τι κατὰ ψυχὴν αὐτῷ εἴη ἔχειν· καὶ ὅ,τι, ἔχων ἕκαστος, ἃ κέκτητο, ποιήσειεν ἄν.

ἀ. Οὐκ ἐγὼ λέγων.) Κρᾶσις δὲ τοῦτο ἀντὶ τοῦ οὐκ ἐγὼ ἔλεγον. — Ὅτι θᾶττον τοὺς γύπ.) Ὀρνεά εἰσιν οἱ γῦπες σαρκοφάγα, ἀπὸ τῶν θνησιμαίων ζώων τρεφόμενα· ὅθεν, ἵνα δείξῃ τὴν Τιμόλαου ποθὸ τὰ θέαματα προθυμίαν, φησὶν ὅτι εὐχαριέστερόν ἐστι διαλαθεῖν τοὺς γύπας, εἰπόν τις κειτο νεκρὸς ἕωλος ἐν φανερῷ· ἢ Τιμόλαον, θέαμά τι τῶν παραδόξων λεγόμενόν που εἶναι· καὶ εἰς Κόρινθον δὲ, ἂν δέῃ, ἀπνευστὶ θέων ἀπιεναι διὰ τὸ θέαμα τοῦτο.

2. Καὶ ποιεῖν.) Ὁ Καὶ παρέλκει μὲν, σημαίνει δὲ τινα ἑτοιμότητα. Καὶ σύνη-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ Ἀδείμαντος ὁ Μυρρινούσιος εἵπετο μεθ' ἡμῶν. Ἀλλ' οὐκ οἶδ' 4
ὅπου νῦν ἐκεῖνός ἐστιν, ἀποπλανηθεὶς ἐν τῷ πλήθει τῶν θεατῶν.
Ἄχρι μὲν γὰρ τῆς νεὼς ἅμα ἤλθομεν, καὶ ἀνιόντες ἐς αὐτήν, 5
σύ μέν, οἶμαι, Σάμιππε, προῆεις· μετὰ σὲ δὲ ὁ Ἀδείμαντος ἦν·
εἶτ' ἐγὼ μετ' ἐκεῖνον ἐχόμενος αὐτοῦ ἀμφοτέραις. Καί με διὰ 6
τῆς ἀποβάθρας ὅλης παρέπεμψε χειραγωγῶν, ὑποδεδεμένον, ἀνυπόδητος αὐτὸς ὤν· τὸ ἀπὸ τούτου δὲ οὐκ ἔτι αὐτὸν εἶδον, οὔτε ἔνδον, οὔτε ἐπεὶ κατελήλυθημεν.

β'. Σάμ. Οἶσθα, ὦ Λυκῖνε, ὅπου ἡμᾶς ἀπέλειπεν; ὁπότε, οἶμαι, τὸ ὡραῖον ἐκεῖνο μειράκιον ἐκ τῆς θαλάμης προῆλθε, τὸ τὴν καθαρὰν ὀδόνην ἐνδεδυκός, ἀναδεδεμένον ἐς τοὐπίσω τὴν κόμην, ἐπ' ἀμφότερα τοῦ μετώπου ἀπηγμένην. Εἰ τοίνυν ἐγὼ Ἀ- 2
δείμαντον οἶδα, οἶμαι, γλαφυρὸν οὕτω ἐκεῖνος θέαμα ἰδών, μακρὰ χαίρειν φράσας τῷ Αἰγυπτίῳ ναυπηγῷ, περιηγουμένῳ τὸ πλοῖον, παρέστηκε θακρύων, ὥσπερ εἴωθε· ταχὺ θακρυς γὰρ ὁ ἀνὴρ ἐς τὰ ἐρωτικά. — Λυκ. Καὶ μὴν οὐ πάνυ καλὸς, ὦ Σά- 3
μιππε, ὁ μειρακίσκος ἔδοξέ μοι, ὡς ἂν καὶ Ἀδείμαντον ἐκπλήξαι, ᾧ τοσοῦτοι Ἀθηναῖοι καλοὶ ἕπονται, πάντες ἐλεύθεροι, στωμύλοι τὸ φθέγμα, παλαίστρας ἀποπνέοντες, οἷς καὶ παραδακρύσαι οὐκ ἀγεννές· οὗτος δὲ πρὸς τῷ μελάγχρους εἶναι, καὶ 4
πρόχειλός ἐστι, καὶ λεπτὸς ἄγαν τοῖν σκελοῖν, καὶ ἐρθέγγετο ἐπισεσυρμένον τι, καὶ συνεχές, καὶ ἐπίτροχον, Ἑλληνιστὶ μέν, ἐς τὸ πάτριον δὲ τῷ ψόφῳ, καὶ τῇ τῆς φωνῆς τόνῳ. Ἡ κόμη δὲ, 5
καὶ ἐς τοὐπίσω ὁ πλόκαμος συνεσπειραμένος, οὐκ ἐλευθέριόν φησιν αὐτὸν εἶναι.

γ'. Τιμ. Τοῦτο μὲν εὐγενείας, ὦ Λυκῖνε, σημεῖόν ἐστιν Αἰγυπτίας, ἡ κόμη. Ἅπαντες γὰρ αὐτοῖς οἱ ἐλεύθεροι παῖδες ἀνα- 2
πλέκονται, ἔς τε πρὸς τὸ ἐφηβικὸν ἔμπαλιν ἢ οἱ πρόγονοι ἡμῶν, οἷς ἐδόκει καλὸν εἶναι κομᾷν τοὺς γέροντας, ἀναδουμένους κρώ-

---

θης τοῦτο τοῖς Ἀττικιστοῖς· ὁ δὲ τοι ὀὲ Τὸ παρέλκει. — Οὔτε ἔνδ.) Τῇ, νεώς. Γὰρ μεταθατικὸν· τὸ δ' ὅλον. Καὶ τί — Οὔτε ἐπεὶ κατ.) Οὔτε ἐκ' οὐ κατηλθομεν, ἐνθάντες ἀπὸ τῆς νεώς.
ἔδει με ποιεῖν, ὦ Λυκ.

3. Εἵπετο μεθ' ἡμ.) Τὸ Ἕπομαι δοτικῇ· τὸ δὲ ἕπεσθαι μετά τινος οὐτι τινὶ κεῖται, οὕτω δὴ καὶ Ἀριστοφ. ἐν Πλουτ. στίχ. 824.

Ἕπου μετ' ἐμοῦ παιδάριον.

5. Ἀμφοτέρ.) Τοῖς χεροῖ δηλ.

6. Καὶ με) Ἀντὶ τοῦ ὅς με. Συνηθες δὲ πολλοῖς τοῦτο ἐν μεταβάσει ἀντὶ τοῦ ὀνομαστικοῦ χρᾶσθαι τῷ Καὶ.

— Τὸ ἀπὸ τούτου) Μετὰ ταῦτα· ἡ γὰρ Ἀπὸ καὶ τὸ ὕστερον σημαίνει, τὸ

β'. Ἐνδεδυκ.) Ἐνδεδυμένον· παρὰ τοῦ ἐνδύω τὸ ἀμπέχομαι· ὅρα Θ, ιϛ'.

2. Μακρὰ χαίρειν ἐράσ.) Φράσας αὐτὸ Ἀττικιστικῶς, ἀντὶ τοῦ καθ' ἡμᾶς, παραιτήσας, ἀπολιπὼν, ὡς μηδὲν μέλον αὐτῷ. — Περιηγουμένῳ τὸ πλ.) Ἡγουμένῳ περὶ τὸ πλοῖον καὶ δεικνύοντι ἕκαστα τοῖς θεωταῖς.

4. Ἐπισεσυρμ. καὶ συνεχ. καὶ ἐπίτρ.) Ὥσπερ συρόμενος καὶ ἀσθενὴς ὢν αὐτῷ ὁ λόγος, συνεχόμενός τε καὶ ταχύς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

3 θυλον υπὸ τέττιγι χρυσῷ ἀνειλημμένον. — Σάμ. Εὖγε, ὦ Τιμόλαε, ὅτι ἡμᾶς ἀναμιμνήσκεις τῶν Θουκυδίδου συγγραμμάτων, ἃ ἐν τῷ προοιμίῳ περὶ τῆς ἀρχαίας ἡμῶν τρυφῆς εἶπεν ἐν τοῖς Ἴωσιν, ὁπότε οἱ τότε συναπωκίσθησαν.

δ'. Λυκ. Ἀτάρ, ὦ Σάμιππε, νῦν ἀνεμνήσθην ὁπόθεν ἡμῶν ἀπελείφθη Ἀδείμαντος, ὅτε παρὰ τὸν ἱστὸν ἐπιπολὺ ἔστημεν ἀναβλέποντες, ἀριθμοῦντες τῶν βυρσῶν τὰς ἐπιβολάς, καὶ θαυμάζοντες ἀνιόντα τὸν ναύτην διὰ τῶν κάλων, εἶτα ἐπὶ τῆς κεραίας ἄνω ἀσφαλῶς διαθέοντα, τῶν κεροιάκων ἐπειλημμένον,
2 — Σάμ. Εὖ λέγεις. Τί δ' οὖν χρὴ ποιεῖν ἡμᾶς ἐνταῦθα; καραδοκεῖν αὐτόν, ἢ ἐθέλεις ἐγὼ αὖθις ἐπάνειμι ἐς τὸ πλοῖον; — Τιμ.
3 Μηδαμῶς, ἀλλὰ προίωμεν· εἰκὸς γὰρ ἤδη παρεληλυθέναι ἐκεῖνον ἀποσοβοῦντα ἐς τὸ ἄστυ, ἐπεὶ μηκέθ' ἡμᾶς εὑρεῖν ἐδύνατο· εἰ δὲ μή, ἀλλ' οἶδε τὴν ὁδὸν Ἀδείμαντος, καὶ δέος οὐδέν,
4 μὴ ἀπολειφθεὶς ἡμῶν ἀποδουκολήθῃ. — Λυκ. Ὁρᾶτε μὴ σκαιὸν ᾖ, φίλον ἀπολιπόντας αὐτοὺς ἀπιέναι· βαδίζωμεν δ' ὅρως, εἰ
5 καὶ Σαμίππῳ τοῦτο δοκεῖ. — Σάμ. Καὶ μάλα δοκεῖ, ἵν πῶς ἀνεργυίαν τὴν παλαίστραν ἔτι καταλάβωμεν.

ε. Ἀλλὰ μεταξὺ τῶν λόγων, ἡλίκη ναῦς, εἴκοσι καὶ ἑκατὸν πήχεων ἔλεγεν ὁ ναυπηγὸς τὸ μῆκος, εὖρος δὲ ὑπὲρ τὸ τέταρτον μάλιστα τούτου· καὶ ἀπὸ τοῦ καταστρώματος ἐς τὸν Πυθμένα, ἡ
2 βαθύτατον κατὰ τὸν ἄντλον, ἐννέα πρὸς τοῖς εἴκοσι. Τὰ δ' ἄλλα ἡλίκος μὲν ὁ ἱστὸς, ὅσην δὲ ἀνέχει τὴν κεραίαν, οἷῳ δὲ προτόνῳ συνέχεται, ὡς δὲ ἡ πρύμνα μὲν ἐπανέστηκεν ἠρέμα καμπύλη, χρυσοῦν χηνίσκον ἐπικειμένη, καταντικρὺ δὲ ἀνάλογον ἡ πρῴρα ὑπερβέβηκεν, ἐς τὸ πρόσω ἀπομηκυνομένη, τὴν ἐπω-

---

—ἰῷ φορ.) Κατ' ἐλλειψιν τῆς Ἐν.

γ'. 2. Κρόβυλον ὑπὸ τετ.) Κρόβυλόν φασιν εἶδος εἶναι πλέγματος τῶν τριχῶν, ὃ δὴ γέροντες ἀνεδέοντο ἐν Ἀθήναις, ὡς φησι Θουκυδ. Α'. ς'. συνάπτοντες χρυσῷ τέττιγι. Τέττιγας γὰρ χρυσοῦς ἐποιοῦντο, καὶ διὰ τούτων συνῆπτον τοὺς κρωβύλους τὰ τῶν ἐπὶ τῆς κεραλῆς δηλ. τριχῶν πλέγματα.

3. Ἐν τοῖς Ἴωσ.) Ὁμιλῶν καὶ περὶ Ἰώνων ἀποίκων Ἀθηναίων ὄντων.

δ'. Τῶν βυρσῶν τὰς ἐπιβ.) Πολυδεύκ. Ὀνομαστ. Α'. β'. Περὶ ναυμαχίας καὶ ὅπλων καὶ τλ. φησί. »Πρὸς τὰς ἐπιβολὰς »ἐν ναυμαχίᾳ ἀντεπορίζοντο βύρσας προ»σηλοῦντες πρὸς τὰ τείχισματα τῶν νεῶν, »ὅπως ὁ σίδηρος ἀλισθάνῃ, πρὸς τὸ ἀν»τιτυπον ἀντιλαβὴν οὐκ ἔχων ἠρέμων »οὖν τῶν βελῶν τὰς ἐπιβολὰς ἐπὶ τὰς »βύρσας.

2. Καταδοκεῖν αὐτ.) Προσμένειν ἐνταῦθα αὐτον.

ε. Ἀλλὰ μεταξὺ λόγων) Ὅμοιον τοῦτο τῷ παρ' ἡμῖν μετ' ἀπορίας λεγόμενον. Ἀλλὰ σταθῆτε. Παρὰ δὲ τοῖς Γάλλοις τοῦτο οἰκείως ἐκφράζεται διὰ τοῦ, à prorpos.

— Ὑπὲρ τὸ τέταρτον) Τὸ δὲ τοῦ μήκους τέταρτον ἐστὶ τριάκοντα πλέον δηλ. τῶν τριάκοντα πήχεων ἔλεγε τὸ εὖρος.

— Ἐννέα πρὸς τοῖς εἴκ.) Πήχεων δηλ. εἶναι.

2. Χηνίσκον) Ἡ ἐπίκειται Χρυσοῦς χηνίσκος, ἡ ἐπικείμενον ἔχουσα χρυσοῦν χηνίσκον. Τὸ δ', ἐπικειμένη χρυσοῦν χηνίσκον, δυσξύνετόν τέ ἐστι καὶ κακόζηλον.

— Τὴν ἐπώνυμον τῆς νεώς) Ἐν ταύτῃ τῇ νηῒ προστάτης τε καὶ παράκτιμον δοκεῖ εἶναι ἡ Ἶρις ἅπερ ἐν ἄλλοις διακεκριμμένα εἰσίν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νυμον τῆς νεὼς θεὸν ἔχουσα τὴν Ἶσιν ἑκατέρωθεν. Ὁ μὲν γὰρ ἄλ- 3
λος κόσμος, αἱ γραφαί, καὶ τοῦ ἱστίου τὸ παράσημον πυραυγές,
καὶ πρὸ τούτων αἱ ἄγκυραι, καὶ στροφεῖα, καὶ περιαγωγεῖς, καὶ
αἱ μετὰ τὴν πρύμναν οἰκήσεις, θαυμάσια πάντα μοι ἐδόκει.

ϛ'. Καὶ τὸ τῶν ναυτῶν πλῆθος στρατοπέδῳ ἂν τις εἰκάσειεν.
Ἐλέγετο δὲ καὶ τοσοῦτον ἄγειν σῖτον, ὡς ἱκανὸν εἶναι πᾶσι τοῖς ἐν
τῇ Ἀττικῇ ἐνιαύσιον πρὸς τροφήν. Κἀκεῖνα πάντα μικρός τις 2
ἀνθρωπίσκος γέρων ἤδη ἔσωζεν, ὑπὸ λεπτῇ κάμακι τὰ τηλικαῦτα
πηδάλια περιστρέφων. Ἐδείχθη γάρ μοι ἀκαρπαλαντίας τις, οὖλος,
Ἥρων, οἶμαι, τοὔνομα. — Τιν. Θαυμάσιος τὴν τέχνην, ὡς ἔφα-
σκον οἱ ἐμπλέοντες καὶ τὰ θαλάττια σορὸς ὑπὲρ τὸν Πρωτέα.

ζ'. Ἠκούσατε δὲ ὅπως δεῦρο κατήγαγε τὸ πλοῖον, οἷα ἔπαθον
πλέοντες, ἢ ὡς ὁ ἀστὴρ αὐτοὺς ἔσωσεν; — Λυκ. Οὐκ, ὦ Τιμόλαε, 2
ἀλλὰ νῦν ἡδέως [δ]ὰν ἀκούσαιμεν. — Τιμ. Ὁ ναύκληρος αὐτὸς
διηγεῖτο μοι, χρηστὸς ἀνήρ, καὶ προσομιλῆσαι δεξιός. Ἔφη δὲ ἀ- 3
πὸ τῆς Φάρου ἀπήραντας οὐ πάνυ βιαίῳ πνεύματι, ἑβδομαίους
ἰδεῖν τὸν Ἀκάραντα· εἶτα ζεφύρου ἀντιπνεύσαντος, ἀπενεχθῆ-
ναι πλαγίους ἄχρι Σιδῶνος· ἐκεῖθεν δὲ χειμῶνι μεγάλῳ περιπεσόν-
τας δεκάτῃ ἐπὶ Χελιδονέας διὰ τοῦ Λιβόνοτος ἐλθεῖν· ἔνθα δὴ παρὰ
μικρὸν ὑποβρυχίους δῦναι ἅπαντας.

ἡ. Οἶδα δέ ποτε παραπλεύσας καὶ αὐτὸς Χελιδονέας, ἡλίκον
ἐν τῷ τόπῳ ἀνίσταται τὸ κῦμα, καὶ μάλιστα περὶ τὸν Λίβα, ὁ-
πόταν ἐπιλάβῃ καὶ τοῦ Νότου. Κατ' ἐκεῖνο γὰρ δὴ συμβαίνει 2
μερίζεσθαι τὸ Παμφύλιον ἀπὸ τῆς Λυκιακῆς θαλάσσης· καὶ ὁ
κλύδων ἅτε ἀπὸ πολλῶν ῥευμάτων περὶ τῷ ἀκρωτηρίῳ σχιζόμενος, (ἀπόξυροι δὲ εἰσι πέτραι, καὶ ὀξεῖαι, παραθηγόμεναι τῷ κλύσματι,) καὶ φοβερωτάτην ποιεῖ τὴν κυματωγήν, καὶ τὸν ἦχον μέγαν· καὶ τὸ κῦμα πολλάκις αὐτῷ ἰσομέγεθες τῷ σκοπέλῳ.

---

3 Τὸ παράσημον πυραυγὲς) Ἦν γὰρ τὸ παράσημον λαμπρὸς ἀστὴρ θάτερος τῶν Διοσκούρων ἐπικαθήμενος τῷ κερχνίῳ, ὡς παρακατιὼν λέγει. κερ. θ'.

ϛ'. Ἐνιαύσιον) πρὸς τροφὴν δηλ. ἐνιαύσιον· κατὰ σχῆμα δὲ ἀντιστροφῆς εἴρηται.

2. Τὴν τέχνην καὶ τὰ θαλάττια) Κατὰ τὴν τέχνην καὶ κατὰ τὰ θαλάττια.

ζ'. Ὁ ἀστήρ) Ὁ τῶν Διοσκούρων· οἱ γὰρ Διόσκουροι, Κάστωρ φημὶ καὶ Πολυδεύκης, θαλάσσιοί εἰσιν ἀντιλήπτορες. Εἷς δὲ ἀστήρ, διότι οὐκ ἄμφω, ἀλλ' ἕτερος αὐτῶν παρ' ἡμέραν ἐν θεοῖς ἦν· ὁ δ' ἕτερος ἐν τοῖς νεκροῖς ἐν ᾅδου.

2. Ἡδέως [δ]ὰν ἀκούσαιμεν) Μεθ' ἡδονῆς ἀκούσομεν ταῦτά σου διηγουμένου.

3. Παρὰ μικρόν) Ἀντὶ τοῦ μικροῦ δεῖν.

— Ὑποβρυχίους δῦναι) Πνιγῆναι δηλ. ἐν θαλάσσῃ.

ἡ. Καὶ μάλιστα περὶ τὸν Λίβα) Καὶ μάλιστα Λιβὸς πνέοντος, καὶ τοῦ Νότου συνεπιλαμβανομένου.

2. Κατ' ἐκεῖνο) Τὸ μέρος δηλ.

— Τὸ Παμφύλιον) Πέλαγος δηλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Θ'. Τοιαῦτα καὶ σφᾶς καταλαβεῖν ἔρασκεν ὁ ναύκληρος, ἔτι καὶ νυκτὸς οὔσης, καὶ ζόφου ἀκριβοῦς· ἀλλὰ πρὸς τὴν οἰμωγὴν αὐτῶν ἐπικλασθέντας τοὺς θεοὺς, πῦρ τε ἀναδεῖξαι ἀπὸ τῆς Λυκίας, ὡς γνωρίσαι τὸν τόπον ἐκεῖνον, καὶ τινα λαμπρὸν ἀστέρα, Διοσκούρων τὸν ἕτερον, ἐπικαθίσαι τῷ καρχησίῳ, καὶ κατευθῦναι τὴν ναῦν ἐπὶ τὰ λαιὰ ἐς τὸ πέλαγος, ἤδη τῷ κρημνῷ προσφερομέ-
2 νην. Τοὐντεῦθεν δὲ ἅπαξ τῆς ὁρθῆς ἐκπεσόντας, διὰ τοῦ Αἰγαίου πλεύσαντας, ἑβδομηκοστῇ ἀπ' Αἰγύπτου ἡμέρᾳ πρὸς ἀντίους τοὺς Ἐτησίας πλαγιάζοντας, ἐς Πειραιὰ χθὲς καθορμίσασθαι, τοσοῦτον ἀποσυρέντας ἐς τὸ κάτω, οὓς ἔδει τὴν Κρήτην δεξιὰν λαβόν-
3 τας, ὑπὲρ τὸν Μαλέαν πλεύσαντας, ἤδη εἶναι ἐν Ἰταλίᾳ. — Λυκ. Νὴ Δία, θαυμάσιόν τινα φῆς κυβερνήτην τὸν Ἥρωνα, ἢ τοῦ Νηρέως ἡλικιώτην, ὃς τοσοῦτον ἀπεσφάλη τῆς ὁδοῦ.

ι'. Ἀλλὰ τί τοῦτο; οὐκ Ἀδείμαντος ἐκεῖνός ἐστι; — Τιμ. Πάνυ μὲν οὖν Ἀδείμαντος αὐτός. Ἐμβοήσωμεν οὖν. Ἀδείμαντε, σέ φημι
2 τὸν Μυῤῥινούσιον, τὸν Στροβίχου. — Λυκ. Δυεῖν θάτερον, ἢ δυσχεραίνει καθ' ἡμῶν, ἢ ἐκκεκώφωται· Ἀδείμαντος γάρ, οὐκ ἄλλος τίς ἐστι, πάνυ ἤδη σαφῶς ὁρῶ, καὶ θαιμάτιον αὐτοῦ, καὶ τὸ
3 βάδισμα ἐκείνου, καὶ ἐν χρῷ ἡ κουρά. Ἐπιτείνωμεν δὲ ὅμως τὸν περίπατον, ὡς καταλάβωμεν αὐτόν.

ιά. Ἤν μὴ τοῦ ἱματίου λαβόμενοί σε ἐπιστρέψωμεν, ὦ Ἀδείμαντε, οὐχ ὑπακούσεις ἡμῖν ἐμβοῶσιν; ἀλλὰ καὶ φροντίζοντι ἔοικας ἐπὶ συννοίᾳ τινός, οὐ μικρὸν οὐδ' εὐκαταφρόνητον πρᾶγμα,
2 ὡς δοκεῖς, ἀνακυκλῶν. — Ἀδείμ. Οὐδὲν, ὦ Λυκῖνε, χαλεπὸν, ἀλλά με καινή τις ἔννοια μεταξὺ βαδίζοντα ὑπελθοῦσα, παρα-

---

Θ'. Ἔτι καὶ νυκτὸς) Ἔτι δὲ συνέβη αὐτοῖς καταλαβεῖν τοιαῦτα, οὐδ' ἡμέρας, ἀλλὰ νυκτὸς οὔσης καὶ ζόφου. Τοιοῦτό τε σημαίνει ὁ Καί.

— Ὡς γνωρίσαι) Ἵνα γνωρίσαι.

— Τῷ κρημνῷ προσφ.) Φερομένην πρὸς τῷ κρημνῷ.

2. Τῆς ὁρθῆς) Ὁδοῦ δηλ.

— Ἐτησίας) Ἀνέμους δηλ. Ἐτησίαι γὰρ λέγονται ἄνεμοι οἱ κατά τινα ὥραν τοῦ ἔτους πνέοντες· οἷον περὶ δέκα ἢ δυοκαίδεκα ἡμέρας που πρὸ τῆς ἀνατολῆς ἀστέρος καλουμένου Κυνὸς ἢ Σειρίου, μέχρι τῆς ἀνατολῆς Ἀρκτούρου ἀστέρος καὶ αὐτοῦ. Ἀριστ. περὶ Κόσμ.

3. Θαυμάσιον φῄς) Ὡς φῄς ἐστὶ θαυμάσιος κυβερνήτης. Εἰρωνικῶς δὲ τοῦτο λέγει.

— Ἢ τοῦ Νηρέως ἡλικιώτην) Ἢ τὸν ἡλικιώτην τοῦ Νηρέως θεοῦ τῆς θαλάσσης· χλευαστικῶς καὶ τοῦτο τὴν παλαιότητα τοῦ γεροντος Ἡρωνος εἰρωνευόμενος.

ι'. Ἀλλὰ τί τοῦτο) Ἄλλα τί ἐστι τοῦτο, ὅπερ ὁρῶ;

2. Καὶ θαιμάτιον αὐτοῦ) Καὶ τὸ ἱμάτιον, ὅπερ ὁρῶ, αὐτοῦ ἐστι· καὶ τὸ. Τὸ δὲ θαιμάτιον κατὰ συναίρεσιν τὸ μὲν ο καὶ ι οἱ συναιρεῖται, διὰ δὲ τὴν δασεῖαν τρέπεται τὸ τ εἰς θ.

— Καὶ ἐν χρῷ ἡ κουρά) Σημειούσθω, ὅτι ἐν Ἀθήναις ἐκόμων οἱ ἐλεύθεροι, τοῖς δὲ δούλοις οὐκ ἐξῆν κομᾶν νόμῳ· ὅθεν οὐν ἐκείροντο μέχρι τοῦ δέρματος κόπτοντες τὰς τρίχας, ἢ γοῦν ξυρῷ ἔκοπτον αὐτάς. Κατὰ τοῦτον οὖν τὸν τρόπον ἐκείροντο καὶ τῶν φιλοσόφων οἱ Στωϊκοὶ καλούμενοι, ὁπέριττοι τὰ πάντα ὄντες.

ιά. Ἀνακυκλῶν) Πρὸς σεαυτόν.

2. Οὐδὲν χαλεπὸν) Ἀνακυλῶ πρὸς ἐμαυτόν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εὖσαι ὑμῶν ἐποίησεν, ἀτενὲς πρὸς αὐτὴν ἅπαντι τῷ λογισμῷ ἀποβλέποντα. — Λυκ. Τίς αὕτη; μὴ γὰρ ὀκνήσῃς εἰπεῖν, εἰ μή τις ἐστὶ τὸ πάνυ ἀπορρήτων. Καί τοι ἐτελέσθημεν, ὡς οἶσθα, καὶ στέγειν μεμαθήκαμεν. — Ἀδείμ. Ἀλλ' αἰσχύνομαι ἔγωγε εἰπεῖν πρὸς ἡμᾶς· οὕτω γὰρ μειρακιώδες ὑμῖν δόξει τὸ φρόντισμα. — Λυκ. Μῶν ἐρωτικόν τι ἐστιν; οὐδὲ γὰρ οὐδὲ τοῦτο ἀμυήτοις ἡμῖν ἐξαγορεύσεις, ἀλλ' ὑπὸ λαμπρᾷ τῇ δᾳδὶ καὶ αὐτοῖς τετελεσμένοις.

ιδ'. Ἀδείμ. Οὐδέν, ὦ θαυμάσιε, τοιοῦτον, ἀλλά τινα πλοῦτον ἐμαυτῷ ἀνεπλαττόμην, ἣν κενὴν μακαρίαν οἱ πολλοὶ καλοῦσι καί μοι ἐν ἀκμῇ τῆς περιουσίας καὶ τρυφῆς ἐπέστητε. — Λυκ. Οὐκοῦν τὸ προχειρότατον τοῦτο, κοινὸς Ἑρμᾶς, φασι· καὶ ἐς μέσον κατατίθει φέρων τὸν πλοῦτον· ἄξιον γὰρ ἀπολαῦσαι τὸ μέρος φίλους ὄντας, τῆς Ἀδειμάντου τρυφῆς. — Ἀδείμ. Ἀπελείφθην μὲν ὑμῶν εὐθὺς ἐν τῇ πρώτῃ ἐς τὴν ναῦν ἐπιβάσει, ἐπεί σε, ὦ Λυκῖνε, κατέστησα ἐς τὸ ἀσφαλές. Περιμετροῦντος γάρ μου τῆς ἀγκύρας τὸ μέγεθος, οὐκ οἶδ' ὅπου ὑμεῖς ἀπέστητε.

ιγ'. Ἰδὼν δ' ὅμως τὰ πάντα, ἡρώτην τινὰ τῶν αὐτῶν ὑπόστην ἀποφέρει ἡ ναῦς τῷ δεσπότῃ ὡς ἐπιστοπολὺ κατ' ἔτος ἕκαστον τὴν μισθοφορίαν· ὁ δέ μοι, Δώδεκα, ἔφη, Ἀττικὰ τάλαντα, εἰ πρὸς τοὐλάχιστόν τις λογίζοιτο. Τοὐντεῦθεν οὖν ἐπανιὼν, ἐλογιζόμην, εἴ τις θεῶν τὴν ναῦν ἄφνω ἐμὴν ποιήσειεν εἶναι, οἷον ἂν ὡς εὐδαίμονα βίον ἐβίωσα, εὖ ποιῶν τοὺς φίλους, καὶ ἐπιπλέων ἐνίοτε μὲν αὐτός, ἐνίοτε δὲ οἰκέτας ἐκπέμπων· εἶτα ἐκ τῶν δώδεκα

— Ἀποβλέποντα) Μεταφορικῶς ἀντὶ προσέχοντα.

3. Τίς αὕτη) Ἡ ἔννοια δηλ.

— Ἐπελέσθημεν) Ἐν ἀκουδύνῳ σοι τὸ πρὸς ἡμᾶς ἐκφέρειν καθίσταται· μεμυήμεθα γὰρ καὶ αὐτοί, καὶ σιγᾶν μεμαθήκαμεν· μόνῳ δὲ τῷ τῶν μυστηρίων ἀμυήτῳ οὐκ ἔξεστι εξειπεῖν τὸ ἀπόρρητον· πρὸς ἡμᾶς δὲ οὐδὲν ἀπόρρητον ἔχειν σε· διὰ τοῖς γὰρ μεμυημένοις οὐκ ἔξεστι τὸ ἀπόρρητον λέγειν· ἐμυούντο δὲ τὰ ἐν Ἐλευσῖνι μυστήρια· περὶ ὧν οὐδὲν βεβαιοῦσαι· τοῦτο δὲ δῆλον ὅτι οἱ μεμυημένοι διῆγον βίον σεμνὸν καὶ ἀρετῆς ἁπάσης πλήρη.

4. Τὸ φρόντισμα) Ἡ ἔννοια δηλ. περὶ ἧς ἐφρόντιζον.

5. Οὐδὲ γὰρ οὐδὲ) Καὶ τοῦτο μεμυημένοι ἐσμὲν, καὶ πρὸς ἡμᾶς οὕτως ἔχοντας ἐξαγορεύσεις.

— Ἀλλ' ὑπὸ λαμπρᾷ) Φανερὰ γὰρ καὶ ἡμεῖς τοῦτο ἐμυήθημεν· φανερὸν δηλ. ἔστι καὶ ἡμεῖς τοιοῦτοι ἐσμεν.

ιδ'. Οὐδὲν τοιοῦτον) Ἤτοι ἐνοεῖται τὸ ἔστιν, ὅ' ᾗ οὐδὲν ἔστι τοιοῦτον, ὦ θαυμάσιε, ἀλλὰ ἡ ἐκτρίτου ἐστὶ τοῦ, ἀνεπλαττόμην· ἤγουν, ὦ θαυμάσιε, οὐδὲν ἀνεπλαττόμην τοιοῦτον· ἀλλὰ πλοῦτ. καὶ τλ. — Ἣν κενὴν μακαρ.) Τὰ ποδὸς ῥαστώνην καὶ εὐκημερίαν τείνοντα, εἴτε ἐγκηγοράτων ἐνδύμια, εἴτε καὶ καθευδόντων ἐνύπνια κενὴν μακαρίσιν οἱ πολλοὶ κατεφήμισαν.

2. Κοινὸς Ἑρμᾶς) Τὸ μὲν Ἑρμᾶς Δωρικὸν, ἀντὶ τοῦ Ἑρμῆς· ἔστι δὲ παροιμία ἐπὶ τῶν μετέχειν αἰτούντων κερδοῦς, τοῦ Ἑρμοῦ, ὃς καὶ πλουτοδότης πιστεύεται, εὐνοιαν ὑμῖν προβαλλομένου.

— Ἀπολαῦσαι) Τῆς Ἀδειμ. τρυφ. ἕκαστον κατὰ τὸ μέρος.

3. Ἐπεί σε) Τὸ Ἐπεί χρονικὸν ἤτοι μετὰ τὸ καταστῆσαί σε, ἢ ὅτ' οὐ τὸ καταστῆσαι.

ιγ'. Ὡς ἐπιστοπολὺ) Ὡς ἐπὶ τὸ πλεῖστον.

— Εἰ πρὸς τοὐλάχιστόν τις λογίζοιτο) Τὸ παρ' ἡμῖν, τὸ ὀλιγάτερον.

2. Ὡς εὐδ.) Τὸ ὡς ἐπιστατικὸν, καὶ ἐνοεῖται ἀπεῖον ἂν εὐδαιμονέστατον ἔσον βίον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐκείνων ταλάντων, οἰκίαν τε ἤδη ὠκοδομησάμην ἐν ἐπικαίρῳ μικρὸν ὑπὲρ τὴν ποικίλην, τὴν παρὰ τὸν Ἰλισσὸν ἐκείνην τὴν πατρῴαν ἀφεὶς, καὶ οἰκέτας ὠνούμην καὶ ἐσθῆτας, καὶ ζεύγη, καὶ ἵπ-
3 πους. Νυνὶ δὲ ἤδη καὶ ἔπλεον, ὑφ᾽ ἁπάντων εὐδαιμονιζόμενος τῶν ἐπιβατῶν, φοβερὸς τοῖς ναύταις, καὶ μονονυχὶ βασιλεὺς νομιζόμε-
4 νος. Ἔτι δέ μοι τὰ κατὰ τὴν ναῦν εὐθετίζοντι, καὶ ἐς λιμένα πόρρωθεν ἀποβλέποντι, ἐπιστὰς, ὦ Λυκῖνε, κατέδυσας τὸν πλοῦτον, καὶ ἀνέτρεψας εὖ φερόμενον τὸ σκάφος οὐρίῳ τῆς εὐχῆς τῷ πνεύματι.

ιδ᾽. Λυκ. Οὐκοῦν, ὦ γενναῖε, λαβόμενός μου, ἄπαγε πρὸς τὸν στρατηγὸν, ὥς τινα πειρατὴν, ἢ καταπονταιστὴν, ὃς τηλικοῦτον ναυάγιον εἴργασμαι, καὶ ταῦτα ἐν γῇ κατὰ τὴν ἐκ Πειραιῶς ἐς τὸ
2 ἄστυ. Ἀλλ᾽ ὅρα παραμυθήσομαί σου τὸ πταῖσμα. Πέντε γὰρ, εἰ βούλει, καλλίω καὶ μείζω τοῦ Αἰγυπτίου πλοῖα ἤδη ἔχε, καὶ τὸ μέγιστον, οὐδὲ καταδῦναι δυνάμενα. Καὶ τάχα σοι πεντάκις ἐξ Αἰγύπτου κατ᾽ ἔτος ἕκαστον σιταγωγείτω σιταγωγίαν, εἰ καὶ, ὦ
3 ναυκλήρων ἄριστε, δῆλος εἶ ἀφόρητος ἡμῖν τότε γενησόμενος. Ὡς γὰρ ἔτι ἑνὸς πλοίου τοτουὶ δεσπότης ὤν, παρήκουες βοώντων, εἰ πέντε κτήσαιο πρὸς τούτῳ τριάρμενα πάντα, καὶ ἀνώλεθρα, οὐδὲ
4 ὄψει δηλαδὴ τοὺς φίλους. Σὺ μὲν οὖν εὐπλόει, ὦ βέλτιστε· ἡμεῖς δὲ ἐν Πειραιεῖ καθεδούμεθα· καὶ τοὺς ἐξ Αἰγύπτου, ἢ Ἰταλίας καταπλέοντας ἀνακρινοντες, εἴ που τὸ μέγα Ἀδειμάντου πλοῖον, τὴν Ἰσιν, τις οἶδεν.

ιέ. Ἀθείμ. Ὁρᾷς, διὰ τοῦτο ὦκνουν εἰπεῖν, ἃ ἐνενόουν, εἰδὼς ὅτι ἐν γέλωτι καὶ σκώμματι ποιήσεσθέ μου τὴν εὐχήν. Ὥ-
2 στε ἐπιστὰς μικρὸν, ἐς τ᾽ ἂν ὑμεῖς προχωρήσητε, ἀποπλευσοῦμαι πάλιν ἐπὶ τῆς νεώς. Πολὺ γὰρ ἄμεινον τοῖς ναύταις

---

2. Ἐν ἐπικαίρῳ.) Τόπῳ δηλ. ἐπιτηδείῳ. — Ὑπὲρ τὴν ποικίλην.) Στοὰν δηλ. Ἦν γὰρ ἐν Ἀθήναις στοὰ, ἐν ᾗ ἦσαν πάντ᾽ ὅσα Ἀρχιτεκτονικὴ, Γραπτικὴ, καὶ Ζωγραφικὴ, ἔχουσι σπάνια, καὶ λόγου ἄξια· ἦσαν δ᾽ ἐν αὐτῇ καὶ διάφοροι εἰκόνες θαῦμα ἰδεῖν· μεταξὺ δὲ τούτων καὶ ἡ τῆς ἐν Μαραθῶνι μάχης εἰκὼν· διὰ ταῦτα οὖν τὰ ποικίλματα ἐλέγετο ποικίλα. Ἀπὸ ταύτης ἔλαχον τὴν κλῆσιν καὶ οἱ καλούμενοι Στοϊκοὶ φιλόσοφοι· ὡς συναθροιζόμενοι ἐν αὐτῇ.

— Τὴν πατρῴαν) Οἰκίαν δηλ.

4. Ὁρίῳ τῆς εὐχῆς) Ὁρίῳ πνεύματι, ὅπερ ἐστὶ τὸ ὑποκείμενον τῆς ἡμετέρας εὐχῆς, ὅπερ εὐχόμεθα.

ιδ᾽. Πρὸς τὸν στρατηγὸν) Ἐν γὰρ Ἀθήναις οὕτως ἐκαλεῖτο ὁ ἄρχων πασῶν τῶν νεῶν των ἐν Ἀθήναις· πρὸς ὃν πάντα ἀνεφέροντο τὰ θαλάττια πράγματα· καὶ αὐτὸς ἐδίκαζε περὶ τούτων. — Καὶ ταῦτα) Ἐνοεῖτον, Ἐποίησα.

— Κατὰ τὴν) Ὁδὸν τὴν φέρουσαν ἐκ Π.

2. Ἕκαστον) Τῶν πλοίων.

— Σιταγωγείτω σιταγωγίαν) Ἀττικισμὸς ἡ τοῦ συντοίχου ὀνόματος προσθήκη.

— Εἰ καὶ δῆλος εἶ) Δῆλος ἄρα εἶ· τὸ Εἰ συμπεραστικόν.

3. Ὡς γὰρ) Ἐπειδὴ γὰρ ὢν δεσπότης ἑνὸς, παρήκουες, πάντος οὐδὲ ὄψει τοὺς φίλους, κτησάμενος πέντε.

4. Ἀνακρίνοντες) Ἐξετάζοντες, ἐρωτῶντες.

ιέ. Ἐν γέλωτι ποιήσ.) Γελάσετε, καὶ σκώψετέ μου τὴν εὐχὴν· κατὰ περίφρασιν δὲ εἴρηται.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

προσλαλεῖν, ἢ ὑφ' ὑμῶν καταγελᾶσθαι. — Λυκ. Μηδαμῶς, ἐ- 3
πεὶ συνεμβησόμεθά σοι καὶ αὐτοὶ ὑποστάντες. — Ἀδείμ. Ἀλλὰ ὑ-
φαιρήσω τὴν ἀποβάθραν, προεισελθών. — Λυκ. Οὐκοῦν ἡμεῖς
γε προσνηξόμεθα ὑμῖν. Μὴ γὰρ οἶου, σοὶ μὲν εἶναι ῥᾴδιον τη- 4
λικαῦτα πλοῖα κτᾶσθαι, μήτε πριαμένῳ, μήτε ναυπηγησαμέ-
νῳ· ἡμεῖς δὲ οὐκ αἰτήσομεν παρὰ τῶν θεῶν ἐπὶ πολλοὺς στα-
δίους ἀκμῆτες δύνασθαι νεῖν. Καί τοι πρῶτον καὶ ἐς Αἴγιναν 5
ἐπὶ τὴν τῆς Ἐνοδίας τελετὴν, οἶσθα ἐν ἡλίκῳ σκαριδίῳ πάν-
τες ἅμα οἱ φίλοι τεττάρων ἕκαστος ὀβολῶν διεπλεύσαμεν, καὶ
οὐδὲν εὐδυσχέραινες ἡμᾶς συμπλέοντας· νῦν δὲ ἀγανακτεῖς, εἰ
συνεμβησόμεθά σοι, καὶ τὴν ἀποβάθραν προεισελθὼν ἀφαιρεῖς.
Ὑπερμαζᾷς γε, ὦ Ἀδείμαντε, καὶ ἐς τὸν κόλπον οὐ πτύεις, 6
οὐδὲ οἶσθα, ὅς τις ὢν ναυκληρεῖς. Οὕτως ἐπῄρέ σε καὶ ἡ οἰ-
κία, ἐν καλῷ τῆς πόλεως οἰκοδομηθεῖσα, καὶ τῶν ἀκολούθων
τὸ πλῆθος. Ἀλλ', ὦ γαθέ, πρὸς τῆς Ἴσιδος, κἂν τὰ Νει- 7
λῷα ταῦτα ταρίχη τὰ λεπτὰ μέμνησο ἡμῖν ἄγειν ἀτ' Λιγύ-
πτου, ἢ μῦρον ἀπὸ τοῦ Κανώπου. ἢ Ἰβὶν ἐκ Μέμφιδος· εἰ δὲ καὶ
ἡ ναῦς ἐδύνατο, καὶ τῶν πυραμίδων μίαν.

ιϛ'. Τιμ. Ἄλις παιδιᾶς, ὦ Λυκίνε· ὁρᾷς ὡς ἐρυθριᾷν Ἀ-
δείμαντον ἐποίησας, πολλῷ τῷ γέλωτι ἐπικλύσας τὸ πλοῖον,
ὡς ὑπέραντλον εἶναι, καὶ μηκέτι ἀντέχειν πρὸς τὸ ἐπιῤῥέον· καὶ 2
ἐπείπερ ἔτι πολὺ ἡμῖν τὸ λοιπόν ἐστι πρὸς τὸ ἄστυ, διελόμε-
νοι τετραχῇ τὴν ὁδὸν κατὰ τοὺς ἐπιβάλλοντας ἕκαστος στα-
δίους, αἰτῶμεν ἅ περ ἂν δοκεῖ παρὰ τῶν θεῶν· οὕτω γὰρ ἂν ἡ-
μᾶς ὅ,τε κάματος λάθοι, καὶ ἅμα εὐφρανούμεθα, ὥσπερ ἡδί-

---

3. Ὑποστάν.) Τοῦτο δὲ δοκεῖ τοῦ τὸ ἐπιστάντες εἴρηται γὰρ ἐπιστὰς μικρόν.

5. Ἐπὶ τὴν τῆς Ἐνοδίας τελ.) Τούτων τῶν μυστηρίων μέμνηται Παυσανίας ἐπὶ τῶν τῆς Ἑκάτης ὀνόματι. Ἐνοδία γὰρ ἡ Ἑκάτη ὡς ἐπὶ τας ὁδοὺς, κατὰ τα μυθολογούμενα καθεζομένη· ὅθεν καὶ ἐπὶ τὰς τριόδους, ὰς καὶ ἄλλα ἁμαρτήματων καθάρσια βοώμενα ἐτίθετο· καὶ ἐπιστεύετο ὑπὸ Ἑκάτης βιβεσθώπεσθαι· ὅθεν καὶ Ἑκάτης ἐκαλεῖτο δεῖπνον.

6. Ὑπερμαζᾷς) Λέγεται τοῦτο ἐπὶ τῶν ἀπὸ τῆς μεγαν πενίας ὀρεγομένων πλουτεῖν· ἔπειτα σοβαρόν τι τοῖς συνήθεσι τῶν ἐνορώντων καὶ ὑπεροπτικὸν ὅθεν καὶ ὑπερμαζᾷν, ὡς μὴ πλέον μάζης πρότερον εὐπορηκότες. — Καὶ ἐς τὸν κόλπον οὐ πτ.) Εἰώθασιν αἱ γυναῖκες, καὶ τὸ ἔθος μέχρι καὶ νῦν ἀνὰ τὴν Ἑλλάδα σώζεται, εἰς τὸν κόλπον πτύειν, τὸ νεμεσητὸν ἐκτρεπόμεναι· τὸ δὲ εἰς τὸν κόλπον μὴ πτύειν ἀλαζόνων ἴδιον.

7. Εἰ δὲ καὶ) Προσθετικός. Καὶ εἰ ἐδύνατο δὲ ἡ ναῦς· πρὸς τούτοις δὲ εἰ ἐδύνατο· μέμνησο ἡμῖν ἄγειν καὶ μίαν τῶν πυρ.

ιϛ'. Ἄλις παιδ.) Ἀρκεῖ σοι παίζοντι. — Ὑπέραντ.) Ὥστε δυσχερὲς ἀντλεῖν οὐ ἀρκεῖ· οὐτῶ τὸ ἀντλ. — Πρὸς τὸ ἐπιῤῥέον) Ὑπακούεται κύμα.

2. Κατὰ τοὺς ἐπιβ. ἕκαστ. σταδ.) Ἀπὸ τοῦ Πειραιέως μέχρι τοῦ ἄστεος τεσσαράκοντα ἦσαν στάδιοι. Ὅθεν ἐπιβαλλόντες ἑκάστῳ στάδιοι ἦσαν δέκα· ἐὰν πᾶσα ἡ ὁδὸς εἰς τέσσαρα ἴσα ἢ διῃρημένη· ἦσαν δέ τοι τριάκοντα, ὡς κατὰ τὸ τέλος γενόμενος λέγει ὅτι τῷ τετάρτῳ οὐδὲν ἀπελείφθη. μϛ'. ἡμιστάδιον αἰτήσαντι. ιϛ'.

3. Εὖ ποιήσοντι) Τῷ ὀνείρου δηλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στῳ ὀνείρατι ἑκουσίῳ περιπεσόντες, ἐφ' ὅσον βουλόμεθα εὐ ποιή-
3 σοντι ἡμᾶς. Παρ' αὐτῷ γὰρ ἑκάστῳ τὸ μέτρον τῆς εὐχῆς, καὶ
οἱ θεοὶ πάντα ὑποκείσθωσαν παρέξοντες, εἰ καὶ τῇ φύσει ἀπί-
4 θανα ἔστι. Τὸ δὲ μέγιστον, ἐπίδειξις ἔσται τὸ πρᾶγμα, ὅς τις
ἂν ἄριστα χρήσαιτο τῷ πλούτῳ, καὶ τῇ εὐχῇ. Δηλώσει γὰρ
οἷος ἂν καὶ πλουτήσας ἐγένετο.

ιζ'. Σάμ. Καλῶς, ὦ Τιμόλαε, καὶ πείθομαί σοι, καὶ ὅταν
2 ὁ καιρὸς καλῇ, εὔξομαι, ἅπερ ἂν δοκεῖ. Εἰ μὲν γὰρ Ἀδεί-
μαντος βούλεται, οὐδὲ ἐρωτᾶν οἶμαι, ὅς γε δὴ ἐν τῇ νηῒ τὸν
ἕτερον πόδα ἔχει· χρὴ δὲ καὶ Λυκίνῳ δοκεῖν. — Λυκ. Ἀλ-
λὰ πλουτῶμεν, εἰ τοῦτο ἄμεινον, μὴ καὶ βασκαίνειν ἐπὶ ταῖς
3 κοιναῖς εὐτυχίαις δοκῶ. — Ἀδείμ. Τίς γοῦν πρῶτος ἄρξεται;
— Λυκ. Σύ, ὦ Ἀδείμαντε, εἶτα μετὰ σέ, οὑτοσὶ Σάμιππος·
εἶτα Τιμόλαος, ἐγὼ δὲ ὀλίγον ὅσον ἡμιστάδιον τὸ πρὸ τοῦ
Διπύλου ἐπιλήψομαι τῇ εὐχῇ, καὶ τοῦτο ὡς οἷόν τε παραδραμων.

ιη'. Ἀδείμ. Οὐκοῦν ἐγὼ μὲν οὐδὲ νῦν ἀποστήσομαι τῆς νεώς,
ἀλλ', εἴπερ ἔξεστιν, ἐπιμετρήσω τῇ εὐχῇ. Ὁ δὲ Ἑρμῆς ὁ κέρ-
2 δῳος ἐπινευσάτω ἅπασιν. Ἔστω γὰρ τὸ πλοῖον, καὶ τὰ ἐν αὐ-
τῷ πάντα, ἐμά, καὶ ὁ φόρτος, οἱ ἔμποροι, αἱ γυναῖκες, οἱ ναῦ-
ται, καὶ ἄλλο εἴ τι ἥδιστον κτημάτων ἁπάντων. — Σάμ. Λέ-
3 λησθας σεαυτὸν ἔχων ἐν τῇ νηί. — Ἀδείμ. Τὸν παῖδα φῄς,
ὦ Σάμιππε, τὸν κομήτην; κἀκεῖνος οὖν ἔστω ἐμός· ὁπόσος δὲ
ὁ πυρὸς ἔνδον ἐστίν, οὗτος ὁ ἀριθμὸς ἅπας, χρυσίον ἐπίσημον
γενέσθω, τοσοῦτοι Δαρεικοί.

ιθ'. Λυκ. Τί τοῦτο, ὦ Ἀδείμαντε; καταδύσεταί σοι τὸ πλοῖον,
οὐ γὰρ ἴσον βάρος πυροῦ καὶ τοῦ ἰσαρίθμου χρυσίου. — Ἀ-
2 δείμ. Μὴ φοβοῦ, ὦ Λυκῖνε, ἀλλ' ἐπειδὰν εἰς σὲ παρέλθῃ ἡ-
εὐχή, τὴν Πάρνηθα ἐκείνην, εἰ θέλοις, ὅλην χρυσῆν ποιήσας
3 ἔχε, κἀγὼ σιωπήσομαί σοι. — Λυκ. Ἀλλ' ὑπὲρ ἀσφαλείας τοῦ-
το ἔγνωκε τῆς σῆς ἐποιησάμην, ὡς μὴ ἀπολέσθαι ἅπαντας με-
τὰ τοῦ χρυσίου· καὶ τὰ μὲν ὑμέτερα μέτρια, τὸ μειράκιον δὲ
τὸ ὡραῖον, ἀποπνιγήσεται ἅλλιον, νεῖν οὐκ ἐπιστάμενον. — Τιμ.
Θάρρει, ὦ Λυκῖνε· οἱ δελφῖνες γὰρ αὐτὸ ὑποδύντες ἐξοίσουσιν

ιζ'. 3. Τὸ πρὸ τοῦ Διπύλ.) Ἔμπροσθεν τοῦ Διπύλου. Τόπος δὲ οὗτος τῶν Ἀθηνῶν οὕτω καλούμενος διὰ τὸ δύο εἶναι πύλας ἐν αὐτῷ. — Ἐπιλήψ.) Μετὰ πάντας λήψομαι· τὸ γὰρ ὕστερον σημαίνει ἡ Ἐπί.

ιη'. Ἐπιμετρήσω) Ἐπὶ τοῖς εἰρημένοις μετρήσω καὶ ἕτερα.

3. Χρυσίον ἐπίσ.) Χρήματα ὅλ. μετρητὰ χρυσᾶ γενέσθω.

ιθ'. 2. Τὴν Πάρνηθα ἐκ.) Δεικνύουσι γὰρ τὸ ἐν Ἀττικῇ ὄρος, οὕτω καλούμενον.

3. Ἅλλιον) Ἐν τῇ τοιαύτῃ περιστάσει οἱ μὲν Ἀττικοὶ ἄνευ ἀρθρου χρῶνται τῷ ἅλιος· ἡμεῖς δὲ κοινῶς ἀνάρθρως ἥκει εἰς χρῆσιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐπὶ τὴν γῆν. Ἢ νομίζεις κιβαρῳδὸν μέν τινα σωθῆναι παρ' αὐ- 4
τῶν, καὶ ἀπολαβεῖν τὸν μισθὸν ἀντὶ τῆς ᾠδῆς, καὶ νεκρόν τι ἄλ-
λο παιδίον εἰς τὸν Ἰσθμὸν ἐπὶ δελφῖνος ὁμοίως προσκομισθῆ-
ναι, τὸν δὲ Ἀθειμάντου οἰκέτην τὸν νεώνητον, ἀπορήσειν δελ-
φῖνος ἐρωτικοῦ; — Ἀθείμ. Καὶ σύ γάρ, Τιμόλαε, μιμῇ Λυ- 5
κινον, καὶ ἐπιμετρεῖς τῶν σκωμμάτων, καὶ ταῦτα εἰσιγητὴς
αὐτὸς γενόμενος.

κ'. Τιμ. Ἀμεινον γὰρ ἦν πιθανώτερον αὐτὸ ποιεῖν, καὶ τινα
θησαυρὸν ὑπὸ τῇ κλίνῃ ἀνευρεῖν, ὡς μὴ πράγματα ἔχοις ἐκ
τοῦ πλοίου, μετατιθεὶς χρυσίον ἐς τὸ ἄστυ. — Ἀθείμ. Εὖ λέ- 2
γεις· ἀνορωρύχθω θησαυρὸς ὑπὸ τὸν Ἑρμῆν τὸν λίθινον, ὅς ἐ-
στιν ἡμῖν ἐν τῇ αὐλῇ, μέδιμνοι χίλιοι ἐπισήμου χρυσίου. Εὐ- 3
θὺς οὖν, κατὰ τὸν Ἡσίοδον, οἶκος τὸ πρῶτον, ὡς ἂν ἐπισημότα-
τα οἰκοίην· καὶ τὰ περὶ τὸ ἄστυ πάντα ὠνησάμην ἤδη,
πλὴν ὅσα Ἰσθμοῖ, καὶ Πυθοῖ, καὶ ἐν Ἐλευσῖνι ὅσα ἐπὶ θα-
λάττῃ, καὶ περὶ τὸν Ἰσθμὸν ὀλίγα, τῶν ἀγώνων εἵνεκα, εἴ ποτε
δὴ τὰ Ἰσθμια ἐπιδημήσαιμι, καὶ τὸ Σικυώνιον πεδίον, καὶ ὅ-
λως εἴ που τι ᾖ συνηρεφές, ἢ ἔνυδρον, ἢ εὔκαρπον ἐν τῇ Ἑλλά-
δι, πάντα ἐν ὀλίγῳ Ἀθειμάντου ἔστω. Ὁ χρυσὸς δὲ κοῖλος ἡ- 4
μῖν ἐμφαγεῖν· τὰ δὲ ἐκπώματα σὺ κοῦφα, ὡς τὰ Ἐχεκράτους,
ἀλλὰ διτάλαντον ἕκαστον τὴν ὁλκήν.

κά. Λυκ. Εἶτα πῶς ὁ οἰνοχόος ὀρέξει πλήρες οὕτω βαρύ

---

4. Κιθαρῳδὸν) Τὸν Ἀρίονα λέγει. Τούτου γὰρ, βουλομένων τῶν ναυτῶν ἐμβαλεῖν εἰς τὴν θάλασσαν, ἄσαντα, ἢν γὰρ κιθαρῳδὸς ἐν τοῖς μάλιστα εὐδόκιμος, καὶ ῥίψαντα ἑαυτὸν εἰς τὴν θάλασσαν. ὑπολαβόντες οἱ δελφῖνες, ἔσωσαν. Ἡρόδ. Α'. κγ'.

— Καὶ νεκρὸν ἄλλ. παιδ.) Τὸν Μελικέρτην λέγει τοῦ τῆς Ἰνοῦς παῖδα, ἐπιδιώκοντος τοῦ πατρὸς Ἀθάμαντος. Ἰνὼ γὰρ, βουλευθεῖσα κακῶς κατὰ τῶν τέκνων Νεφέλης τῆς προτέρας γυναικὸς Ἀθάμαντος βασιλέως Θηβῶν, ἐκείνων μὲν ἐπὶ κριοῦ χρυσομάλλου δι' ἀέρος φυγόντων, Ἀθάμαντος δε, κατὰ μῆνιν Ἥρας εἰς μανίαν ἐμπεσόντος, ἔβαψεν ἑαυτὴν εἰς θάλασσαν διὰ τῶν Σκιρωνίδων πετρῶν μετὰ τοῦ παιδὸς Μελικέρτου. Δελφῖνες δὲ ἔσωσαν· καὶ Ποσειδῶν αὐτὴν μὲν θεὰν Λευκοθέαν ἐποίησε· τὸν δὲ υἱὸν Παλαίμονα τῶν λιμένων προστάτην.

5. Καὶ ἐπιμετρεῖς) Προστίθης τινὰ τῶν σκωμμάτων.

— Καὶ ταῦτα) Ἐνοχεῖται Ποιεῖς.

κ'. 2. Ὑπὸ τὸν Ἑρμῆν τὸν λίθ.) Ἐμοῦ γὰρ ἀγάλματα ἦσαν ἐκ λίθου κατεργασμένα, καὶ ἐν ἴδιοις προθύροις καὶ ἐν ἱερεῖς ἐν Ἀθήναις, ἕως δὲ τούτο Ἀθηναίοις. Θουκυδ. ς'. κξ'.

— Ἐπισήμου) Ἐσφραγισμένου.

3. Κατὰ τὸν Ἡσιόδ.) Ἐν ἔργοις στίχ. 405.

Οἶκον μὲν πρώτιστα, γυναῖκά τε, βοῦν τ' ἀροτῆρα.

— Ἰσθμοῖ καὶ Πυθοῖ) Ὡς τοπικὰ ἐπιβήματα λαμβάνεται ταῦτα. Τόποι δὲ οὗτοι δοκοῦσιν εἶναι τῆς Ἀττικῆς.

— Ὅσα ἐπὶ θαλ.) Ἐπεξήγησις δοκεῖ ταῦτα τοῦ Ἰσθμοῖ καὶ Πυθοῖ· ἄλλως γὰρ δυσζύνετον τὸ χωρίον. Τοῦτα γὰρ οὐκ ὠνήσεται τῶν ἀγώνων ἕνεκα ἔνεκα.

— Εἰπέτε δή) Ὁ νοῦς Ἐὰν δέ μοι κατὰ θυμὸν ἐνδιατρίβαι ἐν Ἰσθμοῖς, ὠνήσομαι καὶ τὸ Σικυώνιον πεδίον ἐκεῖ πλήσιον που ὄν.

4. Κοῖλος ἡμῖν ἔμφ.) Κοιλωθήτω δηλ. ὁ χρυσὸς, ἵνα ἐν αὐτῷ ἐντίθηται τὰ βρώματα. Ἔστωσαν δηλονότι πάντα τε τὴν τραπέζης χρυσᾶ σκεύη.

— Τὴν ὁλκ.) Κατὰ τὴν ὁλκήν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἔκπωμα; ἡ σὺ δέξῃ παρ' αὐτοῦ ἀμοιγητὶ οὐ σκύφον, ἀλλὰ Σισύ-
2 φιόν τι, βάρος ἀναδιδόντος; — Ἀδείμ. Ἄνθρωπε, μὴ μ' ἀνάλυε τὴν
εὐχήν· ἐγὼ δὲ καὶ τραπέζας ὅλας χρυσᾶς ποιήσομαι, καὶ τὰς
κλίνας χρυσᾶς· εἰ δὲ μή σωπήσῃ, καὶ τοὺς διακόνους αὐτούς.
3 — Λυκ. Ὅρα μόνον, μὴ ὥσπερ τῷ Μίδᾳ, καὶ ὁ ἄρτος σοι, καὶ τὸ
ποτὸν χρυσὸς γένηται, καὶ πλουτῶν ἄθλιος ἀπόλῃ, λιμῷ διαφθα-
4 ρεὶς πολυτελεῖ. — Ἀδείμ. Τὰ σὰ ῥυθμιεῖς πιθανώτερον, ὦ Λυ-
κῖνε, μετ' ὀλίγον, ἐπειδὰν αὐτὸς αἰτῇς.

κδ'. Ἐσθῆς ἐπὶ τούτοις ἀλουργίς, καὶ ὁ βίος οἷος ἁβρότατος·
ὕπνος, ἐφ' ὅσον ἥδιστος· φίλων πρόσοδοι, καὶ δεήσεις, καὶ τὸ ἅ-
παντας ὑποπτήσσειν, καὶ προσκυνεῖν· καὶ οἱ μὲν ἔνδον πρὸς ταῖς
θύραις ἄνω καὶ κάτω περιπατήσουσιν, ἐν αὐτοῖς δὲ καὶ Κλεκί-
2 νετος, καὶ Δημοκράτης οἱ πάνυ. Καὶ προσελθοῦσι γε αὐτοῖς,
καὶ πρὸ τῶν ἄλλων εἰσδεχθῆναι ἀξιοῦσι, θυρωροὶ ἑπτὰ ἐρεστῶ-
τες, εὐμεγέθεις βάρβαροι προσαράξάτωσαν ἐς τὸ μέτωπον εὐθὺ
3 τὴν θύραν, οἷα νῦν αὐτοὶ ποιοῦσιν. Ἐγὼ δέ, ὁπόταν δόξῃ,
προκύψας ὥσπερ ὁ ἥλιος, ἐκείνων μὲν οὐδ' ἐπιβλέψομαι ἑνός·
εἰ δέ τις πένης, οἷος ἦν ἐγὼ πρὸ τοῦ θησαυροῦ, φιλοφρονήσομαι
τούτῳ, καὶ λυσάμενον ἥκειν κελεύσω τὴν ὥραν ἐπὶ τὸ δεῖπνον.
4 Οἱ δὲ ἀποπνιγήσονται οἱ πλουσιοι, ὁρῶντες ὀχήματα, ἵππους,
καὶ παῖδας ὡραίους, ὅσον δισχιλίους ἐξ ἁπάσης ἡλικίας, ὁ,τι
περ τὸ ἀνθηρότατον.

κγ'. Εἶτα δεῖπνα ἐπὶ χρυσοῦ, (εὐτελὴς γὰρ ὁ ἄργυρος, καὶ οὐ
κατ' ἐμὲ) τάριχος μὲν ἐξ Ἰβηρίας, οἶνος δὲ ἐξ Ἰταλίας, ἔλαιον
δὲ ἐξ Ἰβηρίας καὶ τοῦτο, μέλι δὲ ἡμέτερον τὸ ἄπυρον, καὶ ὄψα

κά. Σισύριον) Σίσυρος γὰρ κατεδικάσθη ἐν ἅδου πέτρον μέγαν ἐπ' ὤμων φέρων ἀνιέναι ἐπὶ τὴν κορυφὴν ὄρους· ἀλλ' πλησίον τῆς κορυφῆς γενομένου, πάλιν ὁ πέτρος πιπτων ἀπὸ τῶν ὤμων κίνεται, καὶ ὁ Σίσυφος ἀναλαμβάνει αὐτὸν, καὶ τοῦτο διηνεκῶς.

3 Ὥσπερ τῷ Μίδᾳ) Οὗτος γὰρ εὐξατο πάνθ', ὅσα ταῖς χεσσὶ λαμβάνει, εἰς χρυσὸν μεταβάλλειν· οὕτως οὖν καὶ τοῦ βοώματος καὶ τοῦ ποτοῦ εἰς χρυσὸν μεταβάλλοντος, ἀποθανεῖν φασί.

κδ'. Οἷος ἁβρ.) Τὸ οἷος κατ' ἐπίτασιν κεῖται κατὰ τὸ ὡς, ὅτι, λίαν.

— Ἐφ' ὅσον) Ἐφ' ὅσον ἐστι δυνατόν, ἔσται ἥδιστος.

— Φίλων πρόσ.) Ἐν πᾶσιν ἐννοεῖται τὸ ὑπαρκτικὸν κατὰ τὴν χρείαν.

— Οἱ πάνυ) Οἱ ἔνδοξοι ἄνδρες. Τὸ γὰρ ἐπίῤῥημα ἐνάρθρως λεγόμενον ἀντὶ ἐπιθέτου κεῖται.

2 Βάρβαροι) Σύροι δηλαδὴ ἢ Μῆδοι· οὕτω γὰρ ἐκάλουν αὐτούς.

— Προσαραξάτωσαν ἐς τὸ μέτωπ.) Ἐν τῷ κλείειν δηλ. τὴν θύραν, τύψουσι δι' αὐτῆς τὸ μέτωπον αὐτῶν.

3. Τὴν ὥραν) Κατὰ τὴν ὥραν.

4. Ὅσον δισχ.) Ἕως δισχιλ. — Ὁ,τι περ τὸ ἀνθηρότ.) Τὸ ἄνθος ἁπάντων, τοὺς ἐλλεπστάτους.

κγ'. Ἐξ Ἰβηρ.) Τῆς κάτω δὲ Ἰβηρίας τῆς πρὸς τὰ Γάδειρα λέγει. Πολλὰ γὰρ ἐκεῖθεν ἰχθυηρὰ ταρίχη ἐκομίζετο, ἰχθυας φερούσης οὐ κατὰ τὴν ἄλλην Θάλασσαν, ἀλλὰ πολλῷ καὶ τῷ μεγέθει καὶ τῷ λίπει τοὺς ἄλλους παρευδοκιμούσας.

— Ἐξ Ἰταλ.) Ἐλαίεῖτο δὲ ὁ οἶνος οὗτος Φαλερνός.

— Μέλι ἡμέτ. τὸ ἄπυρ.) Ἐξ Ἀθηνῶν δὲ τὸ μέλι· ἄπυρον δὲ τὸ μὴ εἰς πῦρ τιθέν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πανταχόθεν, καὶ σῦς, καὶ λαγώς, καὶ ὅσα πτηνά, ὄρνις ἐκ Φάσιδος, καὶ ταὼς ἐξ Ἰνδίας, καὶ ἀλεκτρυὼν Νομαδικός· οἱ δὲ σκευάζοντες ἕκαστα, σοφισταί τινες, περὶ πέμματα καὶ χυμοὺς ἔχοντες. Εἰ δέ τινι προπίοιμι, σκύφον ἢ φιάλην αἰτήσας, ὁ ἐκ- 2
πιὼν ἀποφερέτω καὶ τὸ ἔκπωμα.

κδ'. Οἱ δὲ νῦν πλούσιοι πρὸς ἐμὲ Ἴροι καὶ προσαίται δηλαδὴ ἅπαντες. Καὶ οὐκ ἔτι τὸ ἀργυροῦν πινάκιον, ἢ τὸν σκύφον ἐπιδείξεται Διόνικος ἐν τῇ πομπῇ, καὶ μάλιστα ἐπειδὰν ὁρᾷ τοὺς οἰκέτας τοὺς ἐμοὺς ἀργύρῳ τοσούτῳ χρωμένους. Τῇ πόλει δὲ ταῦτα 2
παρ' ἐμοῦ ἐξαίρετα ὑπῆρξεν ἂν, αἱ μὲν διανομαὶ, κατὰ μῆνα ἕκαστον δραχμαὶ τῷ μὲν ἀστῷ ἑκατόν, τῷ δὲ μετοίκῳ ἥμισυ τούτων· δημόσια δὲ ἐς κάλλος θέατρα, καὶ βαλανεῖα· καὶ τὴν θάλατταν ἄχρι πρὸς τὸ Δίπυλον ἥκειν, κἀνταῦθά που λιμένα εἶναι, 3
ἐπαχθέντος ὀρύγματι μεγάλῳ τοῦ ὕδατος, ὡς τὸ πλοῖόν μου πλησίον ὁρμεῖν, καταφανὲς ὂν ἐκ τοῦ Κεραμεικοῦ.

κέ. Τοῖς φίλοις δὲ ὑμῖν, Σαμίππῳ μὲν εἴκοσι μεδίμνους ἐπισήμου χρυσίου παραμετρῆσαι τὸν οἰκονόμον ἐκέλευσα ἂν, Τιμολάῳ δὲ πέντε χοίνικας, Λυκίνῳ δὲ χοίνικα, ἀπομεμαγμένην καὶ ταύτην, ὅτι λαλος ἐστί, καὶ ἐπισκώπτει μου τὴν εὐχήν. Τοῦτον 2
ἐβουλόμην βιῶναι τὸν βίον, πλουτῶν ἐς ὑπερβολὴν, καὶ τρυφῶν, καὶ πάσαις ἡδοναῖς ἀφθόνως χρώμενος. Εἴρηκα. Καί μοι ὁ 3
Ἑρμῆς τελεσιουργήσειν αὐτά.

κς'. Λυκ. Οἶσθα οὖν, ὦ Ἀδείμαντε, ὡς πάνυ σοι ἀπὸ λεπτῆς κρόκης ὁ πᾶς οὗτοσὶ πλοῦτος ἀπήρτηται, καὶ ἂν ἐκείνη ἀπορράγῃ, πάντα σ'ᾠχεται, καὶ ἄνθρακές σοι ὁ θησαυρὸς ἔσται; —
Ἀδείμ. Πῶς λέγεις, ὦ Λυκίνε; — Λυκ. Ὅτι, ὦ ἄριστε, ἄδηλον 2
ὁπόσον χρόνον βιώσεις πλουτῶν. Τις γὰρ οἶδεν εἰ ἔτι παρακειμέ- 3
νης σοι τῆς χρυσῆς τραπέζης, πρὶν ἐπιβαλεῖν τὴν χεῖρα, καὶ ἀπογεύσασθαι τοῦ ταὼ, ἢ τοῦ Νομάδος ἀλεκτρυόνος, ἀπορυσήσας τὸ ψυχίδιον ἄπει, γυψὶ καὶ κόρακι πάντα ἐκεῖνα καταλιπών; Ἢ ἐθέ- 4
λεις καταριθμήσομαί σοι τοὺς μὲν αὐτίκα πρὶν ἀπολαῦσαι τοῦ πλούτου ἀποθανόντας, ἐνίους δὲ καὶ ζῶντας ἀποστερηθέντας ὧν

— Νομαδικ.) Ἐκ τῆς Νομάδων γῆς.

— Σοφισταί τινες . . ἔχοντ.) Τεχνῖται δηλ. ἐπιτήδειοι, καταγινόμενοι εἰς πέμματα καὶ χυμούς.

2. Προπίοιμί τινι) Πίνω εἰς ὑγείαν τινός. Ἐκεινη γὰρ ἡ Ἀττικὴ φράσις ταύτῃ καθ' ἡμᾶς κοινῇ ἀντεξετάζεται ἡ σύνταξις. Εἰ δὲ αἰτήσας σκύφ. ἢ φιάλην προπίοιμί τινι, οὗτος ἐκπιὼν, λαβέτω καὶ τὸ ἔκπωμα

κδ'. Πρὸς ἐμ.) Παραβαλλόμ. δηλ. ἔσονται.

2. Ὑπῆρξεν ἂν.) Ταῦτα δηλ. τῇ πόλει ἦν μοι κατὰ θυμὸν ἐξεστεῖν.

— Ἀστῷ) Ἀστοὺς λέγει τοὺς αὐτόχθονας Ἀθηναίους. Μέτοικοι δὲ ἐλέγοντο, ὅσοι ἐξ ἀλλοδαπῆς ἐλθόντες ᾤκησαν εἰς Ἀθήνας καὶ κατὰ τὸν νόμον ἐπολιτογράφησαν.

κέ. Ἀπομεμαγμέν.) Ἐλλειπῆ καὶ κατεξυσμένην καὶ αὐτὴν οὖσαν.

3. Τελεσιουργ.) Εἴθε εἰς πέρας ἀγάγοι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

5 εἶχον, ὑπό τινος βασκάνου πρὸς τὰ τοιαῦτα δαίμονος; Ἀκούεις γάρ που τὸν Κροῖσον καὶ τὸν Πολυκράτην, πολὺ σοῦ πλουσιωτέρους γενομένους, ἐκπεσόντας ἐν βραχεῖ τῶν ἀγαθῶν ἁπάντων;

κζ'. Ἵνα δέ σοι καὶ τούτους ἀρῶ, τό,τε ὑγιαίνειν ἐχέγγυον οἴει σοι γενήσεσθαι, καὶ βέβαιον; ἢ οὐχ ὁρᾷς πολλοὺς τῶν πλουσίων κακοδαιμόνως διάγοντας ὑπὸ τῶν ἀλγηδόνων, τοὺς μὲν οὐδὲ βαδίζειν δυναμένους, ἑνίους δὲ τυφλοὺς, ἢ τῶν ἐντοσθίων τι ἀλγοῦντας;
2 Ὅ τι μὲν γὰρ οὐκ ἂν ἔλοιο, πλουτῶν διὰ τοσοῦτον πλοῦτον, ὅμοια πάσχειν Φανομάχῳ τῷ πλουσίῳ, καὶ ζηλοῦσθαι ὡς ἐκεῖνος, εὖ
3 οἶδα κἂν μὴ εἴπῃς. Ἐῶ λέγειν ὅσας ἐπιβουλὰς οἶδα μετὰ τοῦ πλούτου, καὶ λῃστὰς, καὶ φθόνον, καὶ μῖσος παρὰ τῶν πολλῶν.
4 Ὁρᾷς οἵων σοι πραγμάτων αἴτιος ὁ θησαυρὸς γίγνεται; — Ἀδεῖν. Ἀεὶ σύ μοι, ὦ Λυκῖνε, ὑπεναντίος· ὥστε οὔτε τὴν γαυνικίδα
5 ἔτι λήψῃ, ἐς τέλος μου τῆς εὐχῆς ἐπηρεάζων. — Λυκ. Τοῦτο μὲν ἤδη κατὰ τοὺς πολλοὺς τῶν πλουσίων ἀναδύῃ, καὶ ἀνακαλεῖς τὴν ὑπόσχεσιν. Ἀλλὰ σὺ ἤδη, ὁ Σάμιππος, εὔχου.

κη. Σάμ. Ἐγὼ δὲ (ἠπειρώτης γὰρ εἰμι, Ἀρκὰς, ἐκ Μαντινείας, ὡς ἴστε) ναῦν μὲν οὐκ αἰτήσομαι γενέσθαι, ἣν γε τοῖς πολίταις ἐπιδείξασθαι ἀδύνατον, οὐδὲ μικρολογήσομαι πρὸς τοὺς θεοὺς θησαυρὸν αἰτῶν, καὶ μεμετρημένον χρυσίον· ἀλλὰ (δύνανται γὰρ ἅπαντα οἱ θεοὶ, καὶ τὰ μέγιστα εἶναι δοκοῦντα, καὶ ὁ νόμος τῆς εὐχῆς, ὃν Τιμόλαος ἔθηκε, φησὰς μηδὲν δεινεῖν αἰτεῖν, ὡς ἐκείνων πρὸς οὐδὲν ἀνανευόντων) αἰτῶ δὴ βασιλεὺς γενέσθαι, οὐχ οἷος Ἀλέξανδρος ὁ Φιλίππου, ἢ Πτολεμαῖος, ἢ Μιθριδάτης, ἢ εἴ τις
2 ἄλλος ἐκδεξάμενος τὴν βασιλείαν παρὰ πατρὸς, ἦρξεν· ἀλλὰ μοι τὸ πρῶτον ἀπὸ λῃστείας ἀρξαμένῳ, ἑταῖροι καὶ συνωμόται ὅσον τριάκοντα, πιστοὶ μάλα καὶ πρόθυμοι γενέσθωσαν· εἶτα κατ' ὀλίγον, τριακόσιοι προσιόντες ἡμῖν, ἄλλοι ἐπ' ἄλλους· εἶτα χίλιοι, καὶ μετ' οὐ πολὺ, μύριοι· καὶ τὸ πᾶν εἰς πέντε μυριάδας τὸ ὁπλιτικὸν, ἱππεῖς δὲ ἀμφὶ τοὺς πεντακισχιλίους.

κθ'. Ἐγὼ δὲ χειροτονητὸς ὑφ' ἁπάντων προκριθεὶς ἄρχων, ἄριστος εἶναι δόξας ἀνθρώπων ἡγεῖσθαι, καὶ πράγμασι χρῆσθαι.

κζ'. 5. Τὸν Κροῖσον καὶ Πολυκρ.) Περὶ ὧν Ἡρόδοτ. ἐν τῇ Α. ὁ μὲν γὰρ Κροῖσος Κύρῳ αἰχμάλωτος ἐγένετο. Πολυκράτης δὲ ὑπὸ Ὀρόντου, σατράπου Σάρδεων, συλληφθεὶς θάλαμ, ἀνεσταυρώθη. Ἦν δὲ Κροῖσος μὲν βασιλεὺς Λυδῶν πλουσιώτατος, Πολυκράτης δὲ Σαμίων τύραννος εὐδαιμονέστατος.

κζ'. 2. Πλουτῶν πλ.) Ἀττικῶς· ὡς ἐπιβαίνων δὲ ἡ σύνταξις.

4. Ἐς τέλος μου τῆς εὐχ. ἐπηρ.) Τὸ ἐπηρεάζω δοτικὴν ἀπαιτεῖ, ὅθεν ἐνταῦθα ἐνοεῖται τὸ μοι, ἐν ᾗ μέχρι τέλους ἐπηρεάζων μοι ἕνεκα τῆς εὐχῆς μου ταύτης. Ἄλλως γὰρ ἔδει τῇ εὐχῇ εἰπεῖν ἢ νοῦν· Ἐς τέλος μοι τῆς εὐχῆς ἐπηρεάζων.

κθ'. 2. Ἄλλοι ἐπ' ἄλλ.) Ἐρχόμενοι ὁμλ. πρὸς ἡμᾶς ἄλλοι μετ' ἄλλους.

— Καὶ τὸ πᾶν ὁμλ. τὸ ὁπλιτικὸν ἔστω ἑνὸς πεντήκοντα χιλιάδας.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ὡς τοῦτό γε αὐτὸ ἤδη μεῖζον εἶναι τῶν ἄλλων βασιλέων, ἅτε 2
ἀρετῇ προχειρισθέντα τῆς στρατιᾶς ἄρχειν, οὐ κληρονόμον γε-
νόμενον, ἄλλου πονήσαντος εἰς τὴν βασιλείαν. Ἐπεὶ τῷ Ἀδει-
μάντου θησαυρῷ παραπλήσιον τὸ τοιοῦτο, καὶ τὸ πρᾶγμα οὐχ 3
ἅμοιον ἡδύ, ὥσπερ ὅταν ἴδῃ τις αὐτὸς δι' αὐτοῦ κτησάμενος τὴν
δυναστείαν. — Λυκ. Παπαί, ὦ Σάμιππε, οὐδὲν μικρόν, ἀλλὰ 4
τὸ κεφάλαιον αὐτὸ τῶν ἀγαθῶν ἁπάντων σύγε ἤτησας, ἄρχειν
ἀσπίδος τοσαύτης, ἄριστος δὴ προκριθεὶς ὑπὸ τῶν πεντακισμυ-
ρίων. Τοιοῦτον ἡμῖν ἡ Μαντίνεια θαυμαστὸν βασιλέα καὶ 5
στρατηγὸν ἐλελήθει ἀνατρέφουσα. Πλὴν ἀλλὰ βασίλευε, καὶ 6
ἡγοῦ τῶν στρατιωτῶν, καὶ διακόσμει τό,τε ἱππικὸν, καὶ τοὺς
ἀνέρας τοὺς ἀσπιδώτας. Ἐθέλω γὰρ εἰδέναι οἷ βαδιεῖσθε το-
σοῦτοι ὄντες ἐξ Ἀρκαδίας, ἢ ἐπί τινας ἀθλίους πρώτους ἀφί-
ξεσθε.

λ'. Σάμ. Ἄκουε, ὦ Λυκῖνε, μᾶλλον δὲ, εἴ σοι φίλον, ἀκολούθει
μεθ' ἡμῶν, ἵππαρχον γάρ σε τῶν πεντακισχιλίων ἀποφανῶ. —
Λυκ. Ἀλλὰ τῆς μὲν τιμῆς, ὦ βασιλεῦ, χάριν οἶδά σοι, καὶ 2
ὑποκύψας ἐς τὸ Περσικὸν, προσκυνῶ σε περιαγαγὼν ἐς τοὐπίσω
τὼ χεῖρε, τιμῶν τὴν τιάραν ἀρθὴν οὖσαν, καὶ τὸ διάδημα· σὺ δὲ
τῶν ἐρρωμένων τούτων τινὰ ποίησον ἵππαρχον. Ἐγὼ γάρ σοι 3
δεινῶς ἄφιππός εἰμι, καὶ οὐδὲ ὅλως ἐπέβην ἵππου ἐν τῷ πρὸ τοῦ
χρόνῳ, δέδια τοίνυν μὴ τοῦ σαλπιγκτοῦ ἐποτρύνοντος, κατα- 4
πεσὼν ἔγωγε, συμπατηθῶ ἐν τῇ τύρβῃ ὑπὸ τοσαύταις ὁπλαῖς, ἢ
καὶ θυμοειδὴς ὁ ἵππος ὤν, ἐξενέγκῃ με, τὸν χαλινὸν ἐνδακών,
ἐς μέσους τοὺς πολεμίους, ἢ δεήσει καταδεδῆναί με πρὸς τὸ ἐφίπ-
πειον, εἰ μέλλω μένειν τε ἄνω, καὶ ἕξεσθαι τοῦ χαλινοῦ.

λά. Ἀδείμ. Ἐγώ σοι, ὦ Σάμιππε, ἡγήσομαι τῶν ἱππέων·
Λυκῖνος δὲ τὸ δεξιὸν κέρας ἐχέτω. Δίκαιος δ' ἂν εἴην τυχεῖν παρὰ 2
σοῦ τῶν μεγίστων, τοσούτοις σε μεδίμνοις δωρησάμενος ἐπισή-

κθ'. 2. Ὡς τοῦτό γε αὐτὸ μεῖζ.) Ὥστε τοῦτο δὴ αὐτὸ μεῖζον τῶν ἄλλων βασιλέων τὸ ἄρχειν με τῆς στρατιᾶς ὡς προχειρισθέντα δι' ἀρετήν.

3. Τὸ τοιοῦτο) Τὸ κληρονόμον γενέσθαι εἰς τὴν βασιλείαν, ἄλλου πονήσαντος.

— Οὐχ ὅμοιον ἡδ.) Οὐκ ἔχει τὴν αὐτὴν ἡδονὴν· ἣν ἔχει ὅταν καὶ τ.λ.

6. Ἀνέρας) Τοὺς ἀνδρας ποιητικώτερον ἐξέφερεν, ἐν' ἐμφαίνοιεν ἔχη ὁ λόγος· εἴληπται δὲ ἐκ τοῦ Ὁμ. Ἰλ. Β. στίχ. 554.

Κοσμήσαι ἵππους τε καὶ ἀνέρας ἀσπιδώτας.

Περὶ Νέστορος ῥαθέν.

λ'. 2. Ἐς τὸ Περσικ.) Κατὰ τὸ Περσικὸν ἔθος. Πέρσαι γὰρ προσεκύνουν, Ἕλληνες δ' οὐ· Εὐήπταται δὲ καὶ ταῦτα ἐκ τῶν Ξενοφ. Κύρ. Παιδ. Η'. γ'. ζ. ἔνθα περὶ ἐξελκασεως Κύρου εἰς θυσίαν διέξεισι Ξενοφ.

— Τῶν ἐρρωμέν.) Φησὶ γὰρ Ξενοφ. ὡς ἐκάλεσε Κύρος ἐν τῇ ἐξελάσει, οὓς μάλιστα ἔτιμα, καὶ ἠρώτα αὐτοὺς τινα.

3. Πρὸ τοῦ) Πρὸ τούτου ἀλλ.

4. Πρὸς τὸ ἐφίππειον) Τὸ ἐπιτιθέμενον τῷ ἵππῳ, ἐφ' οὗ ὁ ἐπιβάτης κάθηται ὁ νῦν καλεῖται σέλλα.

λά 2. Τοσούτοις σε μεδίμνοις) δωροῦμαί σε τούτῳ ἀρχαικῶς· καὶ δωροῦμαί σοι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μου χρυσίου. — Σάμ. Καὶ αὐτοὺς ἐρώμεθα, ὦ Ἀδείμαντε, τοὺς
3 ἱππέας, εἰ δέξονταί σε ἄρχοντα σφῶν γενέσθαι. Ὅτῳ δοκεῖ, ὦ ἱπ-
πεῖς, Ἀδείμαντον ἱππαρχεῖν, ἀνατεινάτω τὴν χεῖρα· πάντες, ὡς
4 ὁρᾷς, ὦ Ἀδείμαντε, ἐχειροτόνησαν. Ἀλλὰ σὺ μὲν ἄρχε τῆς ἵππου,
Λυκῖνος δὲ ἐχέτω τὸ δεξιόν· οὗτοσὶ δὲ Τιμόλαος ἐπὶ τοῦ εὐωνύμου
τετάξεται. Ἐγὼ δὲ κατὰ μέσον, ὡς νόμος βασιλεῦσι τῶν Περσῶν,
ἐπειδὰν αὐτοὶ συμπαρῶσι.

λδ'. Προίωμεν δὲ ἤδη τὴν ἐπὶ Κορίνθου διὰ τῆς ὀρεινῆς, ἐπευ-
2 ξάμενοι τῷ βασιλεῖ Διΐ. Κἀπειδὰν τὰ ἐν τῇ Ἑλλάδι πάντα χει-
ρωσώμεθα, (οὐδεὶς γὰρ ὁ ἐναντιωθησόμενος ἡμῖν τὰ ὅπλα τοσούτοις
οὖσιν, ἀλλ' ἀκοντὶ κρατοῦμεν) ἐπιβάντες ἐπὶ τὰς τριήρεις, καὶ
τοὺς ἵππους εἰς τὰς ἱππαγωγοὺς ἐμβιβάσαντες (παρεσκεύασται
δ' ἐν Κεγχρεαῖς καὶ σῖτος ἱκανός, καὶ τὰ πλοῖα διαρκῆ, καὶ τἄλλα
3 πάντα) διαβαλλώμεν τὸν Αἰγαῖον ἐς τὴν Ἰωνίαν. Εἶτα ἐκεῖ τῇ
Ἀρτέμιδι θύσαντες, καὶ τὰς πόλεις ἀτειχίστους λαβόντες ῥᾳδίως,
ἄρχοντας ἀπολιπόντες, προχωρώμεν ἐπὶ Συρίας διὰ Καρίας, εἶτα
Λυκίας, καὶ Παμφυλίας, καὶ Πισίδων, καὶ τῆς παραλίου καὶ ὀρει-
νῆς Κιλικίας, ἄχρις ἂν ἐπὶ τὸν Εὐφράτην ἀφικώμεθα.

λγ'. Λυκ. Ἐμέ, ὦ βασιλεῦ, εἰ δοκεῖ, Σατράπην τῆς Ἑλ-
λάδος κατέλιπε. Δεινὸς γάρ εἰμι, καὶ τῶν οἴκοι πολὺ ἀπελ-
2 θεῖν οὐκ ἂν ἠδέως ὑπομείναιμι· σὺ δὲ ἔοικας ἐπὶ Ἀρμενίους
καὶ Παρθυαίους ἐλάσειν, μάχιμα φύλα, καὶ τὴν τοξικὴν εὔ-
στοχα, ὥστε ἄλλῳ παραδοὺς τὸ δεξιόν, ἐμὲ Ἀντίπατρόν
τινα ἔασον ἐπὶ τῆς Ἑλλάδος, μή με καὶ διαπείρῃ τις ὀιστῷ,
ἄθλιον βαλὼν ἐς τὰ γυμνά, περὶ Σοῦσα ἢ Βάκτρα ἡγούμε-
3 νόν σοι τῆς φάλαγγος. — Σάμ. Ἀποδιδράσκεις, ὦ Λυκῖνε, τὸν
κατάλογον, δειλὸς ὤν. Ὁ δὲ νόμος ἀποτετμήσθαι τὴν κεφαλήν,
εἴτις λιπὼν φαίνοιτο τὴν τάξιν. Ἀλλ' ἐπεὶ κατὰ τὸν Εὐφρά-
4 την ἤδη ἐσμέν, καὶ ὁ ποταμὸς ἔζευκται, καὶ κατόπιν ὁπόσα

τοῦτο περιποιητικῶς. Συντάσσεται δὲ καὶ κατὰ τοὺς δύο τούτους τρόπους, ὡς ἂν τὰ τῆς ἐνοικίας ἀπαιτοῖς.

λδ'. Τὴν ἐπὶ Κορίνθ.) Ἄγουσαν ὁδὸν διὰ τῆς ὀρεινῆς γῆς ἡ ὁδοῦ.

2. Τὰ ὅπλα τοσούτ.) Κατὰ τὰ ὅπλα οὖσι δηλ. τοσούτοις ἐνόπλοις.

— Ἱππαγωγοὺς) Ναῦς.

— Διαβάλλωμεν τὸν Αἰγ.) Διέλθωμεν τὸν Αἰγαῖον πόντον, ἢ πλοῦν, ἢ τί τοιοῦτον ἀντὶ τὸ Αἰγαῖον πέλαγος. Αἰγεὺς γὰρ ὁ πατὴρ Θησέως ἀπογνοὺς τὴν ἀπὸ τῆς Κρήτης αὐτοῦ ἐπάνοδον, ἐρρίψεν ἑαυτὸν εἰς τὴν θάλασσαν· καὶ ἀπ' αὐτοῦ ἐκλήθη Αἰγαῖον τὸ πέλαγος.

3. Τῇ Ἀρτέμιδι θύσ.) Ἐν Ἰωνίᾳ γὰρ ἡ Ἔφεσος ἔνθα ὁ περίφημος ἐκεῖνος νεὼς τῆς Ἀρτέμιδος ἦν, τῶν ἑπτὰ θεαμάτων τὸ ἕν.

λγ'. 2. Ἀντιπατρόν τινα ἔασ.) Ἀλέξανδρος γὰρ περαιούμενος τὸν Ἑλλήσποντον, κατὰ τῶν Περσῶν στρατεύων, κατέλιπεν ἀνθ' ἑαυτοῦ ἐπὶ τῆς Εὐρώπης τὸν Ἀντίπατρον. Οὕτω δὴ καὶ τὰ ἑξῆς κατὰ τὴν Ἀλεξάνδρου εἰς Ἀσίαν ἐκστρατείαν ἐν παιδιᾷ ἐσχημάτισται, ἀπ' ἐκείνης τὴν ἀρχὴν ἔχοντα.

3. Ἀποδιδράσκεις τὸν κατάλ.) Παραιτῇ, ἀποφεύγεις τὴν ἐκλογήν, ἣν περὶ σοῦ ἐποιησάμην.

— Ὁ δὲ νόμος) Λέγει.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

διεληλύθαμεν ἀσφαλῶς ἡμῖν ἔχει, καὶ πάντα ὑπαρχοι κατέχουσιν, ὑπ' ἐμοῦ ἑκάστῳ ἔθνει ἐπεισαχθέντες, οἱ δὲ καὶ ἀπίασι, τὴν Φοινίκην ἡμῖν ἐν τοσούτῳ, καὶ τὴν Παλαιστίνην, εἶτα καὶ τὴν Αἴγυπτον προσαξόμενοι· σὺ πρῶτος, ὦ Λυκῖνε, διέθεινε, τὸ δεξιὸν ἄγων, εἶτα ἐγώ, καὶ μετ' ἐμὲ οὑτοσὶ Τιμόλαος. Ἐπὶ πᾶσι δὲ τὸ ἱππικὸν ἄγε σύ, ὦ Ἀθείμαντε. 5

λδ'. Καὶ διὰ μὲν τῆς Μεσοποταμίας οὐδεὶς ἀπήντηκεν ἡμῖν πολέμιος, ἀλλ' ἑκόντες αὐτούς τε καὶ τὰς ἀκροπόλεις ἄνθρωποι ἐνεχείρισαν, καὶ ἐπὶ Βαβυλῶνα ἐλθόντες ἀπροσδόκητοι παρήλθομεν εἰς τὸ ἔσω τῶν τειχῶν, καὶ ἔχομεν τὴν πόλιν. Ὁ βασιλεὺς δὲ περὶ Κτησιφῶντα διατρίβων, ἤκουσε τὴν ἔφοδον· εἶτα εἰς Σελεύκειαν παρελθών, παρασκευάζεται ἱππέας τε ὅτι πλείστους μεταπεμπόμενος, καὶ τοξότας, καὶ σφενδονήτας. Ἀπαγγέλλουσι δ' οὖν οἱ σκοποὶ ἀμφὶ τὰς ἑκατὸν ἤδη μυριάδας τοῦ μαχίμου συνειλέχθαι, καὶ τούτων εἴκοσιν ἱπποτοξότας· καὶ τοι οὔπω ὁ Ἀρμένιος πάρεστιν, οὔτε οἱ κατὰ τὴν Κασπίαν θάλατταν οἰκοῦντες, οὔτε οἱ ἀπὸ Βάκτρων, ἀλλ' ἐκ τῶν πλησίων καὶ προσταίων τῆς ἀρχῆς· οὕτω ῥαδίως τοσαύτας μυριάδας κατέλεξε. Καιρὸς οὖν ἤδη σκοπεῖν ἡμᾶς ὅ,τι χρὴ ποιεῖν. 2 3

λέ. Ἀθείμ. Ἀλλ' ἐγὼ μέν φημι δεῖν ὑμᾶς τὸ πεζὸν ἀπιέναι τὴν ἐπὶ Κτησιφῶντος, ἡμᾶς δὲ τὸ ἱππικὸν αὐτοῦ μένειν, τὴν Βαβυλῶνα διαφυλάξοντας. — Σάμ. Ἀποδειλιᾷς καὶ σύ, ὦ Ἀθείμαντε, πλησίον τοῦ κινδύνου γενόμενος. Σοὶ δὲ τί δοκεῖ, ὦ Τιμόλαε; — Τιμόλ. Ἀπάσῃ τῇ στρατιᾷ βαδίζειν ἐπὶ τοὺς πολεμίους, μηδὲ περιμένειν ἐς τ' ἂν ἄμεινον παρασκευάσωνται, πανταχόθεν αὐτοῖς συμμάχων προσγενομένων, ἀλλ' ἕως ἔτι κατ' ὁδὸν εἰσιν οἱ πολέμιοι, ἐπιχειρῶμεν αὐτοῖς. — Σάμ. Εὖ λέγεις· σὺ δὲ τί, ὦ Λυκῖνε, δοκιμάζεις; — Λυκ. Ἐγώ σοι φράσω. Ἐπειδὴ κεκμήκαμεν συντόνως ὁδεύοντες, ὁπότε κατήειμεν ἔωθεν ἐς τὸν Πειραιά, καὶ νῦν δὲ ἤδη τριάκοντά που σταδίους προκεχωρήκαμεν, καὶ ὁ ἥλιος πολύς, κατὰ μεσημβρίαν γὰρ ἤδη μάλιστα, ἐνταῦθα που ἐπὶ τὰς ἐλαίας ἐπὶ τῆς ἀναγεγραμμένης στήλης καθίσαντας ἀναπαύσασθαι, εἶτα οὕτως ἀναστάντας πορεύεσθαι, καὶ ἀνύειν τὸ λοιπὸν ἐς τὸ ἄστυ. — Σάμ. Ἔτι γὰρ Ἀθήνησιν, ὦ μακάριε, εἶναι δοκεῖς, ὃς ἀμφὶ Βαβυλῶνα ἐν τῷ πεδίῳ, πρὸ τῶν τειχῶν ἐν τοσούτοις στρατιώταις κάθησαι περὶ τοῦ πολέμου διασκοπούμενος; — Λυκ. Ὑπέμνη- 2 3 4 5 6 7

4. Οἱ δὲ) Ἄλλοι δὲ, τινὲς δέ.
λδ'. 3. Εἴκοσι) Μυριάδας δηλ.
λέ. 5. Ἐπὶ τῇ ἀναγεγραμμένῃ στήλ.) Δοκεῖ γὰρ στήλη τις οὖσα ὑπὸ τῇς ἐλαίας ἀνατετραμμένη· ἐφ' ἧς ἀναπαύεσθαι τοὺς φίλους παρεκάλει Λυκῖνος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σας· ἐγὼ δὲ νήφειν ᾤμην, καὶ σὺ παρὰ τὸ φανεῖσθαι τὴν γνώμην.

λς'. Σάμ. Πρόσιμεν δή, εἴ σοι δοκεῖ, καὶ ὅπως ἄνδρες ἀγαθοὶ ἐν τοῖς κινδύνοις ἔσεσθε, μηδὲ προδώσετε τὸ πάτριον φρόνημα· ἤδη γάρ που καὶ οἱ πολέμιοι ἐπιλαμβάνουσιν. Ὥστε τὸ
2 μὲν σύνθημα ἔστω, Ἐνυάλιος. Ὑμεῖς δὲ, ἐπειδὰν σημάνῃ ὁ σαλπιγκτὴς, ἀλαλάξαντες, καὶ τὰ δόρατα κρούσαντες πρὸς τὰς ἀσπίδας, ἐπείγεσθε συμμίξαι τοῖς ἐναντίοις, καὶ ἐντὸς γενέσθαι τῶν τοξευμάτων, ὡς μηδὲ πληγὰς λαμβάνωμεν, ἀκρο-
3 βολίζεσθαι αὐτοῖς διδόντες· καὶ ἐπειδὴ ἐς χεῖρας ἤδη συνελήλυθαμεν, τὸ μὲν εὐώνυμον, καὶ ὁ Τιμόλαος, ἐτρέψαντο τοὺς
4 καθ' αὑτοὺς, Μήδους ὄντας, τὸ δὲ κατ' ἐμὲ ἰσόπαλον ἔτι. Πέρσαι γὰρ εἰσι, καὶ ὁ βασιλεὺς ἐν αὐτοῖς· ἡ δὲ ἵππος ἅπασα τῶν βαρβάρων ἐπὶ τὸ δεξιὸν ἡμῶν ἐλαύνουσιν, ὥστε, ὦ Λυκῖνε, αὐτός τε ἀνὴρ ἀγαθὸς γίγνου, καὶ τοῖς μετὰ σαυτοῦ παρακελεύου δέχεσθαι τὴν ἐπέλασιν.

λζ'. Λυκ. Ὦ τῆς τύχης, ἐπ' ἐμὲ γὰρ οἱ ἱππεῖς ἅπαντες, καὶ μόνος ἐπιτήδειος αὐτοῖς ἔδοξα ἐπαλαύνεσθαι· καί μοι δοκῶ, ἣν βιάζωνται αὐτομολήσειν, προσδραμὼν ἐς τὴν παλαίστραν,
2 ἔτι πολεμοῦντας ὑμᾶς καταλιπών. — Σάμ. Μηδαμῶς. Κρατεῖς γὰρ αὐτῶν καὶ σὺ ἤδη τὸ μέρος· ἐγὼ δὲ ὡς ὁρᾷς, καὶ μονομαχήσω πρὸς τὸν βασιλέα, προκαλεῖται γάρ με, καὶ ἀ-
3 ναδῦναι πάντως αἰσχρόν. — Λυκ. Νὴ Δία, καὶ τετρώσῃ αὐτίκα μάλα πρὸς αὐτοῦ· βασιλικὸν γὰρ καὶ τὸ τρωθῆναι περὶ τῆς
4 ἀρχῆς μαχόμενον. — Σάμ. Εὖ λέγεις, ἐπιπόλαιον μέν μοι τὸ τραῦμα, καὶ οὐκ εἰς τὰ φανερὰ τοῦ σώματος· ὡς μηδὲ τὴν οὐλὴν ὕστερον ἄμορφον γενέσθαι· πλὴν ἀλλὰ ὁρᾷς ὅπως ἐπελάσας, μιᾷ πληγῇ αὐτόν τε καὶ τὸν ἵππον διέπειρα, τὴν λόγ-
5 χην ἀφεὶς; Εἶτα τὴν κεφαλὴν ἀποτεμὼν, καὶ ἀφελὼν τὸ διάδημα, βασιλεὺς ἤδη γέγονα, προσκυνούμενος ὑφ' ἁπάντων.

λη. Οἱ βάρβαροι προσκυνήσουσιν· ὑμῶν κατὰ τὸν Ἑλλή-

---

7. Καὶ σὺ παρὰ τὸ φαν.) Καὶ σὺ εἰ παρὰ τὸν καιρὸν τοῦ φανεῖσθαι τὴν γνώμην. Ἤτοι καιρὸς ἤδη σοι εἰπεῖν τὴν γνώμην. Ἄλλως γὰρ ἡμαρτημένον, καὶ δυσξύνετον δοκεῖ τὸ χωρίον.

λς'. Καὶ ὅπως) Ὑπακούεται, ὁρᾶτε, σκοπεῖτε· καὶ τὰ τούτοις παραπλήσια· ἐπὶ γὰρ τοῦ τροπολογικοῦ Ὅπως συνήθης ἡ ἔλλειψις αὐτῆς.

2. Τὸ σύνθημα) Ἔθος γὰρ ἦν, ὁπότε εἰς μάχην συμπλέκεσθαι ἔδει, λέξιν τινὰ ἢ φράσιν τοῖς στρατιώταις λέγειν, ᾗ χρώμενοι διακρίνουσι τοὺς πολεμίους· καὶ τοῦτο ἦν τὸ σύνθημα.

4. Δέχεσθαι τὴν ἐπέλ.) Στῆναι καὶ ἀπαντᾷν τοῖς ἐπελαύνουσι τοῖς ἵπποις, καὶ μὴ φεύγειν. Τῷ ἀφηρημένῳ γὰρ ἀντὶ τοῦ συγκεκριμένου ἐχρήσατο, τὴν ἐπέλασιν ἐπὶν ἀντὶ τοῦς ἐπελαύνοντας.

λζ'. 2. Καὶ ἀναδῦν.) Καὶ μὴ δεχθῆναι τὴν πρόκλησιν. Μεταφορικῶς ἀπὸ τοῦ ἀποδύεσθαι τὰ ἱμάτια εὐκίνητα· ὥσπερ καὶ τοὐναντίον τὸ ἐνδύεσθαι τὸν ἀγῶνα.

λη. Εἰς στρατηγ.) Καὶ οὐχὶ βασιλεύς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ων νόμον ἄρξω, εἷς στρατηγὸς ὀνομαζόμενος. Ἐπὶ τούτοις ἄ- 2
ρα ἐννοεῖτε ὅσας μὲν πόλεις ἐπωνύμους ἐμαυτοῦ οἰκιῶ, ὅσας
δὲ καὶ καθαιρήσω ἑλὼν κατὰ κράτος, αἳ ἂν ὑβρίσωσί τι ἐς
τὴν ἀρχήν· ἁπάντων δὲ μάλιστα Κυδίαν τὸν πλούσιον μετε-
λεύσομαι, ὃς ὅμορος ἤδη ὤν μοι, ἐξέωσε τοῦ ἀγροῦ, ἐπιβαί-
νων κατ' ὀλίγον ἐς τὸ εἴσω τῶν ὅρων.

λθ'. Λυκ. Πέπαυσο ἤδη, ὦ Σάμιππε, καιρὸς γάρ σε ἤδη
μὲν νενικηκότα τηλικαύτην μάχην, ἐν Βαβυλῶνι εὐωχεισθαι τὰ
ἐπινίκια, (ἐκστάδιος γάρ, οἶμαί σοι, ἡ ἀρχή) Τιμόλαον δὲ ἐν
τῷ μέρει εὔχεσθαι, ὅπερ ἂν ἐθέλῃ. — Σάμ. Τί δ' οὖν, ὦ Λυ- 2
κῖνε, οἷά σοι ἠτῆσθαι δοκῶ; — Λυκ. Παρὰ πολύ, ὦ θαυμα-
σιώτατε βασιλέων, ἐπιπονώτερα καὶ βιαιότερα τῶν Ἀδειμάντου,
παρ' ὅσον ἐκεῖνος μὲν ἐτρύφα, διτάλαντα χρύσεα ἐκπώ-
ματα προτείνων τοῖς συμπόταις, σὺ δὲ, καὶ ἐτιτρώσκου μο-
νομαχῶν, καὶ ἐδεδίεις, καὶ ἐφρόντιζες νύκτωρ, καὶ μεθ' ἡμέ-
ραν· οὐ μόνον γάρ σοι τὰ παρὰ τῶν πολεμίων φοβερὰ ἦν, ἀλ-
λὰ καὶ ἐπιβουλαὶ μυρίαι, καὶ φθόνος παρὰ τῶν συνόντων, καὶ
μῖσος, καὶ κολακεία, φίλος δὲ οὐδεὶς ἀληθής, ἀλλὰ πρὸς τὸ
θέος ἅπαντες, ἢ πρὸς τὴν ἐλπίδα εὔνοι δοκοῦντες εἶναι. Ἀπό- 3
λαυσις μέν γε, οὐδὲ ὄναρ τῶν ἡδέων, ἀλλὰ θόξα μόνον, καὶ
πορφυρίς χρυσῷ ποικίλη, καὶ ταινία λευκὴ περὶ τῷ μετώπῳ,
καὶ δορυφόροι προϊόντες. Τὰ δ' ἄλλα κάματος ἀφόρητος, καὶ 4
ἀηδία πολλή· καὶ ἢ χρηματίζειν τοῖς παρὰ τῶν πολεμίων ἥ-
κουσι δεῖ ἢ δικάζειν, ἢ καταπέμπειν τοῖς ὑπηκόοις ἐπιτάγμα-
τα. Καὶ ἤτοι ἀφέστηκέ τι ἔθνος, ἢ ἐπελαύνουσί τινες τῶν ἔξω 5
τῆς ἀρχῆς. Δεδιέναι οὖν δεῖ πάντα, καὶ ὑφορᾶσθαι. Καὶ ὅ-
λως ὑπὸ πάντων μᾶλλον ἢ ὑπὸ σεαυτοῦ εὐδαιμονίζεσθαι.

μ'. Καὶ γὰρ οὖν καὶ τόδε πῶς οὐ ταπεινὸν, ὅτι καὶ νοσεῖς
τὰ ὅμοια τοῖς ἰδιώταις, καὶ ὁ πυρετὸς οὐ διαγιγνώσκει σε βασι-
λέα ὄντα· οὐδὲ ὁ θάνατος δέδιε τοὺς δορυφόρους, ἀλλ' ἐπιστάς,

---

ὡς ἦν ἔθος ἐν Ἀθήναις· οὕτω γὰρ καὶ Ἀλέξανδρος στρατηγὸς Ἑλλήνων ὠνομάζετο.

2. Κυδίαν . . . μετελ.) Ἐκδικήσομαι, ἢ ἀποκτεινῶ.

λθ'. Ἐκστάδιος γὰρ) Ἐντὸς τῶν ἐπιβαλόντων σοι σταδίων κατὰ τὴν ἐξ ἀρχῆς συνθήκην· συνεθέντο γὰρ τετραχῇ διελεῖν τὴν ὁδὸν καὶ αἱτεῖν ἕκαστον κατὰ τοὺς ἐπιβάλλοντας αὐτῷ σταδίους. ιϛ'.

— Τιμόλαον δὲ) Καιρὸς ἤδη ἐστὶ Τιμόλαον.

2. Οἷα σοι ἠτῆσθαι δοκῶ) Πῶς δοκεῖ σοι ταῦτα, ἃ ἠτησάμην.

— Παρ' ὅσον) Καθ' ὅ,τι, ἐπειδή. Εὐηπται διὰ τὸ παρὰ πολὺ ἀνάλογος γὰρ ἡ παρὰ εἰς ἀπόδοσιν.

— Νύκτωρ καὶ μεθ' ἡμέραν) Οὕτως εἴθισται τοῖς Ἀττικίζουσι τὸ μὲν, ἐπιρρηματικῶς, τὸ δὲ, προθετοπτώτως λέγειν, καὶ ἔστιν ἰδίωμα Ἑλληνισμοῦ.

3. Οὐδὲ ὄναρ) Οὐδὲ κατ' ὄναρ οὐκ ἦν ἐν τῇ εὐχῇ ἀπόλαυσις τῶν ἡδ.

— Ταινία λευκὴ) Τοῦτο ἦν, ὅπερ ἐκαλεῖτο διάδημα, βασιλικὸν σημεῖον.

4. Καταπέμπ.) ἡ κατὰ κακότητα ἐνιοῖ ἐνταῦθα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁπόταν αὐτῷ δοκεῖ, ἄγει οἰμώζοντα· οὐκ αἰδούμενος τὸ διάδημα,
2 Σὺ δὲ ὁ οὕτως ὑψηλὸς καταπεσών, ἀνάσπαστος ἐκ τοῦ βασιλείου θρόνου τὴν αὐτὴν ὁδὸν ἄπει, τοῖς πολλοῖς ἰσότιμος, ἐλαυνόμενος ἐν τῇ ἀγέλῃ τῶν νεκρῶν, χῶμα ὑψηλὸν ὑπὲρ γῆς, καὶ στήλην μακράν, ἢ πυραμίδα εὔγραμμον τὰς γωνίας ἀπολιπών, ἐκπρόθεσμα καὶ ἀνεπαίσθητα φιλοτιμήματα· εἰκόνες δὲ ἐκεῖναι, καὶ νεώς, οὓς ἀνιστᾶσιν αἱ πόλεις θεραπεύουσαι, καὶ τὸ μέγα ὄ-
3 νομα, πάντα κατ' ὀλίγον ἀπορρεῖ, καὶ ἄπεισιν ἀμελούμενα. Ἦν δὲ καὶ ὅτι μάλιστα ἐπὶ πλείστον παραμείνῃ, τίς ἔτι ἀπόλυσις
4 ἀνατιθήτῳ αὐτῶν γενομένῳ; Ὁρᾷς οἷα μὲν ζῶν ἔτι ἔξεις πράγματα δεδιώς, καὶ φροντίζων, καὶ κάμνων, οἷα δὲ καὶ μετὰ τὴν ἀπαλλαγὴν ἔσται.

μά. Ἀλλ' ἤδη σὸν αἰτεῖν, ὦ Τιμόλαε, καὶ ὅπως ὑπερβάλῃ τούτους, ὥσπερ εἰκὸς ἄνδρα συνετόν, καὶ πράγμασι χρήσθαι
2 εἰδότα. — Τιμ. Σκόπει γοῦν, ὦ Λυκίνε, εἴ τι ἐπιλήψιμον εὕρῃς, καὶ ὅ,τι ἂν εὐδύνατος τῆς δυνήσεῃ. Χρυσὸν μὲν οὖν, καὶ θησαυροὺς, καὶ μεθίμνους νομίσματος, ἢ βασιλείας, καὶ πολέμους, καὶ δείματα ὑπὲρ τῆς ἀρχῆς, ἃ εἰκότως διέβαλες, οὐκ αἰτήσομαι· ἀδέβαια γὰρ ταῦτά γε, καὶ πολλὰς τὰς ἐπιβουλὰς ἔχοντα, καὶ πλέον τοῦ ἡδέος τὸ ἀνιαρὸν ἐν αὐτοῖς ἦν.

μβ'. Ἐγὼ δὲ βούλομαι τὸν Ἑρμῆν ἐντυχόντα μοι δοῦναί τινας δακτυλίους τοιούτους τὴν δύναμιν, ἕνα μὲν, ὥστε ἀεὶ ἐρρῶσθαι καὶ ὑγιαίνειν τὸ σῶμα, καὶ ἄτρωτον εἶναι, καὶ ἀπαθῆ ἕτερον δὲ, ὡς μὴ ὁρᾶσθαι τὸν περιθέμενον, οἷος ἦν ὁ τοῦ Γύγου· τὸν δὲ τινα, ὡς ἰσχύειν ὑπὲρ ἄνδρας μυρίους, καὶ ὅ,τι ἂν ἄχθος ἅμα μυρίοι κινῆσαι μόλις δύνανται, τοῦτό με ῥᾳδίως μόνον ἀνατίθεσθαι· ἔτι δὲ καὶ πέτεσθαι, πολὺ ἀπὸ τῆς γῆς ἀρθέντα· καὶ πρὸς τούτοις μοι εἶναι δακτύλιόν τινα, καὶ μὴν καὶ ἐς ὕπνον καταστῆσαι, ὁπόταν ἂν ἐθέλω, καὶ ἅπασαν θύραν προσιόντι μοι ἀνοίγεσθαι, χαλκῆ-

---

μί. 2. Εὔγραμμον τὰς γωνίας) Κατὰ τὰς γωνίας. Γεγραμμένην, ἤγουν ἐξεσμένην ἐπιπεδείως κατὰ τὰς γωνίας.

— Ἐκπρόθεσμα) Ἔξω τῆς προθεσμίας καὶ τοῦ σκοποῦ.

— Καὶ νεώς) Ἀττικῶς, καὶ ναὸς δὲ κοινῶς· τὴν γὰρ φωνὴν παραλήγουσαν συστέλλουσι οἱ Ἀττικοί, καὶ τὴν κάμνουσαν ἐκτείνουσι· τὰ εἰς ος παρεδόκασιν ὀνόματα· οἷον νοῦς, νεώς, λοιὸς λοιός.

3. Καὶ ὅτι μάλιστα ἐπὶ πλείστον) Ἐπίτασις ὑπερβολικὴ τοῦ, ὅ,τι μάλιστα, καὶ τὸ ὅτι ἐπιτατικὸν· δηλοῖ δὲ ὅτι, ὅσον πλεῖστον χρόνον καὶ ἂν παραμείνῃ ταῦτα, ὅμοιος οὐδέν.

μα. Καὶ ὅπως) Καὶ ὅρα, σκόπει ὅπως· ὅρα ἰδ'.

2. Ἐπιλήψιμον) Μομφὴν ἄξιον.

μβ'. Δακτυλίους) Περὶ τούτου τοῦ δακτυλίου καὶ Πλάτων Πολιτεια. β'. καὶ Λουκιανὸς Φιλοψευδ. ιζ'. κδ'.

— Ὁ τοῦ Γύγου) Δακτύλιος δηλ. περὶ οὗ φασιν ὅτι τοιοῦτον εἶχε δύναμιν, ὥστε, στρεφόμενος τῆς σφενδόνης, ἀόρατον γίνεσθαι τὸν φοροῦντα· τοῦτον φασὶ Πλάτων ὁ Γύγης, λύβαντος εἰσελθὼν εἰς τὴν οἰκίαν του τότε βασιλεύοντος, καὶ κτείνας, ἐδασιλεύσεν ἀντ' αὐτοῦ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νου τοῦ κλείθρου, καὶ τοῦ μοχλοῦ ἀφαιρουμένου. Ταῦτα ἀμφότερα εἷς δακτύλιος δυνάσθω.

μγ'. Τὸ δὲ μέγιστον ἄλλος τις ἔστω ἐπὶ πᾶσιν ὁ ἥδιστος, ὡς ἐράσμιον εἶναί με, περιδέμενον, παισὶ τοῖς ὡραίοις, καὶ γυναιξί, καὶ δήμοις ὅλοις, καὶ μηδένα εἶναι ἀνέραστον, καὶ ὅτῳ μὴ πο-
θεινότατος ἐγώ, καὶ ἀνὰ στόμα· ὥστε πολλὰς γυναῖκας οὐ φε- 2
ρούσας τὸν ἔρωτα, καὶ ἀναρτᾶν ἑαυτάς, καὶ τὰ μειράκια ἐπιμεμηνέναι μοι, καὶ εὐδαίμονα εἶναι δοκεῖν, εἴ τινα καὶ μόνον προσβλέψαιμι αὐτῶν, εἰ δ' ὑπερορῴην, κἀκεῖνα ὑπὸ λύπης ἀπολλύσθω· καὶ ὅλως ὑπὲρ τὸν Ὑάκινθον, ἢ Ὕλαν, ἢ Φάωνα τὸν Χῖον εἶναί με.

μδ'. Καὶ ταῦτα πάντα ἔχειν, μὴ ὀλιγοχρόνιον ὄντα, μηδὲ κατὰ μέτρον ζῶντα τῆς ἀνθρωπίνης βιοτῆς, ἀλλ' ἔτη χίλια, νέον ἐκ νέου γιγνόμενον διαδιδόναι, ἀμφὶ τὰ ἑπτακαιδέκα ἔτη ἀεὶ ἀποδυόμενον τὸ γῆρας, ὥσπερ οἱ ὄρεις. Οὐδὲν γὰρ δείσει με ταῦτα 2
ἔχοντα· πάντα γὰρ ἐμὰ ἦν ἀν τὰ τῶν ἄλλων, ἐς ὅσον ἀνοίγειν τε τὰς θύρας ἐδυνάμην, καὶ κοιμίζειν τοὺς φύλακας, καὶ ἀθάνατος εἶναι οἰκοῦν. Εἰ δέ τι ἐν Ἰνδοῖς, ἢ Ὑπερβορέοις θέαμα παρά-
δοξον, ἢ κτῆμα χρήσιμον, ἢ ὅσα ἐμφαγεῖν ἢ πιεῖν ἥδιστα, οὐ μεταστελλόμενος, ἀλλ' αὐτὸς ἐπιπετόμενος, ἀπέλαυον ἁπάντων ἐς κόρον. Καὶ ἐπεὶ γρῦψ, ὑπόπτερον θηρίον, ἢ φοινιξ, ὄρνεον ἐν Ἰνδοῖς 4
ἀθάνατον τοῖς ἄλλοις, ἐγὼ δὲ καὶ τοῦτο ἑώρων ἄν, καὶ τὰς πηγὰς δὲ τὰς Νείλου μόνος ἂν ἐπιστάμην, καὶ ὅσον τῆς γῆς ἀοίκητον, καὶ εἴ τινες ἀντίποδες ἡμῖν οἰκοῦσι, τὸ νότιον τῆς γῆς ἡμίτομον ἔχοντες. Ἔτι δὲ καὶ ἀστέρων φύσιν, καὶ σελήνης, καὶ αὐτοῦ ἡλίου, ῥᾴδιως 5
ἂν ἔγνων, ἀπαθὴς ὢν τῷ πυρί. Καὶ τὸ τῶν πάντων ἥδιστον, αὐθημερὸν ἀγγεῖλαι ἐς Βαβυλῶνα τὶς ἐνίκησεν Ὀλύμπια· καὶ ἀριστήσαντα, εἰ τύχοι, ἐν Συρίᾳ, δειπνῆσαι ἐν Ἰταλίᾳ, εἰ δέ τις ἐχθρὸς εἴη, ἀμύνασθαι καὶ τοῦτον ἐκ τοῦ ἀρανοῦς, πέτρον ἐμβαλόντα τῇ κεφαλῇ, ὡς ἐπιστετρίφθαι τὸ κρανίον. Τούς τε αὖ φί- 6
λους εὖ ποιεῖν, ἐπιχέαντα κοιμωμένοις αὐτοῖς τὸ χρυσίον. Καὶ

μγ'. Ἄλλος τις) Δακτύλιος ὅλ.

— Καὶ ὅτῳ) Καὶ μηδένα εἶναι ᾧ μὴ ποθ. Τὸ δὲ ὅτῳ ἀντὶ τοῦ ᾧ Ἀττικῶς· τέσσαρα δὲ ταῦτα ὅτου, ὅτῳ, ἀντὶ τῶν, οὗ, ᾧ, καὶ ὅτων, ὅτοις, ἀντὶ τῶν, ὧνῳδῆς· τὸ δὲ τοι ὅτοις σπανιώτατον.

— Καὶ ἀνὰ στόμ.) Καὶ οὐκ εἰμὶ ἐν τῷ στόματι αὐτῶν ἐπαινούμενος.

— Ὑπὲρ τὸν Ὑάκ. ἢ Ὕλ. ἢ Φάων. τὸν Χ.) Οὗτοι οἱ κάλλιστοι τῶν ὅσοι ἐγένοντο πώποτε· ὅθεν καὶ Ὑακίνθου μὲν ἦρα Ἀπόλλων, ὃν καὶ δισκεύων ἀπέκτεινε. Ὕλου δὲ Ἡρακλῆς, ὃν μί Νύμφαι ἥρπασαν μετὰ τῶν Ἀργοναυτῶν ἐπὶ τὸ χρυσοῦν δέρας πορευόμενον. Φάωνος δὲ ἢ Σαπφώ, ἢ ἐν τοῖς ἰδίοις ἔπεσιν, ὅσον αὐτῆς ἦν τὸ πρὸς αὐτὸν πάθος μέγα, ἐπιδεξαμένη.

μδ'. Ὥσπερ οἱ ὄρεις) Οἱ γὰρ ὄρεις κατ' ἐνιαυτὸν ἀλλάσσουσι τὸ παλαιὸν αὐτῶν δέρμα ἀνανεούμενοι· ὡς ἐστιν εὑρεῖν, ἔνθα ὄρεις εἰσί, πολλὰ ὄρεων δέρματα.

2. Ταῦτα ἔχοντα) Τοὺς δακτυλίους ὅλ. τούτους ὡς ἡτταμένους.

4. Καὶ τοῦτο) Τὸ ὄρνεον τὸν Φοίνικα ὅλ. περὶ οὗ Ἡροδ. Β'. αγ'.

5. Αὐθημερὸν ἀγγεῖλαι) Νοηθείτω τὸ Βαβυλῶνα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὴν εἴ τις ὑπερόπτης εἴη, ἢ τύραννος πλούσιος ὑβριστής, ἀρά-
μενος αὐτὸν ὅσον ἐπὶ σταδίους εἴκοσιν, ἀφῆκα φέρεσθαι κατὰ τῶν
7 κρημνῶν. Τοῖς παιδικοῖς δὲ ὁμιλεῖν ἀκολύτως ἂν ἐξῇ, εἰσιόντα
ἀθέατον, κοιμήσαντα ἅπαντας, ἄνευ ἐκείνων μόνων. Οἷον δὲ κά-
κεῖνο ἦν, τοὺς πολεμοῦντας ἐπισκοπεῖν ἔξω βέλους ὑπεραιωρού-
μενον; καὶ εἰ δόξειέ μοι προσθέμενος ἂν τοῖς ἡττημένοις, κοιμίσας
τοὺς κρατοῦντας, νικᾶν παρεῖχον τοῖς φεύγουσιν, ἀναστρέψασιν
8 ἀπὸ τῆς τροπῆς. Καὶ τὸ ὅλον, παιδιὰν ἐποιούμην ἂν τὸν τῶν ἀν-
θρώπων βίον, καὶ πάντα ἐμὰ ἦν, καὶ θεὸς ἐδόκουν τοῖς ἄλλοις.
9 Τοῦτο ἡ ἄκρα εὐδαιμονία ἐστί, μήτε ἀπολέσθαι, μήτε ἐπιβου-
λευθῆναι δυναμένη, καὶ μάλιστα μεθ' ὑγείας ἐν μακρῷ τῷ βίῳ.

με. Τί ἂν αἰτιάσαιο, ὦ Λυκῖνε, τῆς εὐχῆς; — Λυκ. Οὐδέν,
ὦ Τιμόλαε· οὐδὲ γὰρ ἀσφαλὲς ἐναντιοῦσθαι ἀνδρὶ πτηνῷ, καὶ ὑ-
πὲρ μυρίους τὴν ἰσχύν· πλὴν ἀλλὰ ἐκεῖνο ἐρήσομαί σοι, εἴ τινα ἄλ-
λον εἶδες ἐν τοιούτοις ἔθνεσιν, ὅσα ὑπερέπτης, γέροντα ἤδη ἄνδρα,
οὕτω παρακεκινηκότα τὴν γνώμην, ἐπὶ δακτυλίου μικροῦ ἐχού-
μενον, ὅρη ὅλα κινεῖν ἄκρῳ τῷ δακτύλῳ δυνάμενον, ἐπέραστον
2 πᾶσι, καὶ ταῦτα φαλακρὸν ὄντα, καὶ τὴν ῥῖνα σιμόν; Ἀτὰρ εἰπέ
μοι καὶ τόδε, τί δήποτε οὐχ εἷς δακτύλιος ἅπαντα ταῦτα δύ-
ναταί σοι, ἀλλὰ τοσούτους περιημμένος βαδίᾳ, τὴν ἀριστερὰν
πεφορτισμένος κατὰ δάκτυλον ἕνα; μᾶλλον δὲ ὑπερπαίει ὁ ἀριθ-
3 μός, καὶ δεήσει καὶ τὴν δεξιὰν συνεπιλαβεῖν. Καί τοι ἑνὸς τοῦ
ἀναγκαιοτάτου προσδεῖ, ὃς περιθέμενόν σε παύσει μωραίνοντα, τὴν
4 πολλὴν ταύτην κόρυζαν ἀποξύσας. Ἢ τοῦτο μὲν καὶ ὁ ἐλλέβορος
ἱκανὸς ποιῆσαι, ζωρότερος ποθείς.

μς'. Τιμ. Ἀλλὰ πάντως, ὦ Λυκῖνε, καὶ αὐτὸς εὔξῃ τι ἤδη
ποτέ, ὡς ἂν μάθωμεν οἷα αἰτήσεις ἀνεπίληπτα καὶ ἀνέγκλητα,
2 ὁ συκοφαντῶν τοὺς ἄλλους. — Λυκ. Ἀλλ' οὐ δέομαι εὐχῆς ἐγώ.
Ἥκομεν γὰρ ἤδη πρὸς τὸ Δίπυλον, καὶ ὁ βέλτιστος οὑτοσὶ Σάμ-
μιππος, ἀμφὶ Βαβυλῶνα μονομαχῶν, καὶ σύ, ὦ Τιμόλαε, ἀρι-
στῶν μὲν ἐν Συρίᾳ, δειπνῶν δὲ ἐν Ἰταλίᾳ, καὶ τοῖς ἐμοὶ ἐπιβάλ-
3 λουσι καὶ σταδίοις κατεχρήσασθε, καλῶς ποιοῦντες· ἄλλως τε
οὐκ ἂν δεξαίμην πλουτήσας ἐπ' ὀλίγον, ὑπηνεμίου τινα πλοῦτον,

---

7. Ἂν ἐξῇ) Εἴη ἂν δυνατόν.

— Οἷον δὲ κἀκεῖν.) Μέγα δὲ καὶ ἐκεῖνο ἦν τὸ ἐπισκοπεῖν.

με. 2. Παρακεκινηκότα τὴν γνώμην.) Οἷον μωραίνοντα.

2. Τῆς ἀριστερὰν περορτισμένος) Ἐπὶ γὰρ τῆς ἀριστερᾶς δακτυλιοφοροῦσι.

3. Τὴν πολλὴν ταύτην κόρυζαν) Κατὰ μεταφορὰν τὴν ἀηδίαν σημαίνει· τὸ γὰρ ἐκ τῆς ῥινὸς ῥέον ἡ κόρυζα, ἀηδίας πρόξενον.

4. Ὁ ἐλέβορ.) Χόρτος πικρὸς, ὃν πίνοντες οἱ μαινόμενοι, θεραπείαν τινὰ τοῦ πάθους εὕρισκον.

μς'. 3. Πολλὴν τὴν μάζαν) Χωρὶς ὄψου τινὸς προσφαγίου.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀνιαθῆναι μετ' ὀλίγον ψιλὴν τὴν μάζαν ἐσθίων, οἷα ὑμεῖς πείσεσθε μετ' ὀλίγον, ἐπειδὰν ἡ εὐδαιμονία μὲν ὑμῖν, καὶ ὁ πολὺς πλοῦτος οἴχηται ἀποπτάμενος· αὐτοὶ δὲ καταδάντες ἀπὸ τῶν θησαυρῶν τε καὶ διαδημάτων, ὥσπερ ἐξ ἡδίστου ὀνείρατος ἀνεγρόμενοι, ἀνόμοια τὰ ἐπὶ τῆς οἰκίας εὑρίσκετε· ὥσπερ οἱ τοὺς βα- 4
σιλεῖς ὑποκρινόμενοι τραγῳδοί, ἐξελθόντες ἀπὸ τοῦ θεάτρου, λιμώττοντες οἱ πολλοί, καὶ ταῦτα πρὸ ὀλίγου Ἀγαμέμνονες ὄντες ἢ Κρέοντες. Λυπήσεσθε οὖν, ὡς τὸ εἰκός, καὶ δυσάρεστοι ἔσεσθε τὰ ἐπὶ τῆς οἰκίας, καὶ μάλιστα σύ, ὦ Τιμόλαε, ὁπόταν δέῃ σε τὸ αὐτὸ παθεῖν τῷ Ἰκάρῳ τῆς πτερώσεως διαλυθείσης, κατα- 5
πεσόντα ἐκ τοῦ οὐρανοῦ χαμαὶ βαθίζειν, ἀπολέσαντα τοὺς δακτυλίους ἐκείνους ἅπαντας ἀποῤῥυέντας τῶν δακτύλων. Ἐμοὶ δὲ 6
καὶ τοῦτο ἱκανόν, ἀντὶ πάντων θησαυρῶν, καὶ Βαβυλῶνος αὐτῆς, τὸ γελάσαι μάλα ἡδέως ἐφ' οἷς ὑμεῖς ἠτήσατε, τοιούτοις οὖσι, καὶ ταῦτα φιλοσοφίαν ἐπαινοῦντες.

Η'. ΝΙΓΡΙΝΟΣ Η ΠΕΡΙ ΦΙΛΟΣΟΦΟΥ ΗΘΟΥΣ. (*)

Ἑταῖρος, Λουκιανός.

ἀ. Ἑταῖρ. Ὡς σεμνὸς ἡμῖν σφόδρα, καὶ μετέωρος ἐπανελήλυθας; Οὐ τοίνυν προσδλέπειν ἡμᾶς ἔτι ἀξιοῖς, οὐδ' ὁμιλίας με ταδίδως, οὔτε κοινωνεῖς τῶν ἐμοίων λόγων, ἀλλ' ἄφνω μεταδέδληκας, καὶ ὅλως ὑπεροπτικῷ τινι ἔοικας; ἡδέως δ' ἂν παρὰ σοῦ 2
πυθοίμην, ὅθεν οὕτως ἀτόπως ἔχεις, καὶ τί τούτων αἴτιον; — Λουκ. Τί γὰρ ἄλλο γε, ὦ ἑταῖρε, ἢ εὐτυχία; — Ἑταῖρ. Πῶς λέγεις; —

---

4. Καὶ ταῦτα) Πάσχουσιν, ὄντες πρὸ ὀλίγου Ἀγαμέμνονες ἢ Κρέοντες.

5. τῷ Ἰκάρῳ) Δαιδάλου γὰρ ἐν Λαβυρίνθῳ, ὃν αὐτὸς κατεσκεύασε, μετὰ τοῦ υἱοῦ Ἰκάρου παρὰ Μίνωος τοῦ βασιλεύοντος Κρήτης εἰρχθεὶς, πτέρυγας ἑαυτῷ τε καὶ τῷ υἱῷ ἐτήξατο, κηρῷ κολλήσας. Ἴκαρος δὲ, ἅτε πιτὴς, ὑπὲρ τὸ δέον ὑψωθεὶς, τοῦ κηροῦ τακέντος, ἔπεσεν εἰς τὴν θάλασσαν τὴν παρ' αὐτοῦ καλουμένην Ἰκαρίαν.

6. Καὶ ταῦτα) Αἰτεῖτε.

(*) Νιγρῖνος ἐκιγέγραπται ὁ διάλογος οὗτος, ὅτι Νιγρῖνόν τινα Ῥωμαῖον φιλόσοφον Πλατωνικὸν ὑποτίθησι τὰς ἐν αὐτῷ καλὰς ὑποθήκας λέγοντα, ἀπὸ τῆς Ἑλλάδος ἐπιστρέψαντα εἰς Ῥώμην· πρὸς ὃν καὶ ἐπιστολὴν ἔγραψε, πέμψας τὸν λόγον τοῦτον. Περὶ δὲ φιλοσόφου ἤθους· ἐπειδὴ περὶ ἠθῶν ὑποτίθησιν ἀληθοῦς φιλοσόφου ἀνδρὸς ἰδίων, ὡς οὐκ ἄντις ἄλλος. Ταῦτά τοι καὶ ἕκαστος οὐ μόνον τῶν τῷ φιλόσοφος ὀνόματι σεμνύνεσθαι ἐρεμένων, ἀλλὰ καὶ τῶν τῷ ἀνθρώπος καλεῖσθαι, μὴ αἰσχυνομένους τῷ ὀνόματι, τὰς ὑποθήκας ταύτας ἐν βαθεῖ καρδίας ἐγγράφει ἀρεῖσουσιν.

ἀ. Ὡς σεμνὸς) Τὸ Ὡς θαυμαστικὸν μετ' ἐπιτάσεως.

— Τῶν ὁμοίων λόγων) Ὁμοίους λόγους ἐνταῦθα λέγει τοὺς ὁμοίας ἐλευθερίας καὶ καταστάσεως πανταχόσε ἐχομένους.

— Ὑπεροπτικῷ) Σύνηθες τοῖς Ἕλλησι τὰ ἀπευκταῖα διὰ τοῦ Ἔοικα κολάζειν· ἀντὶ γὰρ τοῦ εἰπεῖν Ὑπεροπτικὸς εἶ, φησίν, ὑπεροπτικῷ τινι ἔοικας.

2. Ἡδέως δ' ἂν... πυθοίμην) Καὶ τοῦτο τρόπος τοῦ λέγειν παρ' ἡμῖν δὲ τὸ τοιοῦτον ἐνῤῥάζεται παρακαλῶ, εἰπέ μοι, ὅθεν καὶ τλ.

— Καὶ τί) Ἐλλείπει, ἐστί.

— Τί γὰρ ἄλλο) Καὶ τί ἄλλο ἐστὶ τὸ αἴτιον, ὦ ἑταῖρε, ἢ εὐτυχία· ἔνθα ὁ Γὰρ ἑτοιμότητά τινα δηλοῖ, περιττὴς κείμενος ἀλλοῦ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

3 Λουκ. Ὁδοῦ πάρεργον ἥκω σοι εὐδαίμων τε καὶ μακάριος γεγενημένος, καὶ τοῦτο δὴ τὸ ἀπὸ τῆς σκηνῆς ὄνομα, τριστόλβιος. — Ἑταῖρ. Ἡράκλεις, οὕτως ἐν βραχεῖ; — Λουκ. Καὶ μάλα. —
4 Ἑταῖρ. Τί δὲ τὸ μέγα τοῦτό ἐστιν, ἐρ' ὅτῳ καὶ κομᾷς, ἵνα μὴ ἐν κεφαλαίῳ μόνῳ εὐφραινώμεθα, ἔχωμεν δέ τι καὶ ἀκριβῶς εἰδέναι
5 τὸ πᾶν ἀκούσαντες; — Λουκ. Οὐ θαυμαστὸν εἶναί σοι δοκεῖ πρὸς Διός, ἀντὶ μὲν δούλου με ἐλεύθερον, ἀντὶ δὲ πένητος ὡς ἀληθῶς πλούσιον, ἀντὶ δὲ ἀνοήτου τε καὶ τετυφωμένου γενέσθαι μετριώτερον;

β'. Ἑταῖρ. Μέγιστον μὲν οὖν· ἀτὰρ οὔπω μανθάνω σαφῶς
2 ὅ,τι καὶ λέγεις. — Λουκ. Ἐστάλην μὲν οὖν τῆς πόλεως βουλόμενος ἰατρὸν ὀφθαλμῶν θεάσασθαί τινα· τὸ γὰρ μοι πάθος τὸ ἐν τῷ ὀφθαλμῷ μᾶλλον ἐπετείνετο. — Ἑταῖρ. Οἶδα τού-
3 των ἕκαστα, καὶ τοὐξάμην σέ τινι σπουδαίῳ ἐπιτυχεῖν. — Λουκ. Δόξαν οὖν μοι διὰ πολλοῦ προσειπεῖν Νιγρῖνον τὸν Πλατωνικὸν φιλόσοφον, ἕωθεν ἐξαναστὰς ὡς αὐτὸν ἀφικόμην, καὶ κόψας τὴν θύραν, τοῦ παιδὸς εἰσαγγειλαντος, ἐκλήθην· καὶ παρελθὼν εἴσω, καταλαμβάνω τὸν μὲν ἐν χερσὶ βιβλίον ἔχοντα,
4 πολλὰς δ' εἰκόνας παλαιῶν σοφῶν ἐν κύκλῳ κειμένας. Προὔκειτο δὲ ἐν μέσῳ καὶ πινάκιόν τι τῶν ἀπὸ γεωμετρίας σχημάτων καταγεγραμμένων, καὶ γραῖρα καλάμου πρὸς τὸ τοῦ παντὸς μίμημα, ὡς ἔδοκει, πεποιημένη.

---

3. Ὁδοῦ πάρεργον) Κατὰ πάρεργον ὁδοῦ· καθ' ὅσα δηλ. ἐν τῇ ὁδῷ συμβαίνει πάρεργα· βαδίζουσι γὰρ πολλάκις ἐν τῇ ὁδῷ συμβαίνει τινά.

— Ἥκω σοι) Ἡ δοτικὴ αὕτη, ἄλλως ἀνέκφραστος, πολλὴν Ἀφροδίτην ἐμποιεῖ τῷ Ἕλληνι λόγῳ.

— Ἀπὸ τῆς σκηνῆς) Σκηνὴν ἐνταῦθα τὸ θέατρον λέγει ἀπὸ τοῦ τόπου ἔνθα οἱ ὑποκριταὶ τὰ δράματα ὑποκρίνονται.

— Τριστόλβιος) Παρὰ Σοφοκλέους δοκεῖ τοῦτο εἰλῆφθαι, ἐξ ὧν Πλούταρχος ἐν τῷ Πῶς δεῖ ποιημάτων ἀκούειν λέγει.

. . . ὦ τριστόλβιοι
Κείνοι βροτῶν, οἱ ταῦτα δερχθέντες τέλη.
Μολὼν σ' ἐς ᾅδου· τοῖς δε γὰρ μόνοις ἐκεῖ.
Ζῆν ἐστί, τοῖς δ' ἄλλοισι πάντ' ἐκεῖ κακά.

4. Κομᾷς) Σχολιαστ. Ἀριστοφ. ἐν Ἱππεῦσι στίχ. 577· φησὶ τὸ κομᾶν καὶ ἐπὶ τοῦ τρυφᾶν λέγεται, καὶ γαυριᾶσθαι, καὶ μέγα φρονεῖν· ἄλλως γὰρ τὸ κόμην ἔχειν δηλοῖ.

— Ἐν κεφαλαίῳ) Εὐφραίνεσθαι ἐν κεφαλαίῳ μόνῳ λέγονται, οἱ, πράγματος οὕπω διεγνωσθέντος, ἐπὶ μόνῳ τῷ ἀνειμένῳ καὶ ἱλαρῷ προσώπῳ τῶν φίλων εὐφραινόμενοι.

5. Καὶ τετυφωμένου) Τετυφωμένος ὁ ἐπηρμένος καὶ ἀλαζών, καὶ ἐμβεβροντημένος, καὶ ἔξω φρενῶν.

β'. Μέγιστ.) Πάντως θαυμαστὸν καὶ μέγιστον ἐστὶ τοῦτο, ὃ λέγεις. — Οὔπω μανθ.) Οὐ πληροφορεῦμαι δηλ. τί ἐστι τοῦτο ὃ λέγεις.

2. Ἐπιτυχ.) Τὸ μὲν Ἐντυγχάνω τὸ παρευδόμενος τυγχάνω δηλοῖ· τὸ δὲ Ἐπιτυγχάνω τὸ ζητῶν τυγχάνω τοῦ προσήκοντος.

3. Διὰ πολ.) Δόξαν οὖν μοι προσειπεῖν Νιγρῖνον, διὰ πολλοῦ χρόνου μὴ ἰδόντι αὐτόν· τὸ δὲ Δόξαν ἀπόλυτος μετοχὴ κατὰ τὰς ὑποσώπους.

— Ὡς αὐτ.) Τὸ Ὡς ἀντὶ Πρός.

— Εἰσαγγειλ.) Εἰπόντος δηλ. ὅς τις εἴην.

— Τὸν μὲν) Νιγρῖνον.

4. Καὶ σφαῖρα καλ.) Ἐννοεῖται ἀπὸ κείνου τὸ, προὔκειτο· δοκεῖ δὲ κρικωτὴν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γ'. Σφόδρα οὖν με φιλοφρόνως ἀσπασάμενος, ἠρώτα, ὅ,τι καὶ πράττοιμι. Κἀγὼ πάντα διηγησάμην αὐτῷ· καὶ δῆτα ἐν 2
μέρει καὶ αὐτὸς ἠξίουν εἰδέναι, ὅ,τι τε πράττοι, καὶ εἰ αὖθις αὐτῷ ἐγνωσμένον εἴη στέλλεσθαι τὴν ἐπὶ τῆς Ἑλλάδος. Ὁ δὲ 3
ἀπαρξάμενος, ὦ ἑταῖρε, περὶ τούτων λέγειν, καὶ τὴν ἑαυτοῦ γνώμην διαγεῖσθαι, τοσαύτην τινά μου λόγων ἀμβροσίαν κατεσκέδασεν, ὥστε καὶ τὰς Σειρῆνας ἐκείνας, εἴ τινες ἄρα ἐγένοντο, καὶ τὰς ἀηδόνας, καὶ τὸν Ὁμήρου λωτὸν ἀρχαῖον ἀποδεῖξαι οὕτω θεσπέσια ἐρρέγξατο.

δ'. Προήχθη γὰρ αὐτήν τε φιλοσοφίαν ἐπαινέσαι, καὶ τὴν ἀπὸ ταύτης ἐλευθερίαν, καὶ τῶν δημοσίᾳ νομιζομένων ἀγαθῶν καταγελάσαι, πλούτου, καὶ δόξης, καὶ βασιλείας, καὶ τιμῆς, ἔτι τε χρυσοῦ, καὶ πορφύρας, καὶ τῶν πάνυ περιβλέπτων τοῖς πολλοῖς, τέως δὲ κάμοὶ δοκούντων. Ἅπερ ἔγωγε ἀτενεῖ καὶ 2

εἶναι τὴν τραῖραν ταύτην τοὺς ἐννοουμένους κύκλους ἐκ κολάσεως ἔχοντας· διὰ ταύτης γὰρ οἱ τε Μεσημβρινοὶ διὰ τῶν πόλων τοῦ παντὸς διακαιόμενοι, καὶ ὁ Ζωδιακὸς λοξὸς ὢν, ὅτε Ἰσημερινὸς καὶ καὶ οἱ Τροπικοὶ, πρὸς δὲ, καὶ οἱ Πολικοὶ κύκλοι ἔχει τε καὶ τὸν ἀπὸ τῶν πόλων διὰ τοῦ τῆς γῆς κέντρου διερχόμενον Ἄξονα· ἅπερ πάντα πρὸς μίαν γραμμὴν τοῦ παντὸς γίνεται.

γ'. Ὅ,τι καὶ πράττ.) Τοῦτό ἐστι τὸ παρ' ἡμῖν τὴς εὐσεβείας εἰς τὴν ὑγείαν. Οὐ μὴν ἀλλὰ καὶ ὁμοίως τοῖς Ἕλλησι παρ' ἡμῖν λέγεται τὸ τοιοῦτον· λέγουσι γὰρ μετὰ τὸν ἀσπασμὸν· Τί κάμνεις.

2. Ἠρώτα) Τὰ περὶ τῆς ὑγιείας μου δηλ.

— Καὶ δῆτα) Πρὸς τούτοις δὲ.

— Αὐτῷ ἐγνωσμ.) Ἀντὶ καὶ εἰ πάλιν ἔχει κατὰ νοῦν ἵνα ὑπάγῃ εἰς τὴν Ἑλλάδα.

— Στέλλεσθαι τὴν ἐπὶ) Ἤτοι στέλλειν ἑαυτὸν, ἤγουν ὑπάγειν· τὸ δὲ τῆς, ἔλλειψιν ἔχει· οἷον τὴν Ὁδὸν τὴν ἄγουσαν ἐπὶ τῆς Ἑλλάδος γὰρ πορεύεται.

3 Ὁ δὲ) Νιγρῖνος.

— Ἀπαρξάμ.) Ἢ Ἀπὸ ἐνταῦθα, ἤτοι πορεύεται, ἢ ὅλως τὸ μετὰ ταῦτα οἷον· ὁ δὲ Νιγρῖνος, μετὰ τὴν ἐρώτησιν ἀρξάμενος λέγειν.

— Περὶ τούτων) Τῶν πραγμάτων ἐφ' οἷς μὲ ἔλεγες κομῶν.

— Ἀφνον ἀωδ.) Ἡδονὴν δηλ. μεταφορικῶς ἀπὸ τῆς Ἀμβροσίας τῶν θεῶν βρώματος.

— Σειρῆνας ἐκείν.) Φασὶ γὰρ τούτας ἐν τῇ περὶ Σικελίᾳ θαλάσσῃ οἰκεῖν μέχρι μὲν ζώνης παρθένους, τὸ δὲ λοιπὸν ἰχθῦς οὔσας· καὶ τῇ τῆς ᾠδῆς γλυκύτητι ἕλκειν πρὸς ἑαυτὰς τοὺς διοδεύοντας, καὶ κατεστίειν. Ὅμηρ. Ὀδυσ. Μ. στίχ. 39.

— Ἀηδόν.) Τίνων Ἀηδόνων ἐνταῦθα μέμνηται, οὐκ ἔχω λέγειν· εἰμὴ τι ἀπλῶς περὶ ἀηδόνων λέγει καὶ ἠδυφώνων οὐσῶν, καὶ οὐκ ἐκ μυθολογίας ἔχων.

— Λωτὸν) Περὶ οὗ Ὅμηρ. Ὀδυσ. Ι. στίχ. 94.

. . . Ὃς τις λώτοιο φάγοι μελιηδέα καρπόν.
Οὐκ ἔτ' ἀπαγγεῖλαι πάλιν ἤθελεν, οὐδὲ νεέσθαι.
Ἀλλ' αὐτοῦ βούλοιτο μετ' ἀνδράσι λωτοφάγοισι.
Λωτὸν ἐρεπτόμενοι μενέμεν, νόστου τε λαθέσθαι.

— Ἀρχαῖον) Παλαιὸν δηλ. καὶ μωρόν· πᾶν γὰρ διὰ τὴν παλαιότητα μηδενὸς λόγου ἄξιον ἀρχαῖον καλεῖται. Ὅθεν καὶ Πλάτων Ἐπιστολ. Δ'. φησίν. »Ὡς »οὖν ὑπὸ πάντων ὁρώμενος παρακινεύ»ῃ, τόν τε Λυκοῦργον ἐνεῦνον ἀρχαῖον »ἀποδείξων, καὶ τὸν Κῦρον, καὶ εἴ τις »ἄλλος πώποτε ἔδοξεν ἤθει καὶ πολιτείᾳ »διενεγκεῖν«

δ'. Φιλοσοφ.) Πλάτων ἐν Ἐπιστ. πρὸς Ἀριστοδ. φησί. »Τὸ βέβαιον καὶ πιστὸν »καὶ ὑγιὲς, τοῦτο ἐγὼ φημι εἶναι τὴν »ἀληθινὴν φιλοσοφίαν«

— Πλούτ.) Τούτα ἐπεξήγησίς εἰσι τῶν νομιζομένων ἀγαθῶν.

— Τέως δὲ) Καὶ μέχρι τότε καὶ ἐμοὶ δοκούντων περιβλέπτων εἶναι.

2. Ἅπερ) Ὅτα δηλ. ἐκεῖνος ἔλεγε.

— Ὅπερ ὅπερ.) Τίνα δηλ. ἐκεῖνο,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀναπεπταμένῃ τῇ ψυχῇ δεξάμενος, αὐτίκα μὲν οὐδὲ εἶχον εἰ-
3 κάσαι ὅπερ ἐπεπόνθειν, ἀλλὰ παντοῖος ἐγιγνόμην· καὶ ἄρτι
μὲν ἐλυπούμην, ἐληλεγμένων μοι τῶν φιλτάτων, πλούτου τε, καὶ
ἀργυρίου, καὶ δόξης· καὶ μόνον οὐκ ἐδάκρυον ἐπ' αὐτοῖς κα-
θηρημένοις· ἄρτι δὲ αὐτὰ μὲν ἐδόκει μοι ταπεινὰ καὶ καταγέ-
λαστα· ἔχαιρον δ' αὖ, ὥσπερ ἐκ ζοφεροῦ τινος ἀέρος τοῦ βίου
4 τοῦ πρόσθεν, ἐς αἰθρίαν τε καὶ μέγα φῶς ἀναβλέπων· ὥστε δή,
(τὸ καινότατον) τοῦ ὀφθαλμοῦ μέν, καὶ τῆς περὶ αὐτὸν ἀσθε-
νείας ἀπελαυθανόμην· τὴν δὲ ψυχὴν εὐδοκιμώτερος κατὰ μι-
κρὸν ἐγιγνόμην. Ἐλελήθειν γὰρ τέως αὐτὴν τυφλώττουσαν πε-
ριφέρων.

ε'. Ἡρώων δὲ ἐς τόδε περιήχθην, ὅπερ ἀρτίως ἡμῖν ἐπεκά-
λεις. Γαῦρός τε γὰρ ὑπὸ τοῦ λόγου καὶ μετέωρος εἰμι, καὶ ὀ-
2 λίγος μικρὸν οὐκέτι οὐδὲν ἐπιστῶ. Δοκῶ γάρ μοι ὅμοιόν τι πε-
πονθέναι πρὸς φιλοσοφίαν, οἷόν περ καὶ οἱ Ἰνδοὶ πρὸς τὸν οἶνον
λέγονται παθεῖν, ὅτε πρώτον ἔπιον αὐτοῦ. Θερμότεροι γὰρ ὄν-
τες φύσει, πιόντες ἰσχυρὸν οὕτω ποτόν, αὐτίκα μάλα ἐξεθα-
3 κχεύθησαν, καὶ διπλασίως ὑπὸ τοῦ ἀκράτου ἐξεμάνησαν. Οὕτω
σοι καὶ αὐτὸς ἔνθεος, καὶ μεθύων ὑπὸ τῶν λόγων περιέρχομαι.

ς'. Ἑταῖρ. Καὶ μὴν τοῦτόγε, οὐ μεθύειν, ἀλλὰ νήφειν τε καὶ
2 σωφρονεῖν ἐστιν. Ἐγὼ δὲ βουλοίμην ἂν, εἰ οἷόν τε, αὐτῶν ἀ-
κοῦσαι τῶν λόγων· οὐδὲ γὰρ οὐδὲ καταφρονεῖν αὐτῶν οἶμαι
θέμις, ἄλλως τε εἰ καὶ φίλος, καὶ περὶ τὰ ὅμοια ἐσπουδακώς ὁ
3 βουλόμενος ἀκούειν εἴη. — Λουκ. Θάρρει, ὦ γαθέ. Τοῦτο γάρ
τοι τὸ τοῦ Ὁμήρου, σπεύδοντα καὶ αὐτὸν παρακαλεῖς. Καὶ εἴ-
γε μὴ ἔφθης, αὐτὸς ἂν ἐδεήθην ἀκοῦσαί μου διηγουμένου.
Μάρτυρα γάρ σε παραστήσασθαι πρὸς τοὺς πολλοὺς ἐθέλω, ὅ-
4 τι οὐκ ἀλόγως μαίνομαι· ἄλλως τε καὶ ἡδύ μοι τὸ μεμνῆσθαι

ὅπερ ἐπεπόνθειν.

3. Καὶ μόνον οὐκ) Καὶ τοῦτο μόνον ἔλειπεν, ὅτι οὐκ ἐδ.

4. Τὸ καινότατ.) Τοῦτο δηλ. ὅπερ ἐστὶ παραδοξότατον· καινὸν μὲν τὸ νέον, λέγεται δὲ κατὰ μεταφορὰν καὶ τὸ παράδοξον, τὸ γὰρ καινὸν παρὰ δόξαν δοκεῖ.

— Τὴν δὲ ψυχ.) Κατὰ τὴν ψ.

ε'. Γαῦρος) Ἤδη τὸ τετυφωμένος ἀναφέρεται· ἀ. 5.

2. Δοκῶ γάρ μοι) Ἀττικῶς ἀντὶ δοκεῖ γάρ μοι.

— Οἱ Ἰνδ.) Διόνυσος γὰρ εἰς Ἰνδοὺς ἐπελθὼν, καὶ μὴ δυνηθεὶς κατοπαλκεῖται αὐτοὺς, οἴνῳ ὑποχειρίους ἐποιήσατο. Πολυαίν. Στρατηγ. Α'. ἁ.

— Φύσει) Ἀπὸ τοῦ κλίματος ὑπὸ διακεκαυμένην σχεδὸν οἰκοῦντες ζώνην.

ς'. Οὐ μεθ' ἀλλὰ νήφ.) Ὅθεν καὶ ὁ Λιβάν. Μενέτ. ς'. Νῦν νήφω καὶ σωφρονῶ, τότε δὲ μεθύων ὑπὸ φιλοτιμίας ἤγνοουν.

2. Οὐ δὲ γὰρ οὐδὲ) Ἐπαναλήψις βεβαιοῦσα τὸ λεγόμενον.

— Ἄλλως τε) Καὶ κατὰ ἄλλον δὲ τινα τρόπον, οὐ θέμις καταφρονεῖν αὐτῶν, ἐξαιρέτως δὲ, ἐὰν φίλος ὢν τὸ Ἄλλως τε κατ' ἐπτωσιν εἰς τὸ Μάλιστα μεταποιεῖται παρακαλούμενος.

3. Σπεύδοντα) Ἰλιαδ. Θ. στίχ. 293. Ἀτρεΐδη κυδιστε, τί με σπεύδοντα καὶ αὐτὸν ἀτρύνεις.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτῶν πολλάκις, καὶ ταύτην ἤδη μελέτην ἐποιησάμην· ἐπεὶ κἄν τις μὴ παρὼν τύχῃ, καὶ οὕτω δὶς ἢ τρὶς τῆς ἡμέρας ἀνακυκλῶ πρὸς ἐμαυτὸν τὰ εἰρημένα.

ζ'. Καὶ ὥσπερ οἱ ἐρασταί, τῶν παιδικῶν οὐ παρόντων, ἔργ' ἄττα καὶ λόγους, εἰρημένους αὐτοῖς, διαμνημονεύουσι, καὶ τούτοις ἐνδιατριβόντες ἐξαπατῶσι τὴν νόσον, ὡς παρόντων σφίσι τῶν ἀγαπωμένων· ἔνιοι γοῦν αὐτοῖς καὶ προσλαλεῖν οἴονται, καὶ 2
ὡς ἄρτι λεγομένων πρὸς αὐτούς, ὧν τότε ἤκουσαν, ἥδονται, καὶ προσάψαντες τὴν ψυχὴν τῇ μνήμῃ τῶν παρεληλυθότων σχολὴν οὐκ ἄγουσιν ἐπὶ τοῖς ἐν ποσὶν ἀνιᾶσθαι. Οὕτω δὴ καὶ 3
αὐτὸς, φιλοσοφίας οὐ παρούσης, τοὺς λόγους, οὓς τότε ἤκουσα, συναγείρων, καὶ πρὸς ἐμαυτὸν ἀνατυλίττων, οὐ μικρὰν ἔχω παραμυθίαν. Καὶ ὅλως, καθάπερ ἐν πελάγει καὶ νυκτὶ πολλῇ φε- 4
ρόμενος, ἐς πυρσόν τινα τοῦτον ἀποβλέπω, πᾶσι μὲν παρεῖναι τοῖς ὑπ' ἐμοῦ πραττομένοις τὸν ἄνδρα ἐκεῖνον οἰόμενος· ἀεὶ δὲ ὥσπερ ἀκούων αὐτοῦ τὰ αὐτὰ πρός με λέγοντος, ἐνίοτε δὲ, καὶ 5
μάλιστα ὅταν ἐνερείσω τὴν ψυχὴν, καὶ τὸ πρόσωπον αὐτοῦ μοι φαίνεται, καὶ τῆς φωνῆς ὁ ἦχος ἐν ταῖς ἀκοαῖς παραμένει. Καὶ γάρ τοι κατὰ τὸν Κωμικὸν, ὡς ἀληθῶς ἐγκατέλιπε τὸ κέν- 6
τρον τοῖς ἀκούουσι.

ἡ. Ἑταῖρ. Παῦε, ὦ θαυμάσιε, μικρὸν ἀνακρουόμενος, καὶ λέγε ἐξ ἀρχῆς, ἀναλαβὼν ἤδη τὰ εἰρημένα· ὡς οὐ μετρίως με ἀποκναίεις περιάγων. — Λουκ. Εὖ λέγεις, καὶ οὕτω χρὴ ποιεῖν. Ἀλλ' ἐκεῖνο, ὦ ἑταῖρε, ἤδη τραγικοὺς, ἢ καὶ νὴ Δία κωμικοὺς 2

---

4. Καὶ ταύτην ἤδη) Ἀττικῶς ἀντὶ καὶ τοῦτο· τὸ μεμνῆσθαι δηλ. ἐποιησάμην ἤδη μελέτην· συνερώνασε δὲ πρὸς τὸ ἑπόμενον τὸ μελέτην κατὰ γένος.

— Καὶ οὕτω) Μόνος ὤν.

ζ'. Παιδικ.) Ἐπὶ θηλειῶν καὶ ἀῤῥένων ἐρωμένων τάττεται ἡ λέξις· καὶ τινὲς μὲν ἐπὶ ἀγαθοῦ ἔρωτος, τινὲς δ' ἐπ' αἰσχροῦ λαμβάνουσι. Βαστ.

— Αὐτοῖς) Γῆ' αὐτῶν τῶν παιδικῶν.

— Τὴν νόσ.) Τοῦ ἔρωτος δηλ. ἤγουν τὸ ἐρωτικὸν πάθος.

2. Ἐπὶ τοῖς ἐν π.) Ἐπὶ τοῖς παροῦσιν· ἀπὸ μεταφορᾶς τῶν ὄντων πλησίον τῶν ποδῶν· ταῦτα γὰρ πάντως παρόντα.

3. Φιλοσοφίας οὐ παρ.) Τοῦ φιλοσόφου Νιγρίνου μὴ παρόντος· τὸ ἀφῃρημένον ἀντὶ τοῦ συγκεκριμένου.

4. Ἐς πυρσ.) Ἔν τισι παρυθλασσίοις μέρεσιν ἀμμώδεσιν, ἢ ὑράλους πέτρας ἔχουσιν ἐτίθεντο ἐφ' ὑψηλῆς τινος στήλης πυρσοὶ, ἵν' ἐν νυκτὶ τὰ ἐκεῖθεν διερχόμενα πλοῖα, ὁρῶντα τὸ σημεῖον, φυλάττωνται μή τι πάθωσι.

6. Ἐγκατέλιπε τὸ κέντρ.) Εὔπολις ὁ Κωμικὸς τοῦτα περὶ Περικλέους φησὶν· ὡς παρὰ Διοδώρ. Σικελιώτ. β. βλ. ΙΒ' εὑρίσκεται.

. . . Περικλέης Ὀλύμπιος.
Ἥστραπτ', ἐβρόντα, συνεκύκα τὴν Ἑλλάδα.
Πειθώ τις ἐπεκάθισεν ἐπὶ τοῖς χείλεσιν.
Οὕτως ἔθελγε, καὶ μόνος τῶν ῥητόρων,
Τὸ κέντρον ἐγκατέλιπε τοῖς ἀκροωμένοις.

ἡ. Ἀναρρουόμ.) Ἔστι κατὰ μεταφορὰν ἀπὸ τῶν πλεόντων καὶ ναυμαχούντων· οὗτοι γὰρ προσβάλλοντες ταῖς ναυσὶ, καὶ ἐπιστρέφοντες, ἀναρρουόνται, λέγουσιν· ὅθεν φησὶ· Παῦε, ὦ θαυμάσιε, πλησίον γενόμενος τοῦ διηγεῖσθαι, πάλιν ὑπαναχωρεῖν καὶ λέγε ἐξ ἀρχ.

2. Ἀλλ' ἐκεῖνο) Ἐλλείπει ἐνταῦθα, Δέομαι ἀκούσαί μου, ἢ τοιοῦτό τι, πρὸς ὃ τὸ Ἐκεῖνο ἐνεχθήσῃ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φαύλους ἑώρακας ὑποκριτάς, τῶν συριττομένων λέγω τούτων, καὶ διαφθειρόντων τὰ ποιήματα, καὶ τὸ τελευταῖον ἐκβαλλομένων· καί τοι τῶν δραμάτων πολλάκις εὖ ἐχόντων τε καὶ
3 νενικηκότων; — Ἑταῖρ. Πολλοὺς οἶδα τοιούτους. Ἀλλὰ τί τοῦτο; — Λουκ. Δέδοικα, μήποτε μεταξὺ δόξω γελοίως αὐτὰ μιμεῖσθαι· τὰ μὲν ἀτάκτως συνείρων, ἐνίοτε δὲ καὶ αὐτὸν ὑπ' ἀσθενείας τὸν νοῦν διαφθείρων· κἄτα προαχθῆς ἡρέμα καὶ αὐ-
4 τοῦ καταγνῶναι τοῦ δράματος. Καὶ τὸ μὲν ἐμὸν, οὐ πάνυ ἄχθομαι· ἡ δὲ ὑπόθεσις οὐ μετρίως με λυπήσειν ἔοικε συνεκπίπτουσα, καὶ, τὸ ἐμὸν μέρος, ἀσχημονοῦσα.

Θ'. Τοῦτ' οὖν παρ' ὅλον μέμνησό μοι τὸν λόγον, ὡς ὁ μὲν ποιητὴς ἡμῖν τῶν τοιούτων ἁμαρτημάτων ἀνεύθυνος, καὶ τῆς σκηνῆς πόρρω ποι κάθηται, οὐδὲν αὐτῷ μέλλον τῶν ἐν θεάτρῳ
2 πραττομένων. Ἐγὼ δὲ ἁμαυτοῦ σοι πεῖραν παρέχω, ὁποῖός τις εἰμὶ τὴν μνήμην ὑποκριτής, οὐδὲν ἀγγέλου τὰ ἄλλα πραγικοῦ
3 διαφέρων. Ὥστε κἂν ἐνδεέστερόν τι δοκῶ λέγειν, ἐκεῖνο μὲν ἔστω πρόχειρον, ὡς ἄμεινον ἦν· καὶ ἄλλος ὁ ποιητὴς ἴσως διεξῄει· ἐμὲ δὲ κἂν ἐκσυρίττῃς, οὐ πάνυ τι λυπήσομαι.

ι'. Ἑταῖρ. Ὦ εὖγε, νὴ τὸν Ἑρμῆν, καὶ κατὰ τὸν τῶν ὁπτόρων νόμον πεπροσωμίασταί σοι. Ἔοικας γοῦν κἀκεῖνα προσθήσειν, ὡς
2 δι' ὀλίγου τε ὑμῖν ἡ συνουσία ἐγένετο, καὶ ὡς οὐδ' αὐτὸς ἥκεις πρὸς τὸν λόγον παρεσκευασμένος, καὶ ὡς ἄμεινον εἶχεν αὐτοῦ ταῦτα λέγοντος ἀκούειν· σὺ γὰρ ὀλίγα, καὶ ὅσα οἷόν τε ἦν, τυγχάνεις τῇ μνήμῃ συγκεκομισμένος· οὐ ταῦτ' ἐρεῖν ἐμέλλες; οὐδὲν ἂν οὖν αὐτῶν ἔτι σοι δεῖ πρὸς ἐμέ· νόμισον δὲ τούτου γε ἕνεκα πάντα σοι
3 προειρῆσθαι, ὡς ἐγὼ καὶ βοᾶν καὶ κροτεῖν ἕτοιμός εἰμι. Ἢν δὲ

— Τῶν συριττ.) Ὅτι γὰρ ἐν Θεάτρῳ οὐκ ὑπακούουσι οἱ ὑποκριταὶ κοινῶς τὸ σύνταγμα, ὁ δῆμος συρίττει αὐτοὺς πολλάκις δὲ καὶ ἐκβάλλει ἀπὸ τοῦ θεάτρου.

— Καὶ νενικ.) Ἀγὼν γὰρ ἦν τῶν ποιητῶν ἐν θεάτρῳ, τίνος τὸ δρᾶμα κρεῖττον φανείη· καὶ ἐνίκα, οὗτινος ἐ κρεῖττον καὶ παρὰ πᾶσιν ὁμολογεῖτο καλῶς ἔχειν αὐτοῦ· οὗ ἐστι καὶ δράματα καλῶς ἔχοντα, καὶ νικῶντα τὸ ἑαυτῶν κάλλος, ὁ δὲ ὑποκριτὴς φαῦλος ὢν διαφθείρει αὐτό.

3. Τοῦ δράματ.) Ἐγκαταμένει τῇ μεταφορᾷ· ἔφη γὰρ, καὶ τοι τῶν δραμάτων πολλάκις εὖ ἐχόντων· ἐνοεῖ δὲ τὰ τοῦ Νιγρίνου λεγόμενα.

4. Τὸ ἐμὸν μέρ.) Τοῦτο δὲ πολλαχῶς ἐκφέρεται· τὸ μέντοι ἐμὸν τὸ γ' ἐπ' ἐμοὶ τὸ γε κατ' ἐμέ.

Θ'. Ἡμῖν) Ἡ δοτικὴ αὕτη περιποιητικὴ οὖσα, ἀνάφορατός ἐστιν ἄλλως· ἴδιον δὲ τοῦτο τῆς Ἑλλάδος φωνῆς.

— Καὶ τῆς σκην.) Ἐπιδήπεα ἅπαξ τὰ περὶ τὴν σκηνὴν εἰς μέσον ἤγαγεν, οὐκ ἀνέπτασται τῆς μεταφορᾶς· καλεῖ γὰρ ἐνταῦθα σκηνὴν καὶ θέατρον τὸν τόπον ἔνθα ὑποτίθηται ἑαυτὸν μετὰ τοῦ ἑταίρου διαλεγόμενον.

2. Τὰ ἄλλα) Κατὰ τὰ ἄλλα.

3. Ὡς ἄμεινον ἦν) Ὅτι ἀκριβὴ ὥρειον ἄμεινον εἰρῆσθαι παρὰ τοῦ Νιγρίνου· καὶ κατὰ ἄλλον τινὰ ἀμείνονα τρόπον.

— Ἐμὲ δὲ) Πρὸς τὸ Ἐκσυρίττῃς ἡ αἰτιατικὴ· ἔδει δὲ εἰπεῖν· ἐγὼ δὲ, κἂν ἐκσυρίττῃς, οὐ λυπήσομαι.

ι'. 2. Δι' ὀλίγου) Χρόνου δηλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

διαμέλλῃς, μνησικακήσω γε παρὰ τὸν ἀγῶνα, καὶ ὀξύτατα συρίξομαι.

ιά. Λουκ. Καὶ ταῦτα μέν, ἃ σὺ διῆλθες ἐβουλόμην ἂν εἰρῆσθαί μοι· κἀκεῖνα δέ, ὅτι γε οὐχ ἑξῆς, οὐδ' ὡς ἐκεῖνος ἔλεγε, ῥῆσίν τινα περὶ πάντων ἐρῶ· πάνυ γὰρ τοῦθ' ἡμῖν ἀδύνατον. Οὐδ' αὖ ἐκείνῳ 2
περιθεὶς τοὺς λόγους, μὴ καὶ κατ' ἄλλο τι γένωμαι τοῖς ὑποκριταῖς ἐκείνοις ὅμοιος, οἱ πολλάκις ἢ Ἀγαμέμνονος, ἢ Κρέοντος, ἢ καὶ Ἡρακλέους αὐτοῦ πρόσωπον ἀνειληφότες, χρυσίδας ἠμφιεσμένοι, καὶ δεινὸν βλέποντες, καὶ μέγα κεχηνότες, μικρὸν ὀβελίσκονται, καὶ ἰσχνόν, καὶ γυναικώδες, καὶ τῆς Ἑκάβης ἢ Πολυξένης πολὺ ταπεινότερον. Ἐν οὖν μὴ καὶ αὐτὸς ἐλέγχωμαι, πάνυ μείζον τῆς 3
ἐμαυτοῦ κεφαλῆς προσωπεῖον περικείμενος, καὶ τὴν σκευὴν καταισχύνων, ἀπὸ γυμνοῦ σοι βούλομαι τοῦμοῦ προσώπου προσλαλεῖν, ἵνα μὴ συγκατασπάσω που πεσὼν τὸν ἥρωα, ὃν ὑποκρίνομαι.

ιβ'. Ἑταίρ. Οὗτος ἀνὴρ οὐ παύσεται τήμερον πρός με πολλῇ τῇ σκυνῇ καὶ τῇ τραγῳδίᾳ χρώμενος. — Λουκ. Καὶ μὴν παύσομαί γε· πρὸς ἐκεῖνα δὲ ἤδη τρέψομαι. Ἡ μὲν ἀρχὴ τῶν λόγων 2
ἔπαινος ἦν Ἑλλάδος, καὶ τῶν Ἀθήνησιν ἀνθρώπων, ὅτι φιλοσοφίᾳ καὶ πενίᾳ σύντροφοί εἰσι, καὶ οὔτε τῶν ἀστῶν, οὔτε τῶν ξένων οὐδένα τέρπουσι ὁρῶντες, ὃς ἂν τρυφὴν εἰσάγειν εἰς αὐτοὺς βιάζηται. Ἀλλ' εἰ καί τις ἀρίκηται παρ' αὐτοὺς οὕτω διακείμενος, 3
ἡρέμα τε μεθαρμόττουσι, καὶ παραπαιδαγωγοῦσι, καὶ πρὸς τὸ καθαρὸν τῆς διαίτης μεθιστᾶσιν.

---

3. Παρὰ τὸν ἀγῶν.) Αἰνίττεται τὸν ἐν θεάτρῳ ἀγῶνα τῶν Διονυσιων· ἔνθα οἱ δραματοποιοὶ ἠγωνίζοντο, καὶ διεφέρον δραμάτων ἀκουσθέντων, οἱ ἀγωνιζόμενοι ἐπὶ τὸ βραβεῖον παρεῖχον τῷ κρείττονι φωνήν.

ιά. Εἰρῆσθαί μοι) Εἴπεῖν δηλ.

— Κἀκεῖνα δέ.) Ὁ δὲ προστίθεται.

— Ῥῆσίν τινα.) Λέγεται δὲ ῥῆσις ὁ λόγος, τὸ εἰρημένον παρά τινος, καὶ ἡ ἔννοια.

2. Ἀγαμέμ.) Ἐν γὰρ τῷ θεάτρῳ οἱ ὑποκριταὶ κατὰ τὸ δόκιμα ὑποκρίνονται καὶ τὰ πρόσωπα· ἔνθα μὲν γὰρ τὸ δρᾶμα Ἀγαμέμνονα εἰσάγει, τὸν Ἀγαμέμνονα ὑποκρίνεται ὁ ὑποκριτής, ἔνθα δὲ Κρέοντα, τὸν Κρέοντα· καὶ τὸν Ἡρακλέα ἔνθα εἰσάγεται ὁ Ἡρακλῆς.

— Χρυσίδας.) Ἐπειδὴ σπανιωτάτη ἡ λέξις περὶ ἐνδύματος, φασί τινες, διεφθαρμένον εἶναι τὸ κείμενον· ἀντὶ Ξυστίδας· ἔστι γὰρ ξυστὶς ἐνδυμά τι τραγικόν, χρῶνται δὲ αὐτῷ καὶ οἱ τραγικοὶ βασιλεῖς, ὡς φησὶ Σχολ. Ἀριστοφ. ἐν Νεφέλῃ στίχ. 70.

3. Προσωπεῖον) Προσωπεῖα γὰρ περιτεθέασιν οἱ ὑποκριταὶ κατὰ τὰ διάφορα ὑποκρινόμενα, ἃ ὑποκρίνονται.

— Ἀπὸ γυμνοῦ σοι βουλ.) Οὕτω ὡς ἀπ' ἐμαυτοῦ λέγων· καὶ οὐχ ὑποκρινόμενος τὸν ἄνδρα ἐκεῖνον.

ιβ'. Οὗτος ἀνὴρ.) Ἀνάρθρως ἔθει Ἀττικῷ τὸν γὰρ ἀπὸ τοῦ ἄθροου ἀναπόλαπον ἡ ἀντωνυμία ἐμφαίνει.

— Πολλῇ τῇ.) Ἀναφέρων δηλ. τὰ περὶ σκυνῆς καὶ τραγῳδίας.

— Καὶ μὴν.) Ἀλλ' ἰδοὺ παύε.

— Πρὸς ἐκεῖνα.) Τὰ παρὰ Νιγρίνου εἰρημένα.

2. Καὶ πενίᾳ σύντρ.) Ἡρόδοτ. Ζ'. ρδ'. τὰ αὐτὰ λέγει.

3. Οὕτω διακείμ.) Τοιαύτην ἔχων διάθεσιν· τρυφῶσαν δηλ.

— Καὶ παραπαιδ.) Καθ' ἑαυτοὺς δηλ. συσχηματίζουσιν· ὅθεν καὶ Κλήμ. Ἀλεξ. Παιδαγ. γ'. Πολλοὺς, φησί, καὶ τὸ σχῆμα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ιγ'. Ἐμέμνητο γοῦν τινος τῶν πολυχρύσων, ὃς ἐλθὼν Ἀθήναζε μάλα ἐπίσημος, καὶ φορτικὸς ἀκουλούθων ὄχλῳ, καὶ ποικίλῃ ἐσθῆτι, καὶ χρυσῷ, αὐτὸς μὲν ᾤετο ζηλωτὸς εἶναι πᾶσι τοῖς Ἀθηναίοις, καὶ ὡς ἂν εὐδαίμων ἀποβλέπεσθαι· τοῖς δ' ἄρα δυστυχεῖν
2 ἐδόκει τὸ ἀνθρώπιον· καὶ παιδεύειν ἐπεχείρουν αὐτόν, οὐ πικρῶς, οὐδ' ἄντικρυς ἀπαγορεύοντες· ἐν ἐλευθέρᾳ τῇ πόλει, καθ' ἕν τινα
3 τρόπον βούλοιτο, βιοῦν· ἀλλ' ἐπεὶ κἂν τοῖς γυμνασίοις, καὶ λουτροῖς ὀχληρὸς ἦν, θλίβων τοῖς οἰκέταις, καὶ στενοχωρῶν τοὺς ἀπαντῶντας, ἡσυχῇ τις ἂν ὑποφθέγξατο, προσποιούμενος λανθάνειν, ὥσπερ οὐ πρὸς αὐτὸν ἐκεῖνον ἀποτείνων, «Δέδοικε μὴ παραπόληται μεταξὺ λουόμενος»· καὶ μὴν εἰρήνη γε μακρὰ κατέχει τὸ βαλανεῖον· οὐδὲν οὖν δεῖ στρατοπέδου. Ὁ δὲ ἀκούων
5 ἃ ἦν, μεταξὺ ἐπαιδεύετο. Τὴν δὲ ἐσθῆτα τὴν ποικίλην, καὶ τὰς πορφυρίδας ἐκείνας ἀπέδυσαν αὐτὸν, ἀστεῖος πάνυ τὸ ἀνθηρὸν ἐπισκώπτοντες τῶν χρωμάτων, ἔαρ ἤδη, λέγοντες, καὶ, πόθεν ὁ ταὼς οὗτος; καὶ, τάχα τῆς μητρός ἐστιν αὐτοῦ· καὶ τὰ τοιαῦτα.
6 Καὶ τὰ ἄλλα δὲ οὕτως ἀπέσκωπτον, ἢ τῶν δακτυλίων τὸ πλῆθος, ἢ τῆς κόμης τὸ περίεργον, ἢ τῆς διαίτης τὸ ἀκέλαστον. Ὥστε κατὰ μικρὸν ἐσωφρονίσθη, καὶ παραπολὺ βελτίων ἀπῆλθε, δημοσίᾳ πεπαιδευμένος.

ιδ'. Ὅτι δ' οὐκ αἰσχύνονται πενίαν ὁμολογοῦντες, ἐμέμνητο πρός με φωνῆς τινος, ἣν ἀκοῦσαι πάντων ἔφη κοινῇ προεμένων ἐν
2 τῷ ἀγῶνι τῶν Παναθηναίων. Ληφθέντα μὲν γάρ τινα τῶν πολιτῶν

παραπαιδαγωγεῖ μὴ ἁμαρτάνειν διὰ τὸ εὐεξέλεγκτον. Αἱ δὲ Ἀθῆναι ὡς μὲν Θουκ. Β'. μά. φησὶ τῆς Ἑλλάδος ἦσαν παίδευσις ὡς δὲ Δικαίαρχ. μαρτυρεῖ. Ὅτον αἱ λοιπαὶ πόλεις ποδς τε ἡδονὴν καὶ τοῦ βίου διόρθωσιν τῶν ἀγρῶν διαφέρουσι, τοσοῦτον τῶν λοιπῶν πόλεων ἡ τῶν Ἀθηναίων παρολλάττει.

ιγ'. Ἀθήναζε) Ἀθήνας δε. Ἔνθα ὁ δὲ ἀντὶ τῆς εἰς· ὡς ἐν πολλοῖς ἔστιν εὑρεῖν· καὶ ἐπὶ τὸ ζ ἐκ τοῦ σ δ' γίνεται Ἀθήναζε.

— Ὄχλῳ καὶ .. ἐσθ. καὶ χρ.) Ἐπὶ τῷ ὄχλ. καὶ ἐσθ. καὶ χρ. ἦν ἐπίσημος καὶ φορτικός.

— Τοῖς δ' ἄρ.) Ἀθηναίοις.

2. Καὶ πιεὶ.) Ὁ καὶ τόπον ἐπέχει ἀναφορικὸν· ἀντὶ τοῦ οἵτινες ἐπεχείρουν παιδεύειν.

— Βοῦν) Ἀπὸ τοῦ ἀπαγορεύοντες ἐξαρτᾶται.

3. Θλίβων τοῖς οἰκ.) Ἀντὶ τοῦ διὰ τοῦ πλήθους τῶν οἰκετῶν στενοχωρίαν ποιῶν.

4. Δέδοικε) Ὁ ἄνθρωπος οὗτος.

— Καὶ μὴν) Ἀλλ' ὅμως.

— Ἃ ἦν) Τἀληθῆ δηλ.

— Μεταξὺ) Ἐν τῷ μεταξὺ χρόνῳ ἐπαιδ.

5. Τὴν δὲ ἐσθ .. ἀπέδ.) Τὸ ἀποδύω δυσὶ αἰτιατικαῖς συντάσσεται προσώπου καὶ πράγματος.

— Τάχα τῆς μητρ.) Τὰ ἱμάτια δηλ.

ιδ'. Ἐν τῷ ἀγῶνι τῶν Παναθ.) Ἑορτὴ δὲ αὕτη ἐν Ἀθήναις ἀγομένη εἰς μνήμην αἰώνιον τῆς ἑνώσεως τῶν ἐν Ἀττικῇ πόλεων εἰς μίαν τὰς Ἀθήνας· ἐν ᾗ ἑκάστη πόλις τῶν τε ἐν Ἀττικῇ καὶ τῶν ἐν ἀποικίαις προσέφερε βοῦν τῇ Ἀθηνᾷ, ἧς εἰς τιμὴν ἡ ἑορτὴ αὕτη ἤγετο. Ἐκ τούτων δὲ τῶν βοῶν θαυμαστή τις ἑκατόμβη προσήγετο τῇ Ἀθηνᾷ· ὧν τὰ κρέατα ἤσθιεν ὁ δῆμος. Ἦταν δὲ τὰ Παναθήναια ταῦτα διπλᾶ. Μεγάλα καὶ μικρά· καὶ τὰ μὲν ἤγοντο κατὰ πενταετίαν ἐν μηνὶ Ἑκατομβαιῶνι, περὶ τὸν ἡμέτερον Ἰούλιον ἐξετάζομένῳ· τὰ μικρὰ δὲ, ἐν Θαργηλιῶνι, περὶ τὸν ἡμέτερον Μάϊον· καὶ ἐκεῖνα μὲν κατὰ τὴν εἰκοστὴν τρίτην, ταῦτα δὲ κατὰ τὴν εἰκοστὴν τοῦ μηνὸς ἤγοντο.

2. Ληφθέντα γὰρ) Ἔφη γὰρ ὅτι τίς τῶν πολιτῶν ληφθεὶς ἤγετο παρὰ τὸν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἄγεσθαι παρὰ τὸν ἀγωνοθέτην, ὅτι βαπτὸν ἔχων ἱμάτιον ἐθεώρει· τοὺς δέ, ἰδόντας ἐλεῆσαί τε, καὶ παραιτεῖσθαι, καὶ τοῦ κήρυκος ἀνειπόντος, ὅτι παρὰ τὸν νόμον ἐποίησε, τοιαύτῃ ἐσθῆτι θεώμενος, ἀναβοῆσαι μιᾷ φωνῇ πάντας, ὥσπερ ἐσκεμμένους, συγγνώμην ἀπονέμειν αὐτῷ τοιαῦτά γε ἀμπεχομένῳ· μὴ γὰρ ἔχειν αὐτὸν ἕ- 3
τερα. Ταῦτά τε οὖν ἐπῄνει, καὶ προσέτι τὴν ἐλευθερίαν τὴν ἐκεῖ, 4
καὶ τῆς διαίτης τὸ ἀνεπίφθονον, ἡσυχίαν τε καὶ ἀπραγμοσύνην, ἃ δὴ ἄρδονα παρ' αὐτοῖς ἐστιν. Ἀπεραίνετό τε φιλοσοφίᾳ συνῳδὸν 5
τὴν παρὰ τοῖς τοιούτοις διατριβήν, καὶ καθαρὸν ἦθος, φυλάξαι δυναμένην, σπουδαίῳ τε ἀνδρὶ, καὶ πλούτου καταφρονεῖν πεπαιδευμένῳ, καὶ τῷ πρὸς τὰ φύσει καλὰ ζῆν προαιρουμένῳ τὸν ἐκεῖ βίον ὡς μάλιστα ἡρμοσμένον.

ιέ. Ὅς τις δὴ πλούτου ἐρᾷ, καὶ χρυσῷ κεκήληται, καὶ πορφύρᾳ, καὶ δυναστείᾳ μετρεῖ τὸ εὔδαιμον, ἄγευστος μὲν ἐλευθερίας, ἀπείρατος δὲ παῤῥησίας, ἀθέατος δὲ ἀληθείας, κολακείᾳ τὰ πάντα καὶ δουλείᾳ σύντροφος· ἡ ὅστις ἡδονῇ πᾶσαν τὴν ψυχὴν ἐπι- 2
τρέψας, ταύτῃ μόνῃ λατρεύειν διέγνωκε, φίλος μὲν περιέργων τραπεζῶν, φίλος δὲ πότων, καὶ ἀφροδισίων, ἀνάπλεως γοητείας, καὶ ἀπάτης, καὶ ψευδολογίας· ἡ ὅς τις ἀκούων τέρπεται κρουμάτων τε, καὶ τερετισμάτων, καὶ διεῤῥοτων ᾀσμάτων, τοῖς δὴ τοιούτοις πρέπειν τὴν ἐνταῦθα διατριβήν. 3

ιϛ'. Μεσταὶ γὰρ αὐτοῖς τῶν φιλτάτων πᾶσαι μὲν ἀγυιαὶ, πᾶσαι δὲ ἀγοραὶ· πάρεστι δὲ πᾶσαις πύλαις τὴν ἡδονὴν καταδέχεσθαι· τοῦτο μὲν δι' ὀφθαλμῶν· τοῦτο δι' ὤτων τε, καὶ ῥινῶν· τοῦτο δὲ καὶ διὰ λαιμοῦ, καὶ δι' ἀφροδισίων· ὑφ' ἧς δὴ ῥεούσης ἀεν- 2
νάῳ τε καὶ θολερῷ ῥεύματι, πᾶσαι μὲν ἀνεῤῥύονται ὁδοὶ· συνεισέρχεται γὰρ μοιχεία, καὶ φιλαργυρία, καὶ ἐπιορκία, καὶ τὸ τοιοῦτο φῦλον [τῶν ἡδονῶν]· παρασύρεται δὲ, τῆς ψυχῆς ὑποκλυζομένης πανταχόθεν, αἰδώς, καὶ ἀρετὴ, καὶ δικαιοσύνη· τῶν δὲ ἔρημος ὁ χῶρος γενόμενος, δίψῃς ἀεὶ πιμπλάμενος, ἀνδεῖ πολλαῖς τε καὶ ἀγρίαις ἐπι- 3

ἀγωνοθέτην· οὗτος δὲ ἄρχων ἦν διατεθειμένος τοὺς ἀγῶνας, καὶ μάλιστα τοὺς μουσικούς.

— Τοὺς δὲ) Ἀθηναίους· ἀπὸ κοινοῦ δὲ τὸ ἔνῃ.

3. Μὴ γὰρ ἔχ.) Ἔλεγον γὰρ ὅτι οὐκ ἔχει Ἐν τοιαύταις περιστάσεσιν ἀεὶ ὁ γὰρ ἔχει ὑπακούομενον τὸ λέγω ῥῆμα.

5. Ἡρμοσμένῳ) Πρὸς τὸ Ἀπεραίνετο οἷον ἀπεραίνετό τε τὸν ἐκεῖ βίον ὡς μάλιστα ἡρμοσμένον σπουδαίῳ ἀνδρὶ καὶ . . . πεπαιδ.

ιέ. 3. Τοῖς δὴ τοιοῦ.) Πρὸς τὸ ὅστις ἡ ἀνταπόδοσις ἐν πληθυντικῷ διὰ τὸ ἀόριστον· τὸ γὰρ ἀόριστον πλῆθος σημαίνει. — Τὴν ἐνταῦθα διατρ.) ἐν Ῥώμῃ δηλ.

ιϛ'. Μεσταὶ γὰρ) Ἐκ τοῦ Ἀράτου ταῦτα ἐν προοιμίοις, ἔνθα λέγει

. . . Μεστοὶ καὶ ταύτης πᾶσαι μέν ἀγυιαί. Πᾶσαι δ' ἀνθρώπων ἀγοραὶ κτλ.

2. Τῇ ἧς) Ἀντὶ ὧν δὲ, αἰδοῦς, ἀρετῆς δηλ. καὶ δικαιοσύνης.

3. Ὁ χῶρος) Ἡ ψυχὴ δηλ. ἐμμένων γὰρ τῇ μεταφορᾷ λέγει ταῦτα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

4 θυμίαις. Τοιαύτην ἀπέφαινε τὴν πόλιν, καὶ τοσούτων διδάσκαλον ἀγαθῶν.

ιζ'. Ἔγωγ' οὖν, ἔφη, ὅτε τὸ πρῶτον ἐπανήειν ἀπὸ τῆς Ἑλλάδος, πλησίον που γενόμενος, ἐπιστήσας ἐμαυτὸν λόγον ἀπῄτουν τῆς δεῦρο ἀφίξεως, ἐκεῖνα δὴ τὰ τοῦ Ὁμήρου λέγων·

Τίπτ' αὖτ', ὦ δύστηνε, λιπὼν φάος ἠελίοιο,

τὴν Ἑλλάδα, καὶ τὴν εὐτυχίαν ἐκείνην, καὶ τὴν ἐλευθερίαν, ἤλυθες, ὅφρα ἴδῃς τὸν ἐνταῦθα θόρυβον, συκοφάντας, καὶ προσαγορεύσεις ὑπερηφάνους, καὶ δεῖπνα καὶ κόλακας, καὶ μιαιφονίας, καὶ δια-
2 θηκῶν προσδοκίας, καὶ φιλίας ἐπιπλάστους; ἢ τί καὶ πράξειν διέγνωκας, μήτ' ἀπαλλάττεσθαι, μήτε χρῆσθαι τοῖς καθεστῶσι δυνάμενος;

ιη'. Οὕτω δὴ βουλευσάμενος, καὶ, καθάπερ ὁ Ζεὺς τὸν Ἕκτορα, ὑπεξαγαγὼν ἐμαυτὸν ἐκ βελέων, φασίν,

Ἕκ τ' ἀνδροκτασίης, ἐκ θ' αἵματος, ἐκ τε κυδοιμοῦ,

τὸ λοιπὸν οἰκουρεῖν εἱλόμην, καὶ βίον τινὰ τοῦτον γυναικώδη, καὶ ἄτολμον τοῖς πολλοῖς δοκοῦντα προτιθέμενος, αὐτῇ φιλοσοφίᾳ, καὶ
2 Πλάτωνι, καὶ ἀληθείᾳ προσλαλῶ. Καὶ καθίσας ἐμαυτὸν, ὥσπερ ἐν θεάτρῳ μυριάνδρῳ, σφόδρα που μετέωρος ἐπισκοπῶ τὰ γιγνόμενα, τοῦτο μὲν, πολλὴν ψυχαγωγίαν καὶ γέλωτα παρέχειν δυνάμενα, τοῦτο δὲ, πεῖραν ἀνδρὸς ὡς ἀληθῶς βεβαίου λαβεῖν.

ιθ'. Εἰγὰρ χρὴ καὶ κακῶν ἔπαινον εἰπεῖν, μὴ ὑπολάβῃς μεῖ-

---

4. Τὴν πόλ.) Περὶ τῆς Ῥώμης λέγει ταῦτα· καὶ δῆλον ὅτι εἰρωνικῶς.

ιζ'. Πλησίον ποῦ γεν.) Τῆς Ῥώμης δηλ. πόλεως, τῆς τρυφώσης.

— Ἐπιστήσας ἐμ.) Ἀντὶ στήσας ἐν ἑνὶ τρόπῳ ἐμαυτόν.

— Τῆς δεῦρο) ἐν Ῥώμῃ δ. λ.

— Τὰ τοῦ Ὁμ.) Ὀδυσ. Α. στίχ. 92. ἔνθα Τηλεμάχου πρὸς Ὀδυσσέα λέγει.

Τίπτ' αὖ, ὦ δύστηνε, λιπὼν φάος ἠελίοιο.

Ἤλυθες· ὄφρ' ἴδῃς νέκυας καὶ ἀτερπέα χῶρον.

ιη'. Ἐκ βελέων) Ἔστι παροιμία ἔξω βελῶν· περὶ τῶν ἐν βεβαίῳ γενομένων, καὶ μακρὰν τοῦ κινδύνου· ὁ δὲ στίχος ἐξ Ἰλ. Α. στίχ. 163.

Ἕκτορα δ' ἐκ βελέων ὕπαγε Ζεύς, ἔκ τε κονίης,

Ἕκ τ' ἀνδροκτασίης, ἐκθ' αἵματος, ἐκ τε κυδοιμοῦ.

— Καὶ βίον τινα τοῦτ.) Καὶ εἱλόμην οἰκουρεῖν, προτιθέμενος τοῦτον τὸν βίον γυναικώδη τινὰ ὄντα.

— Καὶ Πλ.) Ἐπειδὴ Μλιτωνικὸς ἦν φιλόσοφος ὁ Ἀγρίππος, τῇ ῥητορικῇ καὶ ἀληθείᾳ παρέμιξε τὸν Πλάτωνα.

2. Μυριάνδρῳ) Ἀντὶ Πανδήμῳ τὰ μύρια ἀντὶ ἁπλῶς πολλὰ λαμβάνουσι πολλάκις Ἕλληνες.

— Μετέωρος.) Ὢν δηλ. ὥσπερ τὸν Χάρωνα καὶ Ἑρμῆν ὑπέθετο ἐπ' ἀστεύοντας ἐν τῷ διαλόγῳ Χάρων, ἢ Ἐπισκοπούντες.

— Τοῦτο μὲν . . . τοῦτο δὲ) Ἴδοις δὲ οὕτω μεστεῖν τοῖς Ἕλλησι κεῖται δὲ περιττῶς τὸ τοῦτο· ἀντὶ τοῦ πολλὴν μὲν ψυχαγωγίαν παρέχειν, πεῖραν δὲ ἀνδρὸς λαβεῖν δυνάμενα.

— Πεῖραν . . . λ.) Περίφρασις ἀντὶ τοῦ παρ' ἡμῖν δοκιμάσαι.

ιθ'. Τῆς δὲ τῆς πόλ.) Τῆς Ῥώμης δηλ. ἡ δὲ γενικὴ παραθετικῶς πρὸς τὸ μεῖζον.

— Τῆς ἐνταῦθ.) Ἐν Ῥώμῃ Περὶ δὲ τῆς ἐν Ῥώμῃ ἡδονῆς καὶ οἱ Κομμόδου κόλακες μετὰ τὸν θάνατον τοῦ πατρὸς διαφθείσαντες αὐτὸν ἔλεγον ὑπομιμνήσκοντες αὐτὸν τῆς ἐν Ῥώμῃ τρυφῆς, θεάματά τε καὶ ἀκούσματα τερπνὰ διηγούμενοι· κτλ. Ἡροδιαν. Α. ζ'. 2

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ξόν τι γυμνάσιον ἀρετῆς, ἢ τῆς ψυχῆς δοκιμασίαν ἀληθεστέραν τῆς δε τῆς πόλεως, καὶ τῆς ἐνταῦθα διατριβῆς. Οὐ γὰρ μικρὸν 2 ἀντισχεῖν τοσαύταις μὲν ἐπιθυμίαις, τοσούτοις δὲ θεάμασί τε καὶ ἀκούσμασι πάντοθεν ἕλκουσι, καὶ ἀντιλαμβανομένοις. Ἀλλ' ἀτε- 3 χνῶς δεῖ τὸν Ὀδυσσέα μιμησάμενον παραπλεῖν αὐτὰ, μὴ δε- δεμένον τῷ χεῖρε, δεινὸν γὰρ, μηδὲ τὰ ὦτα κηρῷ φραξάμενον, ἀλλ' ἀκούοντα, καὶ λελυμένον, καὶ ἀληθῶς ὑπερήφανον.

κ'. Ἔνεστι δὲ καὶ φιλοσοφίαν θαυμάσαι, παραθεωροῦντα τὴν τοσαύτην ἄνοιαν, καὶ τῶν τῆς τύχης ἀγαθῶν καταφρονεῖν, ὁρῶντα, ὥσπερ ἐν σκηνῇ καὶ πολυπροσώπῳ δράματι, τὸν μὲν ἐξ οἰκέτου δεσπότην προιόντα, τὸν δ' ἀντὶ πλουσίου, πένητα· τὸν δὲ, σατράπην ἐκ πένητος, ἢ βασιλέα· τὸν δὲ φίλον τούτου· τὸν δὲ ἐχθρόν· τὸν δὲ φυγάδα. Τοῦτο γάρ τοι καὶ τὸ δεινό- 2 τατόν ἐστιν, ὅτι καὶ τοι μαρτυρουμένης τῆς τύχης παίζειν τὰ τῶν ἀνθρώπων πράγματα, καὶ ὁμολογούσης μηδὲν αὐτῶν εἶναι βέβαιον, ὅμως ταυτ' ὀσημέραι βλέποντες, ὀρέγονται καὶ πλούτου, καὶ δυναστείας· καὶ μεστοὶ περιιασι πάντες οὐ γιγνομένων ἐλπίδων.

κα'. Ὁ δὲ δὴ ἔφην, ὅτι καὶ γελᾶν ἐν τοῖς γιγνομένοις ἔνεστι, καὶ ψυχαγωγεῖσθαι, τοῦτο ἤδη σοι φράσω. Πῶς γὰρ οὐ 2 γελοῖοι μὲν οἱ πλουτοῦντες οὗτοι, καὶ τὰς πορφυρίδας προφαινοντες, καὶ τοὺς δακτύλους προτείνοντες, καὶ πολλὴν κατηγοροῦντες ἀπειροκαλίας; Τὸ δὲ καινοτατον, τοὺς ἐντυγχάνοντας 3 ἀλλοτρίᾳ φωνῇ προσαγορεύοντες, ἀγαπᾶν ἀξιοῦντες, ὅτι μόνον αὐτοὺς προσέβλεψαν. Οἱ δὲ σεμνότεροι, καὶ προσκυνεῖσθαι πε- 4 ριμένοντες, οὐ πόρρωθεν, οὐδ' ὡς Πέρσαις νόμος, ἀλλὰ δεῖ προσελθόντα, καὶ ὑποκύψαντα, καὶ πόρρωθεν τὴν ψυχὴν ταπεινώσαντα, καὶ τὸ πάθος αὐτῆς ἐμφανίσαντα τῇ τοῦ σώματος ὁ-

---

3. Τὸν Ὀδυσ. μιμ.) Ὁ γὰρ Ὀδυσσεὺς ἀκινδύνως παρῆλθε τὸν τῶν Σειρήνων κίνδυνον, τῶν μὲν ἑταίρων φραξάμενος τὰ ὦτα κηρῷ, ἵνα μὴ ἀκούσωσι τοῦ ἡδὺ τῆς φωνῆς αὐτῶν ᾀδουσῶν, αὐτὸν δὲ προσέταξε δήσαντας τῷ ἱστῷ μὴ λῦσαι, καὶ τοι βουλόμενον, μέχρις ἂν παρέλθωσι. Καὶ οὕτως οἱ μὲν λελυμένοι οὐκ ἤκουον τῆς ᾠδῆς, αὐτὸς δὲ ἀκούων οὐκ ἠδύνατο, δεδεμένος ὢν, πρὸς αὐτὰς ἀπελθεῖν· πάντες δὲ τὸν κινδυνον διέφυγον. Ὅμηρ. Ὀδυσ. Μ. στίχ. 39. 55.

— Τῷ χεῖρε) Ἀττικῶς ἀντὶ τα χεῖρε.

— Δεινὸν γὰρ) Δεινὸς γὰρ ἐμφαντικόν.

κ'. Προιόντα) Προβαινοντα δηλ. ἐξ οἰκέτου εἰς δεσπότην.

— Πένητα) Γενόμενον ὅπερ καὶ ἐν τοῖς λοιποῖς ἐννοεῖται.

2. Καὶ τὸ δεινότ.) Τὸ ἄρθρον σημαίνει βεβαιωσιν.

— Οὐ γιγν.) Ἐλπίδων, αἵ τινες οὐ γίγνονται, οὐκ ἐκτελοῦνται.

κα'. 2. Προτείν.) Ἵνα δείξωσι τοὺς ἐν αὐτοῖς δακτυλίους.

3. Ἀγαπᾶν) Τὸ παρ' ἡμῖν, ἀξιοῦντες ἵνα εὐχαριστῶσι καὶ εἰς τοῦτο, ὅτι κατεδέχθησαν, καὶ ἔβλεψαν μικρόν τι πρὸς αὐτούς.

4. Ὡς Πέρσ. νόμ.) Ξενοφ. κεφ. ε'. 25. «Πέρσαι τοὺς βασιλεῖς ἑαυτῶν ὡς θεοὺς «προσκυνοῦσι καὶ οἱ μὲν ἴσοι ἀλλήλους «καταφιλοῦσιν· οἱ δὲ ταπεινότεροι τῶν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μοιότητι, τὸ στῆθος, ἢ τὴν δεξιὰν καταφιλεῖν, ζηλωτὸν καὶ περιβλεπτον τοῖς μηδὲ τούτου τυγχάνουσιν· ὁ δ' ἔστηκε παρέχων
5 ἑαυτὸν εἰς πλείω χρόνον ἐξαπατώμενον. Ἐπαινῶ δέ γε ταύτης αὐτοὺς τῆς ἀπανθρωπίας, ὅτι μηδὲ τοῖς στόμασιν ἡμᾶς προσίενται.

κβ'. Πολὺ δὲ τούτων οἱ προσιόντες αὐτοὶ καὶ θεραπεύοντες γελοιότεροι· νυκτὸς μὲν ἐξανιστάμενοι μέσης, περιθέοντες δὲ ἐν κύκλῳ τὴν πόλιν, καὶ πρὸς τῶν οἰκετῶν ἀποκλειόμενοι, κύνες, καὶ
2 κόλακες καὶ τὰ τοιαῦτα ἀκούειν ὑπομένοντες. Γέρας δὲ τῆς πικρᾶς ταύτης αὐτοῖς περιόδου, τὸ φορτικὸν ἐκεῖνο δεῖπνον, καὶ πολλῶν αἴτιον συμφορῶν· ἐν ᾧ πόσα μὲν ἐμφαγόντες, πόσα δὲ παρὰ γνώμην ἐμπιόντες, πόσα δὲ, ὧν οὐκ ἐχρῆν, ἀπολαλήσαντες, ἢ μεμφόμενοι τὸ τελευταῖον, ἢ δυσφοροῦντες ἀπίασιν, ἢ διαβάλλοντες τὸ δεῖπνον, ἢ ὕβριν, ἢ μικρολογίαν ἐγκαλοῦντες, πλήρεις δὲ αὐτῶν ἐμούντων οἱ στενωποὶ, καὶ πρὸς τοῖς χα-
3 μαιτυπείοις μαχομένων. Καὶ μεθ' ἡμέραν οἱ πλείονες αὐτῶν κατακλιθέντες, ἰατροῖς παρέχουσιν ἀφορμὰς περιόδων. Ἔνιοι μὲν γὰρ, τὸ καινότατον, οὐδὲ νοσεῖν σχολάζουσιν.

κγ'. Ἐγὼ μέντοι γε πολὺ τῶν κολακευομένων ἐξωλεστέρους τοὺς κόλακας ὑπείληφα· καὶ σχεδὸν αὐτοῖς ἐκείνους καθίστασ-
2 θαι τῆς ὑπερηφανίας αἰτίους. Ὅταν γὰρ αὐτῶν τὴν περιουσίαν θαυμάσωσι, καὶ τὸν χρυσὸν ἐπαινέσωσι, καὶ τοὺς πυλῶνας ἔωθεν ἐμπλήσωσι, καὶ προσελθόντες ὥσπερ δεσπότας προσεί-
3 πωσι, τί καὶ φρονήσειν ἐκείνους εἰκὸς ἐστίν; Εἰ δέ γε κοινῷ δόγματι κἂν πρὸς ὀλίγον ἀπέσχοντο τῆσδε τῆς ἐθελοδουλείας, οὐκ ἂν οἶει τοὺναντίον αὐτοὺς ἐλθεῖν ἐπὶ τὰς θύρας τῶν πτωχῶν δεομένους τοὺς πλουσίους, μὴ ἀθέατον αὐτῶν μηδ' ἀμάρτυρον τὴν εὐδαιμονίαν καταλιπεῖν, μηδ' ἀνόνητόν τε καὶ ἄχρηστον τῶν τραπεζῶν τὸ κάλλος, καὶ τῶν οἴκων τὸ μέγεθος; Οὐ γὰρ οὕτω τοῦ πλουτεῖν ἐρῶσιν, ὡς τοῦ διὰ τὸ πλουτεῖν εὐ-

---

«καρεῖν τῶν μειζόνων μόνον τυγχάνουσι.»

— Τὸ στῆθος) Περὶ τοῦ ἔθους τούτου καὶ Πλούταρχ. ἐν Βρουτ. φησί. Καὶ στέρνα καὶ κεφαλὴν κατεφίλουν.

— Περιβλ.) Δοκεῖ ἐλλείπειν τὸν προσελθόντα εἶναι.

— Τοῖς μηδὲ τούτ.) Τοῦ φιλῆσαι δηλ. τὸ στῆθος ἢ τὴν δεξιὰν τοῦ πλουτοῦντος.

— Ὁ δ') Οὗτος δὲ, ὁ πλουτῶν δηλ.

5. Ὅτι μηδὲ τοῖς στόμ.) Διὰ τί δή; ὅτι πάντως δῖξει αὐτῶν τὰ στόματα.

κβ'. 2. Τὸ φορτικὸν ἐκεῖνο) Τῶν Ῥωμαίων οἱ πλουτοῦντες εἱστίων τοὺς παρασίτους αὐτῶν· καὶ τισιν ἡμέραις οἵτινες πρὸς ἡδονὴν ἐκείνων πάντα ἐποιοῦν τε καὶ ἔπραττον καὶ ἔλεγον.

— Παρὰ γνώμ.) Ἑαυτῶν δηλ.

3. Ἀφορμὰς περιόδ.) Περιέρχεσθαι δηλ. τοὺς ἰατρούς.

κγ'. 3. Μὴ ἀθέατ.) Εὐριπίδ. Μηδ. στίχ. 542.

Εἴη δ' ἔνοιγε μήτε χρυσὸς ἐν δόμοις.
Μήτ' Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος.
Εἰ μὴ πίσημος ἡ τυχὴ γένοιτό μοι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θαυμανίζεσθαι. Καὶ οὕτω δὲ ἔχει, μηδὲν ὄρελος εἶναι περικαλ- 4
λοῦς οἰκίας τῷ οἰκοῦντι, μηδὲ χρυσοῦ καὶ ἐλέφαντος, εἰ μή τις
αὐτὰ θαυμάζοι. Ἐχρῆν οὖν ταύτῃ τοι καθαιρεῖν αὐτῶν, καὶ 5
ἀπευωνίζειν τὴν δυταστείαν, ἐπιτειχίσαντα τῷ πλούτῳ τὴν ὑ-
περοψίαν· νῦν δὲ λατρεύοντες, εἰς ἀπόνοιαν ἄγουσι.

κδ'. Καὶ τὸ μὲν ἄνδρας ἰδιώτας, καὶ ἀναφανδὸν τὴν ἀπαι-
δευσίαν ὁμολογοῦντας τὰ τοιαῦτα ποιεῖν, μετριώτερον ἂν εἰκό-
τως νομισθείη. Τὸ δὲ καὶ τῶν φιλοσοφεῖν προσποιουμένων, πολ-
λῷ ἔτι τούτων γελοιότερα δρᾶν, τοῦτ' ἤδη τὸ δεινότατόν ἐστι.
Πῶς γὰρ οἴει τὴν ψυχὴν διατεθεῖσθαί μοι, ὅταν ἴδω τούτων 2
τινά, μάλιστα τῶν προσθεδηκότων, ἀναμεμιγμένον κολάκων ὄχ-
λῳ, καὶ τῶν ἐπ' ἀξίας τινὰ δορυφορούντα, καὶ τοῖς ἐπὶ τὰ δεῖ-
πνα παραγέλλουσι κοινολογούμενον, ἐπισημότερον δὲ τῶν ἄλ-
λων ἀπὸ τοῦ σχήματος ὄντα, καὶ φανερώτερον; Καί, ὁ μάλι- 3
στα ἀγανακτῶ, ὅτι μὴ καὶ τὴν σκευὴν μεταλαμβάνουσι, τὰ
ἄλλα γε ὁμοίως ὑποκρινόμενοι τοῦ δράματος.

κέ. Ἃ μὲν γὰρ ἐν τοῖς συμποσίοις ἐργάζονται, τίνι τῶν
καλῶν εἰκάσομεν; Οὐκ ἐμφορούνται μὲν ἀπειροκαλώτερον, 2
μεθύσκονται δὲ φανερώτερον, ἐξανίστανται δὲ πάντων ὕστατοι,
πλείω δὲ ἀποφέρειν τῶν ἄλλων ἀξιοῦσιν; Οἱ δὲ ἀστειότεροι
πολλάκις αὐτῶν καὶ ἆσαι προήχθησαν· καὶ ταῦτα μὲν οὖν γε- 3
λοῖα ἡγεῖτο. Μάλιστα δὲ ἐμέμνηντο τῶν ἐπὶ μισθῷ φιλοσοφούν-
των, καὶ τὴν ἀρετὴν ὤνιον ὥσπερ ἐξ ἀγορᾶς προτιθέντων. Ἐρ- 4
γαστήρια γοῦν ἐκάλει καὶ καπηλεῖα τὰς τούτων διατριβάς. Ἠ-
ξίου γὰρ τὸν πλούτου καταφρονεῖν διδάξοντα, πρῶτον ἑαυτὸν
παρέχειν ὑψηλότερον λημμάτων.

---

4. Μηδὲν ὄρελ.) Ὥστε μηδὲν εἶναι ὄφελος περικαλ. καὶ τλ.

5. Ταύτῃ τοι) Ἐπὶ ταύτῃ δηλ. τῇ οἴεται· διὰ τοῦτο· καὶ ἔστι τὸ Ταύτῃ τοι, καθάπερ καὶ τὸ Ταῦτά τοι αἰτιολογικὸν μόριον κατ' ἔλλειψιν λεγόμενον.

— Καὶ ἀπευων.) Εὐωνον ποιεῖν, καὶ ἐξευτελίζειν.

— Ἐπιτειχίσ.) Ἀντὶ τοῦ, ὥσπερ τείχισμα προτιθέντας κατὰ τοῦ πλούτου τὴν ὑπεροψίαν.

κδ'. 2. Κοινολογ.) Οἱ γὰρ πλουτοῦντες ἐν Ῥώμῃ προσέταττον τοὺς οἰκέτας προσαλεῖν ἐπὶ τὰ δεῖπνα· οἷς κοινολογούμενον τὸν φιλόσοφον οὐκ ἔφερεν ὁρᾶν Νιγρῖνος.

— Ἀπὸ τοῦ σχήμ.) Τριβώνιον γὰρ ἴδιον τῶν φιλοσόφων ἐν Ῥώμῃ ἐνδυμα ἦν, ὅθεν φανεροὶ πᾶσιν ἦσαν.

3. Μεταλαμβάν.) Τὸ μεταλαμβάνω γενικῇ οἷον· μεταλαμβάνω τῆς ὠφελείας· συντάσσεται δὲ καὶ αἰτιατικῇ οἷον· οὐ μεταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων· ἔνθα δηλ. μέρος σημαίνει, γενικῇ· ἔνθα δὲ τὸ ὅλον, αἰτιατικῇ.

— Τοῦ δράμ.) Τῆς κολακείας· μεταφορικῶς ἀπὸ τῶν ὑποκριτῶν· ἡ δὲ γενικὴ κτητικῶς πρὸς τὰ ἄλλα πράγματα.

κέ. 2. Ἀποφέρ.) Ἐκ τούτου δοκεῖ ὅτι οἱ παράσιτοι μετὰ τὸ δεῖπνον τὸ ἀπὸ τῆς τραπέζης λειπόμενον μεθ' ἑαυτῶν ἐλάμβανον.

3. Ὥσπερ ἐξ ἀγορ.) Ὥσπερ ἐξ ἀγορᾶς ὧν πριάσθαι.

4. Ἐργαστήρ.) Τὰ τῶν τοιούτων φιλοσόφων διδασκαλεῖα τοῖς ἐργαστηρίοις καὶ καπηλείοις παρεβάλλει Νιγρῖνος· ὃ' ἐλέγξῃ τοὺς ἀνοήτους φιλοσόφους.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κγ'. Ἀμέλει καὶ πράττων ταῦτα διετέλει· οὐ μόνον προῖκα τοῖς ἀξιοῦσι συνδιατρίβων, ἀλλὰ καὶ τοῖς δεομένοις ἐπαρκῶν, καὶ πάσης περιουσίας καταφρονῶν· τοσοῦτον δέον ὀρέγεσθαι τῶν οὐδὲν προσηκόντων, ὥστε μηδὲ τῶν ἑαυτοῦ φθειρομένων ποιεῖσθαι πρόνοιαν· ὅς γε καὶ ἀγρὸν οὐ πάρρω τῆς πόλεως κεκτημένος, οὐδὲ ἐπιβῆναι αὐτοῦ πολλῶν ἐτῶν ἠξίωσεν, ἀλλ' οὐδὲ
2 τὴν ἀρχὴν αὐτοῦ εἶναι διωμολόγει. Ταῦτ' οἶμαι διειλημμένως, ὅτι τούτων μὲν φύσει οὐδενός ἐσμεν κύριοι, νόμῳ δὲ καὶ διαδοχῇ τὴν χρῆσιν αὐτῶν εἰς ἀόριστον παραλαμβάνοντες, ὀλιγοχρόνιοι δεσπόται νομιζόμεθα, κἀπειδὰν ἡ προθεσμία παρέλθῃ,
3 τηνικαῦτα παραλαβὼν ἄλλος ἀπολαύει τοῦ ὀνόματος. Οὐ μικρὰ δὲ ἐκεῖνα παρέχει τοῖς ζηλοῦν ἐθέλουσι παραδείγματα, τῆς τροφῆς τὸ ἀπέριττον, καὶ τῶν γυμνασίων τὸ σύμμετρον, καὶ τοῦ προσώπου τὸ αἰδέσιμον, καὶ τῆς ἐσθῆτος τὸ μέτριον· ἐφ' ἅπασι δὲ τούτοις, τῆς διανοίας τὸ ἡρμοσμένον, καὶ τὸ ἥμερον τοῦ τρόπου.

κζ'. Παρῄνει δὲ τοῖς συνοῦσι μήτ' ἀναβάλλεσθαι τὸ ἀγαθόν, ὅπερ τοὺς πολλοὺς ποιεῖν, προθεσμίας ὁριζομένους ἑορτάς, ἢ πανηγύρεις, ὡς ἀπ' ἐκείνων ἀρξαμένους τοῦ μὴ ψεύσασθαι, καὶ τοῦ τὰ δέοντα ποιῆσαι. Ἠξίου γὰρ ἀμέλλητον εἶναι τὴν πρὸς
2 τὸ καλὸν ὁρμήν. Δῆλος δὲ ἦν καὶ τῶν τοιούτων κατεγνωκὼς φιλοσόφων, οἱ ταύτην ἄσκησιν ἀρετῆς ὑπελάμβανον, ἣν πολλαῖς ἀνάγκαις, καὶ πόνοις τοὺς νέους ἀντέχειν καταγυμνάσωσι· τοῦτο μὲν δεῖν οἱ πολλοὶ κελεύοντες, ἄλλοι δὲ μασιτγοῦντες· οἱ δὲ χαριέστεροι, καὶ σιδήρῳ τὰς ἐπιφανείας αὐτῶν καταξύοντες.

κη. Ἡγεῖτο γὰρ χρῆναι πολὺ πρότερον ἐν ταῖς ψυχαῖς τὸ

κγ'. Ἀμέλ.) Οὐ μόνον ἔλεγε ταῦτα, ἀλλὰ καὶ πράττων διετέλει ὁ Νιγρῖνος, ἅτε ἀληθὴς φιλόσοφος ὤν. — Ποιεῖσθαι πρόν.) Περιορᾶσις, ἀντὶ φροντίζειν.

— Οὐδὲ ἐπιβῆναι) Ἀλλὰ τοῦτό γε, εἰ καὶ τις ἄλλος ἐν ἐπαινῳ θείη, τῷ γε μὴν εὖ ἐπιστήσαντι τὸν νοῦν, οὐ τῶν ἐπαινουμένων· ἀργὴς γὰρ καὶ ῥαθύμου ψυχῆς ἴδιον, μὴ εἰδυῖας εἰς δέον χρῆσθαι τῷ κτήματι· φιλοπόνου γὰρ ἀνδρὸς καὶ μετὰ λόγου κρίνοντι τὸ, ἐργαζόμενον ὠφελεῖν καὶ ἄλλους ἐκ τῆς ἐργασίας ταύτης κατὰ τὰς μελίττας, καὶ μὴ τοὺς κηφῆνας μιμούμενον. — Τὴν ἀρχ.) Ὡμολόγει γὰρ ὅτι παντάπασιν οὐκ ἦσαν ἴδια αὐτοῦ· ὥσπερ καὶ Εὐριπ. ἐν Φοιν. στίχ. 557. φησίν.

Θῦτοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοί,

Τὰ τῶν θεῶν δ' ἔχοντες ἐπιμελούμεθα.

2. Ταῦτ') Ἐποίει δηλ. κατὰ νοῦν θείς.

3. Τῆς διανοίας τὸ ἡρμ.) Ἀντὶ τὸ ἡρμοσμένη διάνοια, καὶ ὁ ἥμερος τρόπος· μεταλαμβάνεται δὲ ἐν τοῖς τοιούτοις τὸ οὐσιαστικὸν εἰς γενικὴν καὶ τὸ ἐπίθετον εἰς οὐδέτερον μετὰ πτώσεως, ἣν ἀπαιτεῖ τὰ τῆς συντάξεως.

κζ'. Ἀμέλλητον) Ἀπὸ τοῦ μέλλω, μελλήσω· οἷον ἔλεγε γὰρ ὅτι οὐ δεῖ διαμέλλειν εἰς τὸ ὁρμᾶν πρὸς τὸ ἀγαθόν, ἀναβάλλοντας τὸν καιρόν.

2. Τοῦτο μὲν δεῖν) Τὸ αἰδοῖον δηλόβδεν καὶ Διογεν. Λαέρ. ἐπαινῶν Ξενοκράτην Δ'. ζ'. φησὶν· «οὕτως εἶναι ἐγκρατῆ, ὥστε καὶ τομὰς καὶ καύσεις πολλὰς ὑπομεῖναι περὶ τὸ αἰδοῖον».

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στερρὸν τοῦτο καὶ ἀπαθὲς κατασκευάσαι, καὶ τὸν ἄριστα παι-
δεύειν ἀνθρώπους προαιρούμενον, τοῦτο μὲν ψυχῆς, τοῦτο δὲ
σώματος, τοῦτο δὲ ἡλικίας τε καὶ τῆς πρότερον ἀγωγῆς ἐστο-
χάσθαι, ἵνα μὴ τὰ παρὰ δύναμιν ἐπιτάττων ἐλέγχηται. Πολ- 2
λοὺς γοῦν καὶ τελευτᾶν ἔφασκεν οὕτως ἀλόγως ἐπιταττόντας· ἕ-
να δὲ καὶ αὐτὸς εἶδον, ὃς καὶ γευσάμενος τῶν παρ' ἐκείνοις
κακῶν, ἐπειδὴ τάχιστα λέγων ἀληθῶν ἐπήκουσεν, ἀμεταστρε-
πτὶ φεύγων ὡς αὐτὸν ἀρίκετο, καὶ δῆλος ἦν ῥᾴων διακείμενος.

κθ'. Ἤδη δὲ τούτων ἀποστάς, τῶν ἄλλων αὖθις ἀνθρώπων
ἐμέμνητο, καὶ τὰς ἐν τῇ πόλει ταραχὰς διεξῄει, καὶ τὸν ὠ-
θισμὸν αὐτῶν, καὶ τὰ θέατρα, καὶ τὸν ἱππόδρομον, καὶ τὰς
τῶν ἡνιόχων εἰκόνας, καὶ τὰ τῶν ἵππων ὀνόματα, καὶ τοὺς
ἐν τοῖς στενωποῖς περὶ τούτων διαλόγους. Πολλὴ γὰρ ὡς ἀληθῶς
ἡ ἱππομανία, καὶ πολλῶν ἤδη σπουδαίων εἶναι δοκούντων
ἐπείληπται.

λ'. Μετὰ δὲ ταῦτα, ἑτέρου δράματος ἥπτετο τῶν ἀμφὶ τὴν
νεκυΐαν τε καὶ διαθήκας καλινδουμένων, προστιθεὶς, ὅτι μιαν
φωνὴν οἱ Ῥωμαίων παῖδες ἀληθῆ παρ' ὅλον τὸν βίον προίεν-
ται, τὴν ἐν ταῖς διαθήκαις λέγων, ἵνα μὴ ἀπολαύσωσι τῆς
σφετέρας ἀληθείας. Ἃ δὲ καὶ μεταξὺ λέγοντος αὐτοῦ γελᾶν 2
προήχθην, ὅτι καὶ συγκατορύττειν ἑαυτοῖς ἀξιοῦσι τὰς ἀμαθ-
θείας, καὶ τὴν ἀναλγησίαν ἔγγραφον ὁμολογοῦσιν· οἱ μὲν ἐσθῆ- 3
τας ἑαυτοῖς κελεύοντες συγκαταφλέγεσθαι, οἱ δ' ἄλλο τι τῶν
παρὰ τὸν βίον τιμίων· οἱ δὲ καὶ παραμένειν τινὰς οἰκέτας τοῖς
τάφοις· ἔνιοι δὲ καὶ στέφειν τὰς στήλας ἄνθεσιν, εὐήθεις ὄντι
καὶ παρὰ τὴν τελευτὴν διαμένοντες.

λα'. Εἰκάζειν οὖν ἄξιον, τί πέπρακται τούτοις παρὰ τὸν βίον, εἰ
τοιαῦτα περὶ τῶν μετὰ τὸν βίον ἐπισκήπτουσι. Τούτους γὰρ εἶναι
τοὺς τὸ πολυτελὲς ἔψον ὠνουμένους, καὶ τὸν οἶνον ἐν τοῖς συμπο-

---

κθ'. Τοῦτο μέν . . . τοῦτο δὲ) Ἰδίωμα Ἕλληνος λόγου ἀντὶ τοῦ ἐν ἑνίοις μέν, ἐν ἑνίοις δέ.

2. Καὶ αὐτὸς εἶδ.) Ἔλεγε πρὸς τοὺς Στωϊκοὺς φασὶ τὸν λόγον ἀποτείνεσθαι οὗτοι γὰρ ἦσαν οἱ οὕτω βιοῦντες πλήρῶν.

κθ'. Τὸν ὠθισμόν) Τὸν παρακωνισμὸν δηλ. — Τὰς τῶν ἡνιόχ. εἰκ.) Ἔστησαν γὰρ εἰκόνας τῶν ἐπισταμένων ἡνιοχούντων· οὗ δὲ εἰ βούλει ἐνιδεῖν τὰς περιγραφὰς τῶν ἐπισταμένων τοῦτο πραξάντων. — Τὰ τῶν ἵπ. ὀνόμ.) Περὶ οὗ Ἰωάν. ὁ Χρυσόστ. οὕτω λέγει: «Καὶ νῦν μὲν πρὸς τὴν θεωρίαν τῆς τῶν ἵππων ἀρετῆς ἐπτόηνται, καὶ ὀνόματα, καὶ ἀγέλας, καὶ γένος, καὶ πατρίδα, καὶ ἀνατροφὴν τῶν ἵππων ἔχουσιν εἰπεῖν μετὰ ἀκριβείας ἁπάσης, καὶ ἔτι ἀξιῶς καὶ ἐνεργείας δρόμων. — Ἐπεκλήπται) Ἀντὶ ἐπελάθετο· τὸ παθητικὸν ἀντὶ μέσου· οὐ γάρ ἐστι μέσος παρακείμενος· καὶ ἔστιν ἀπὸ μεταφορᾶς τῶν ἀρξωστημάτων· οὕτω γοῦν καὶ Ἀλεκτρύων· ἢν ποτε κοῦρος πυρετὸς ἐπιλάθηται.

λ'. Ἵνα μὴ ἀπολ.) Καὶ τοῦτο ποιοῦσι, ἵνα μὴ ἔχουσι καιρὸν ἀπολαύσεως τῆς ἀληθείας αὐτῶν· ἀποθνήσκουσι γὰρ καὶ οὐκ ἂν ἀπολαύσειαν μετὰ θάνατον τῆς ἀληθείας αὐτῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σίοις μετὰ κρόκων τε καὶ ἀρωμάτων ἐκχέοντας, τοὺς μέσου χειμῶνος ἐμπιπλαμένους ῥόδων, καὶ τὸ σπάνιον αὐτῶν καὶ παράκαιρον ἀγαπῶντας, τὸ δὲ ἐν καιρῷ, καὶ κατὰ φύσιν, ὡς εὐτελὲς ὑπερηφανοῦντας· τούτους εἶναι τοὺς καὶ τὰ μύρα πίνοντας· ὃ καὶ μάλιστα διέσυρεν αὐτῶν, ὅτι μηδὲ χρῆσθαι ἴσασι ταῖς ἐπι-
2 θυμίαις. Ἀλλὰ κἂν ταύταις παρανομοῦσι, καὶ τοὺς ὅρους συγχέουσι, πάντοθεν τῇ τρυφῇ παραδόντες αὐτῶν τὰς ψυχάς πατεῖν, καὶ τοῦτο δὲ τὸ ἐν ταῖς τραγῳδίαις τε καὶ κωμῳδίαις λεγόμενον,
3 ἤδη καὶ παρὰ Σύραν εἰσθιαζόμενοι. Σολοικισμὸν οὖν ἐκάλει τὸ τοιοῦτον τῶν ἡδονῶν.

λδ΄. Ἀπὸ δὲ τῆς αὐτῆς γνώμης κἀκεῖνα ἔλεγεν, ἀτεχνῶς τοῦ Μώμου τὸν λόγον μιμησάμενος· ὡς γὰρ ἐκεῖνος ἐμέμφετο τοῦ ταύρου τὸν δημιουργὸν θεόν, οὐ προθέντα τῶν ὀφθαλμῶν τὰ κέρατα, οὕτω δὴ καὶ αὐτὸς ἠτιᾶτο τῶν στεφανουμένων, ὅτι μὴ ἴσασι τοῦ
2 στεφάνου τὸν τόπον. Εἰ γάρ τοι, ἔφη, τῇ πνοῇ τῶν ἴων τε καὶ ῥόδων χαίρουσιν, ὑπὸ τῇ ῥινὶ μάλιστα ἐχρῆν αὐτοὺς στέφεσθαι, παρ' αὐτὴν ὡς οἷόν τε τὴν ἀναπνοήν, ἵν' ὡς πλεῖστον ἀνέσπων τῆς ἡδονῆς.

λγ΄. Καὶ μὴν κἀκείνους διεγέλα, τοὺς θαυμάσιόν τινα τὴν σπουδὴν περὶ τὰ δεῖπνα ποιουμένους, χυμῶν τε ποικιλίαις καὶ
2 πεμμάτων περιεργίαις. Καὶ γὰρ οὗ καὶ τούτους ἔφασκεν ὀλιγόχρονίου τε καὶ βραχείας ἡδονῆς ἕνεκα, πολλὰς πραγματείας ὑπομένειν. Ὑπέραινε γοῦν τεσσάρων δακτύλων αὐτοῖς εἵνεκα πάντα πονεῖσθαι τὸν πόνον, ἐφ' ὅσους ὁ μίκιστος ἀνθρώπου λαι-
3 μός ἐστιν. Οὔτε γάρ, πρὶν ἐμφαγεῖν, ἀπολαύειν τι τῶν ἐωνημένων, οὔτε βρωθέντων, ἡδὺ γενέσθαι τὴν ἀπὸ τῶν πολυτελεστέρων πλησμονήν· λοιπὸν οὖν εἶναι τὴν ἐν τῇ παρόδῳ γιγνομέ-
4 νην ἡδονὴν τοσούτων ὠνεῖσθαι χρημάτων. Εἰκότα δὲ πάσχειν ἔλεγεν αὐτούς, ὑπ' ἀπαιδευσίας τὰς ἀληθεστέρας ἡδονὰς ἀγνοοῦντας, ὧν ἁπασῶν φιλοσοφία χορηγός ἐστι τοῖς πονεῖν προαιρουμένοις.

λά. Ὑπερηφανοῦν.) Καταφρονοῦντας, ὑπερηφάνως παρερχομένους.

2. Καὶ παρὰ Σύραν) Παροιμία ἐπὶ τῶν ἀνεπιτηδείων· λεχθεῖσα μάλιστα, ὡς δοκεῖ, ἀπὸ τῶν ὑποκριτῶν, ὧν εἰσερχομένων εἰς τὴν σκηνὴν διὰ τῆς πόλης τὸ θέαμα ὑπό του ἐπιλαμβάνεται· ὅθεν καὶ τὸ ἐν ταῖς Τραγῳδίαις λεγόμενον.

3. Σολοικισμόν) Οὐ μόνον ἐν λόγοις ὁ σολοικισμός, ἀλλὰ καὶ ἐν ἔργοις.

λδ΄. 2. Ὑπὸ τῇ ῥινί) Ἀθήναιος δὲ φησιν Βιβλ. ΙΕ΄. ὅτι «Ὑπέθομις καὶ Ὑ»ποθυμιάδες στέφανοι παρ' Αἰολεῦσι καὶ »Ἴωσιν, οὓς περὶ τοὺς τραχήλους περι»τίθεντο· ὡς σαφῶς ἔστι μαθεῖν ἐκ τῆς »Ἀλκαίου καὶ Ἀνακρέοντος ποιήσεως.«

— Ἵν' ὡς... ἀνέσπων) Ἀντὶ ἵνα ἀναπνεῦσιν· ἀλλ' ὁ Ἵνα καὶ πρὸς ὁριστικὸν φέρεται παρωχημένον.

λγ΄. 3. Ἐν ἑτῇ παρόδῳ) Ἐν τῇ εἰς τὸ στόμαχον ἰούσῃ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λδ'. Περὶ δὲ τῶν ἐν τοῖς βαλανείοις δρωμένων πολλὰ μὲν διεξῆει, τὸ πλῆθος τῶν ἑπομένων τὰς ὕβρεις, τοὺς ἐπικειμένους τοῖς οἰκέταις, καὶ μικροῦ δεῖν ἐκφερομένους. Ἓν δέ τι καὶ μάλιστα 2
μισεῖν ἔῴκει, πολὺ δ' ἐν τῇ πόλει τοῦτο καὶ τοῖς βαλανείοις ἐπιχωριάζον. Προϊόντας γάρ τινας τῶν οἰκετῶν δεῖ βοᾷν, καὶ παραγγέλλειν προοράσθαι τοῖν ποδοῖν, ἤν ὑψηλόν τι ἢ κοῖλον μέλλωσιν ὑποβαίνειν, καὶ ὑπομιμνήσκειν αὐτοὺς, τὸ καινότατον,
ὅτι βαδίζουσι. Δεινὸν οὖν ἐποιεῖτο, εἰ στόματος μὲν ἀλλοτρίου 3
δειπνοῦντες μὴ δέονται, μηδὲ χειρῶν, μηδὲ τῶν ὤτων ἀκούοντες, ὀφθαλμῶν δὲ ὑγιαίνοντες ἀλλοτρίων δέονται προσῳμένων, καὶ ἀνέχονται φωνὰς ἀκούοντες δυστυχέσιν ἀνθρώποις πρεπούσας, καὶ
πεπληρωμένοις. Ταῦτα γὰρ αὐτὰ πάσχουσιν ἐν ταῖς ἀγοραῖς ἡ- 4
μέρας μέσης καὶ οἱ τὰς πόλεις ἐπιτετραμμένοι.

λέ. Ταῦτά τε καὶ πολλὰ ἕτερα τοιαῦτα διελθὼν κατέπαυε
τὸν λόγον. Ἐγὼ δὲ τέως μὲν ἤκουον αὐτοῦ τεθηπώς, μὴ σιωπήσῃ 2
πεφοβημένος. Ἐπειδὴ δὲ ἐπαύσατο, τοῦτο δὴ τὸ τῶν Φαιάκων
πάθος ἐπεπόνθειν. Πολὺν γὰρ δὴ χρόνον ἐς αὐτὸν ἀπέβλεπον 3
κεκληημένος· εἶτα πολλῇ συγχύσει καὶ ἰλιγγῳ κατειλημμένος
τοῦτο μὲν ἰδρῶτι κατεῤῥεόμην, τοῦτο δὲ φύγεσθαι βουλόμενος
ἐξέπιπτόν τε καὶ ἀνεκοπτόμην· καὶ ἥτε φωνὴ ἐξέλιπε, καὶ ἡ γλῶττα διημάρτανε· καὶ τέλος, ἐδάκρυον ἀπορούμενος. Οὐ γὰρ ἐξε- 4
πιπολῆς, οὐδ' ὡς ἔτυχεν ἡμῶν ὁ λόγος καθίκετο. Βαθεῖα δὲ καὶ
καίριος ἡ πληγὴ ἐγένετο· καὶ μάλα εὐστόχως ἐνεχθεὶς ὁ λόγος
αὐτὴν, εἰ οἷόν τε εἰπεῖν, διέκοψεν τὴν ψυχήν. Εἰ γάρ τι δεῖ κἀμὲ 5
ἤδη φιλοσόφων προσάψασθαι λόγων, ὧδε περὶ τούτων ὑπείληφα.

λς'. Δοκεῖ μοι ἀνδρὸς εὐφυοῦς ψυχὴ μάλα σκοπῷ τινι ἀπαλῷ
προσεοικέναι. Τοξόται δὲ πολλοὶ μὲν ἀνὰ τὸν βίον, καὶ με- 2
στοὶ τὰς φαρέτρας ποικίλων τε καὶ παντοδαπῶν λόγων, οὐ μὴν πάντες εὔστοχα τοξεύουσιν· ἀλλ' οἱ μὲν αὐτῶν σφόδρα τὰς νευρὰς ἐπιτείναντες, εὐτονώτερον τοῦ δέοντος ἀφιᾶσι· καὶ ἅπτονται μὲν καὶ οὗτοι τῆς ὁδοῦ, τὰ δὲ βέλη αὐτῶν οὐ μένει ἐν τῷ σκοπῷ, ἀλλ' ὑπὸ τῆς σφοδρότητος διελθόντα καὶ παροδεύσαντα

λδ'. Ἐκφερομένους) Ἐκφορὰ ἐστιν ἡ εἰς ταφὴν ἔξοδος.

4. Ταῦτα γὰρ αὐ.) Τὸ παρ' ἡμῖν, τὰῦδα.

λέ. 2. Τὸ τῶν Φαιάκων) Οἵτινες ἀπορούντες τοῖς λόγοις Ὀδυσσέως, ἔμενον κεκηνότες. Ὁμήρ. Ὀδύσ. Α. στιχ. 332.

Ὣς ἔφατ· οἱ δὲ ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ,
Κηληθμῷ δ', ἔσχοντο κατὰ μέγαρα ἀκουάζοντες.

3. Τοῦτο μὲν . . . τοῦτο δὲ) Ἀντὶ Νῦν μὲν, νῦν δέ.

4. Καθίκετ.) Γενικῇ δια τὴν Κατά.

5. Ὑπείληφα) Τοιαύτην ἔχω ὑπόληψιν περὶ τῶν φιλοσόφων λόγων.

λς'. 2. Μεστοὶ τὰς φαρέτρας) Ἤτοι ἔχοντες τὰς φαρέτρας πλήρεις ποικιλ. ἐκμεταφορᾶς τῶν τοξευόντων ταῦτα περὶ τῶν φιλοσόφων λέγεται.

— Τῆς ὁδοῦ) Τῆς πρὸς τὸν σκοπὸν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

3 κεχρηνυῖαν μόνον τῷ τραύματι τὴν ψυχὴν ἀπέλιπεν. Ἄλλοι δὲ πάλιν τούτοις ἀπεναντίως· ὑπὸ γὰρ ἀσθενείας τε καὶ ἀτονίας οὐδὲ ἀφικνεῖται τὰ βέλη αὐτοῖς ἄχρι πρὸς τὸν σκοπόν· ἀλλ' ἐκλυθέντα καταπίπτει πολλάκις ἐκ μέσης τῆς ὁδοῦ· ἢν δέποτε καὶ ἀφίκηται, ἄκρον μὲν ἐπιλιγδὴν ἅπτεται, βαθεῖαν δὲ οὐκ ἐργάζεται πληγήν· οὐ γὰρ ἀπ' ἰσχυρᾶς ἐμβολῆς ἀπεστέλλετο.

λζ. Ὅστις δὲ ἀγαθὸς τοξότης, καὶ τούτῳ ὅμοιος, πρῶτον μὲν ἀκριβῶς ὄψεται τὸν σκοπόν, εἰ μὴ σφόδρα μαλακός, εἰ μὴ στερρότερος τοῦ βέλους· γέγονται γὰρ δὴ καὶ ἄτρωτοι σκοποί.
2 Ἐπειδὰν δὲ ταῦτα ἴδῃ, τηνικαῦτα χρίσας τὸ βέλος οὔτε ἰῷ, καθάπερ τὰ Σκυθῶν χριέται, οὔτε ὀπῷ, καθάπερ τὰ Κουρήτων, ἀλλ' ἡρέμα δηκτικῷ τε καὶ γλυκεῖ φαρμάκῳ τοῦτο χρίσας ἀ-
3 τεχνῶς ἐτόξευσε. Τὸ δὲ ἐνεχθὲν εὖ μάλα εὐτόνως, καὶ διακόψαν ἄχρι τοῦ διελθεῖν, μένει τε, καὶ πολὺ τοῦ φαρμάκου ἀφίησιν. Ὁ
4 δὴ σκιδνάμενον ὅλην ἐν κύκλῳ τὴν ψυχὴν περιέρχεται. Τοῦτό τοι καὶ ἥδονται καὶ δακρύουσι μεταξὺ ἀκούοντες, ὅπερ καὶ αὐτὸς ἔπασχον, ἡσυχῇ ἄρα τοῦ φαρμάκου τὴν ψυχὴν περιθέοντος. Ἐ-
5 πεὶ δ' οὖν μοι πρὸς αὐτὸν τὸ ἔπος ἐκεῖνο λέγειν,

Βάλλ' οὕτως, αἴ κέν τι φόως ἀνδρεσσι γένηαι.

6 Ὥσπερ γὰρ οἱ τοῦ Φρυγίου αὐλοῦ ἀκούοντες οὐ πάντες μαίνονται, ἀλλ' ὁπόσοι αὐτῶν τῇ Ῥέᾳ λαμβάνονται, οὗτοι δὲ πρὸς τὸ μέλος ὑπομιμνήσκονται τοῦ πάθους, οὕτω δὲ καὶ φιλοσόφων ἀκούοντες, οὐ πάντες ἔνθεοι καὶ τραυμασίαι ἁπίασιν, ἀλλ' οἷς ὑπήν τι ἐν τῇ φύσει φιλοσοφίας συγγενές.

λη. Ἑταῖρ. Ὦς σεμνά, καὶ θαυμάσια, καὶ θεῖά γε, ὦ ἑταῖρε, διελήλυθας· ἐλελήθεις τέ με πολλῆς ὡς ἀληθῶς τῆς ἀμβροσίας, καὶ
2 τοῦ λωτοῦ κεκορεσμένος. Ὥστε καὶ μεταξὺ σοῦ λέγοντος ἔπασχόν τι ἐν τῇ ψυχῇ καὶ παυσαμένου, ἄχθομαι καὶ μὴ θαυμάσῃς· οἶσθα γὰρ ὅτι καὶ οἱ πρὸς τῶν κυνῶν τῶν λυσσώντων δηχθέντες, οὐκ αὐ-

---

φερομένης. — Κεχρηνυῖαν) Οὐδὲν ἄλλο ἀπολαύσασαν ἢ τὸ τραῦμα· περὶ τῶν σκληρᾶ διαίτῃ χρωμένων ὁ λόγος· οἷοι εἰσὶν οἱ Στωικοί.

3. Ἄλλοι δὲ) Τοὺς Ἐπικουρίους ἴσως ἐννοεῖ· ἢ ἄλλους τινάς. — Ἐπιλιγδὴν) Ἐκ τοῦ Ὁμήρου. Ἰλ. Ρ. στίχ. 599.

Ἄκρον ἐπιλιγδὴν γράψεν δὲ οἱ ὀστέον ἄχρις.

Ὅπερ δηλοῖ οὐ κατὰ βάθος, ἀλλ' ὡς ἐπιψαῦσαι τρώσαντα ἐξ ἐπιπολῆς τὴν ἐπιφάνειαν.

λζ. Τούτῳ) Τῷ Νέρωνι.

2. Οὔτε ἰῷ) Τοῦτο τῶν Σκυθῶν τὸ ἔθος συνεχῶς εὑρήσεις παρὰ Ὀβιδίῳ ἐν τῇ φυγῇ μεμνημένον. — Ὀπῷ) Περὶ τούτου βεβαιόν τι λέγειν ἐγὼ μὲν οὐκ ἔχω· ἄλλος δέ τις εἰπάτω.

4. Τοῦτό τοι) Διὰ τοῦτο κατ' ἔλλειψιν δηλ. — Ἄρα) Ὡς ἔοικε.

5. Βάλλ' οὕτ.) Ὁμήρ. Ἰλ. Θ. στιχ. 282. Τόνες, ἠ ἦχος παρ' ἡμῖν οὕτω καλούμενος ᾧ ἐχρῶντο ἐν τοῖς μυστηρίοις Διονύσου καὶ Ῥέας.

6. Τοῦ Φρυγ.) Τῇ Ῥέᾳ λαμβάνονται. Καταλαμβάνονται ὑπὸ τῆς Ῥέας μητρὸς τῶν θεῶν εὐθεῖα δηλαδὴ γενομένοις.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοὶ μόνοι λυσσῶσιν, ἀλλὰ κἄν τινας ἑτέρους [καὶ αὐτοὶ] ἐν τῇ μανίᾳ τὸ αὐτὸ τοῦτο διαθῶσι, καὶ αὐτοὶ ἔκφρονες γίγνονται. Συμμεταβαίνει γάρ τι τοῦ πάθους ἅμα τῷ δήγματι, καὶ πολυγονεῖται ἡ νόσος, καὶ πολλὴ γίγνεται τῆς μανίας διαδοχή. — Λουκ. Οὐκοῦν καὶ αὐτὸς ἡμῖν ἐρᾷν ὁμολογεῖς; — Ἑταῖρ. Πάνυ μὲν οὖν, καὶ προσέτι δέομαί γέ σου κοινήν τινα τὴν θεραπείαν ἐπινοεῖν. — Λουκ. Τὸ τοῦ ἄρα Τηλέφου ἀνάγκη ποιεῖν. — Ἑταῖρ. Ποῖον αὖ λέγεις; — Λουκ. Ἐπὶ τὸν τρώσαντα ἐλθόντας, ἰᾶσθαι παρακαλεῖν. 3 4

Θ'. ΠΕΡΙ ΤΟΥ ΕΝΥΠΝΙΟΥ, ΗΤΟΙ ΒΙΟΣ ΛΟΥΚΙΑΝΟΥ (*).

α. Ἄρτι μὲν ἐπεπαύμην εἰς τὰ διδασκαλεῖα φοιτῶν, ἤδη τὴν ἡλικίαν πρόσηβος ὤν· ὁ δὲ πατὴρ ἐσκοπεῖτο μετὰ τῶν φίλων, ὅ,τι καὶ διδάξαιτό με. Τοῖς πλείστοις οὖν ἔδοξε παιδεία μὲν καὶ πόνου πολλοῦ, καὶ χρόνου μακροῦ, καὶ δαπάνης οὐ σμικρᾶς, καὶ τύχης δεῖσθαι λαμπρᾶς· τὰ δὲ ἡμέτερα μικρά τε εἶναι, 2

λλ. 2. Τὸ αὐτὸ τοῦτο διαθ.) Ἤτοι δάκωσί τινα.

3. Ἤδη) Πρὸς τὸ ὁμολογεῖς ἡ δεξιά.

5. Τὸ τοῦ Τηλέφου) Τῶν Ἑλλήνων ἀποβάντων εἰς Μυσίαν, καὶ διὰ τὸ ἄγνοεῖν, λεηλατούντων τὴν χώραν ὡς τῆς Τροίας, Τήλεφος ἐκεῖ βασιλεύων τότε, μαχόμενος ἐπλήγη ὑπ' Ἀχιλλέως· φιλιωθέντων δὲ τῶν Μυσίων καὶ Ἑλλήνων, καὶ μὴ ἰωμένης τῆς πληγῆς τοῦ Τηλέφου, ὀχρησμὸς ἀνεῖπε πρὸς τὸν τρώσαντα ἐλθόντα ἰᾶσθαι παρακαλεῖν. Ἀχιλλεὺς δὲ ἰᾶτο αὐτόν, συνθέμενος δεῖξαι τοῖς Ἕλλησι τὴν εἰς Τροίαν ἄγουσα. Περὶ τούτου δὲ καὶ Πλούταρχος ἐν τῷ περὶ τοῦ ἀκούειν φησίν. » Οὐ γὰρ μόνον, ὡς » Εὐρυπίδης φησὶ τὸ Τηλέφου τραῦμα » πριστοῖσι λόγχης ἤλγεσ' ῥινήμασιν, » ἀλλὰ καὶ τὴν ἐκ τῆς φιλοσοφίας ἐμ» φυόμενον εὐρύεσι νέοις δήγμὸν αὐτὸς ὁ » τρώσας λόγος ἴαται.«

(*) Ἐνύπνιον ἐπιγέγραπται ὁ λόγος οὗτος, ὡς ἐνυπνιό τι διηγουμένου τοῦ Λουκιανοῦ. Βίος δὲ, ὡς τὴν ἐξ ἀρχῆς αὐτοῦ κατάστασιν διηγουμένου. Τὸ δέ τοι Ἤτοι ἀντὶ τοῦ Ἤ, ἤ γοῦν ἐπεξήγηματικόν, ὡς εἰ ἔλεγε. Περὶ τοῦ Ἐνυπνίου τοῦ Λουκιανοῦ ὁ λόγος, μᾶλλον δὲ, ἤ, ἤγουν ὁ βίος τοῦ Λουκιανοῦ πρόκειται εἰς ἀνάγνωσιν. Ἔστι δὲ κατὰ μίμησιν τοῦ Προδίκου μύθου περὶ Ἡρακλέους Ξενοφ. Ἀπομν. Β'. α. 21. Προτρεπτικος δε μάλιστά ἐστιν εἰς παιδείαν ὁ λόγος οὗτος, διδάσκων τοὺς νέους παιδείας ἀντεχεσθαι, πράγματος ἀγαθοῦ καὶ πρὸς τὸν βίον χρησιμου.

α. Ἄρτι μὲν ἐπεπαύμην) Τὸ Ἄρτι παρωχημένον τι σημαῖνον μὴ πολὺ ἀφεστηκὸς τοῦ ἐνεστῶτος, καὶ τοιούτοις ἔδει χρόνοις συνταχθῆναι· ἤγουν Παρατατικῷ, ἢ Παρακειμένῳ, ἤγουν καὶ Ἀορίστῳ διὰ τὴν ἀόριστον αὐτοῦ ἔκτασιν· καὶ οὐχὶ Ὑπερσυντελικῷ, τῷ ἐπὶ πολὺ ἀφεστηκότος τοῦ ἐνεστῶτος παρωχηκότι σημαίνοντι. Εἰ μή τις· ἀντὶ Παρακειμένου τῷ συζύγῳ αὐτῷ Ὑπερσυντελικῷ συντετάχθαι εἴποι. — Φοιτῶν) Τὰ παύσεως ἢ λήξεως ῥήματα ἔχουσι μετοχὴν ἐπιφερομένην ἀντὶ προθετοπτώτου ἀπαρεμφάτου, ἤτοι Ἐπεπαύμην φοιτῶν· ἀντὶ ἀπὸ φοιτῶν. — Τὴν ἡλικίαν πρόσηβος) Κατὰ τὴν ἡλικίαν πρόσηβος. Τὰ γὰρ ἐπίθετα, τὸ μέρος ὁρίζοντα, πρὸς αἰτιατικὴν ἐλλειπτικῶς τῆς Κατὰ ὡς ἐπὶ τὸ πλεῖστον φέρονται. Πρόσηβος δὲ, ὁ πρὸς τοὺς ἐφήβους πλησίον ὢν· οἱ δ' ἔφηβοι ἀπὸ τῶν δεκαετεσσάρων ἄρχονται ἐτῶν. — Ὅ,τι καὶ διδάξαιτό με) Εἰς τίνος δηλονότι διδάσκαλον τέχνης ἢ ἐπιστήμης πέμψει με μαθησόμενον.

2. Καὶ τύχης δεῖσθαι λαμπρᾶς) Λαμπρὰν τύχην ἐνταῦθα δοκεῖ λέγειν τὴν λαμπρὰν οὐσίαν. Τοὺς γὰρ πλουσίους καὶ πολλὰς προσόδους ἔχοντας, τούτους καλοῦμεν λαμπροὺς τὴν τύχην. Εἰσὶ δέ τοι καὶ ἄλλα ἐν ἑκάστῃ ἐπιτηδεύσει τὰ τυχηρά· εἴ τις οὖν καὶ ταῦτα ἐνοεῖν, βούλοιτο, οὐδὲν κωλύει. — Μικρά τε εἶν.) Ἀπὸ κοινοῦ τό, Ἔδοξε τοῖς πλείστοις,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

3 καὶ ταχεῖάν τινα τὴν ἐπικουρίαν ἀπαιτεῖν. Εἰ δέ τινα τέχνην τῶν βαναύσων τούτων ἐκμάθοιμι, τὸ μὲν πρῶτον εὐθὺς ἂν αὐτὸς ἔχειν τὰ ἀρκοῦντα παρὰ τῆς τέχνης, καὶ μηκέτι οἰκόσιτος εἶναι, τηλικοῦτος ὤν· οὐκ εἰς μακρὰν δὲ καὶ τὸν πατέρα εὐφρανεῖν, ἀποφέρων ἀεὶ τὸ γιγνόμενον.

β'. Δευτέρας οὖν σκέψεως ἀρχὴ προὐτέθη, τίς ἀρίστη τῶν τεχνῶν, καὶ ῥᾴστη ἐκμαθεῖν, καὶ ἀνδρὶ ἐλευθέρῳ πρέπουσα, καὶ πρόχειρον ἔχουσα τὴν χορηγίαν, καὶ διαρκῆ τὸν πόρον. Ἄλ-
2 λου τοίνυν ἄλλην ἐπαινοῦντος, ὡς ἕκαστος γνώμης ἢ ἐμπειρίας εἶχεν, ὁ πατὴρ εἰς τὸν θεῖον ἀπιδών, (παρῆν γὰρ ὁ πρὸς μητρὸς θεῖος, ἄριστος ἁρμογλύφος εἶναι δοκῶν, καὶ λιθοξόος ἐν τοῖς μάλιστα εὐδόκιμος) οὐ θέμις, εἶπεν, ἄλλην τέχνην ἐπικρατεῖν,
3 σοῦ παρόντος· ἀλλὰ τοῦτον ἄγε, δείξας ἐμέ, καὶ διδάσκε παραλαβὼν λίθων ἐργάτην ἀγαθὸν εἶναι, καὶ συναρμοστὴν καὶ ἁρμογλυφέα· δύναται γάρ, καὶ τοῦτο φύσεώς γε, ὡς οἶσθα, ἔχων δε-
4 ξιός· ἐτεκμαίρετο δὲ ταῖς ἐκ τοῦ κηροῦ παιδιαῖς. Ὁπότε γὰρ ἀφεθείην ἀπὸ τῶν διδασκάλων, ἀποξέων ἂν τὸν κηρόν, ἢ βόας,

---

— Καὶ ταχεῖάν τινα τὴν ἐπικουρίαν) Ὁ νοῦς. Ἡ δὲ ἡμετέρα κατάστασις ταπεινή, καὶ ἄπορος οὖσα, ἀπαιτεῖ, ὡς ἔδοξε τοῖς πλείστοις, τέχνην, ἥτις μετὰ μικρὸν παρέξει τὴν ἀπ' αὐτῆς βοήθειαν εἰς τὸ ζῆν, καὶ ὠφέλειαν.

3. Τῶν βαναύσων) Βάναυσος πᾶς τεχνίτης διὰ πυρὸς ἐργαζόμενος· παρὰ τὸ τοὺς βάνους αὔειν· τοῦτ' ἔστι, τὰς καμείνους καιειν· καταθέδηκε δὲ ἡ λέξις καὶ εἰς τὸ πάντα χειροτέχνην δηλοῦν. — Εὐθὺς ἂν αὐτὸς ἔχειν) Ἐννοεῖται, ἐδόκουν τοῖς πλείστοις. Ὅθεν καὶ τὸ, αὐτὸς, καὶ, Οἰκόσιτος καὶ, τηλικοῦτος ὤν, κατ' ὀνομαστικὴν ἐτέθησαν, πρὸς τὸ ἐδόκουν ἀποδιδόμενα. — Οὐκ εἰς μακρὰν) Ἀπὸ κοινοῦ τὸ, ἐδόκουν. — Ἀποφέρων ἀεὶ) Προσφέρων δηλ. τῷ πατρὶ τὸ καθ' ἡμέραν ἐκ τῆς τέχνης κέρδος.

β'. Ἀρχὴ προὐτ.) Οὐδὲν ἄλλο δηλαδὴ ἐπεκέψατο, ἀλλ' ἡ αὕτη ἡ ἀρχὴ τῆς δευτέρας σκέψεως· τίς ἄριστ. καὶ τλ. — Καὶ ἀνδρὶ ἐλευθ.) Ἀνὴρ ἐλεύθερος, ὁ μὴ δοῦλος ὤν, ἀργυρώνητος ὑπάρχων. — Καὶ πρόχ. ἔχ. τὴν χορηγ.) Ἢ τις ἂν καθ' ἡμέραν παρέχοι τὰ ἀναγκαῖα καὶ ἱκανά.

2. Ὡς ἕκαστ. γνώμ. ἢ ἐμπ. εἶχ.) Ὁ νοῦς. Ἦν παρ ἕκαστος ὥστο τοιαύτην, καὶ ἣν ἔτυχεν ἔχων ἐμπειρίαν. Τὸ δὲ Εἶχω μετὰ ἐπιρρήματος καὶ γενικῆς ἐστιν ἀντὶ τοῦ Διάκειμαι· οἷον· ὡς ἕκαστος διέκειτο τὴν γνώμην καὶ ἐμπειριαν· ἢ καθ' ἣν ἕκαστος εἶχε γνώμην, καὶ ἐμπειριαν. — Ἐν τοῖς μάλιστα εὐδόκ.) Ἀντὶ καὶ, Λιθοξόος εὐδοκιμώτατος· ἢ μάλιστα εὐδόκιμος. Ἀντὶ δὲ τοῦ, Μάλιστα ἐτέθη τὸ, ἐν τοῖς μάλιστα, εἰθισμένον ὂν καὶ γὰρ Αἰλιαν. Ποικιλ. Ἱστορ. Α. λά. Νόμος ἐν τοῖς μάλιστα φυλαττόμενος, ἀντὶ Μάλιστα φυλαττόμενος· καὶ Λουκιαν. Ἀλεκτρ. Ἐν τοῖς μάλιστα θαυμάζεσθαι ἄξιος· καὶ Πλούταρχ. ἐν Κοριολ. Ἦν γὰρ ἐν τοῖς μάλιστα δεινὸς εἰπεῖν· καὶ Διονύσ. Ἁλικαρν. Α'. Τὸ τῶν Τρώων ἔθνος Ἑλληνικὸν ἐν τοῖς μάλιστα ἦν· καὶ Θουκυδ. Η'. γ'. Ἀνὴρ ἐν τοῖς μάλιστα καὶ ἐκ πλείστου ἐναντίος τῷ δήμῳ. Ἐστὶν οὖν τοιοῦτο. Ἦν λιθοξόος εὐδόκιμος μάλιστα ἐν τοῖς εὐδοκίμοις τῶν λιθοξόων· ὥσπερ τὸ εὐδόκιμος ἐν λόγοις.

3. Φύσεως ἔχων δεξ.) Δεξιῶς λαχὼν φύσεως· ἔχων εἰς τοῦτο ἐπιτηδειότητα.

4. Ὁπότε γὰρ ἀφεθ.) Πρὸς εὐκτικὸν τὸ Ὁπότε· περὶ γὰρ παρωχημένου ὁ λόγος. Διδασκάλους δὲ ἐκάλουν τοὺς διδάσκοντας τὴν τῶν γραμμάτων ἀναγνωσιν. — Ἀποξέων ἂν) Βεβαιωτικὸς δοκεῖ ὁ Ἄν, εἰ γοῦν παρέλειν ὡς εἰ ἔλεγεν· Ἀφεθεὶς ἀπὸ τῶν διδασκάλων, οὐδὲν ἕτερον ἐπαιζον παίζων, ἢ ἀποξέων

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἡ ἵππους, ἢ καὶ νὴ Δὶ' ἀνθρώπους ἀνέπλαττον, εἰκότως, ὡς ἐδόκουν τῷ πατρὶ· ἐφ' οἷς παρὰ μὲν τῶν διδασκάλων πληγὰς ἐ- 5
λάμβανον· τότε δὲ ἔπαινος ἐς τὴν εὐρυΐαν καὶ ταῦτα ἦν· καὶ χρηστὰς εἶχον ἐπ' ἐμοὶ τὰς ἐλπίδας, ὡς ἐν βραχεῖ μαθήσομαι τὴν τέχνην, ἀπ' ἐκείνης γε τῆς πλαστικῆς.

γ'. Ἅμα τε οὖν ἐπιτήδειος ἐδόκει ἡμέρα τέχνης ἐνάρχεσθαι, κἀγὼ παρεδιδόμην τῷ Θείῳ, μὰ τὸν Δί' οὐ σφόδρα τῷ πράγ- 2
ματι ἀχθόμενος· ἀλλά μοι καὶ παιδιάν τινα οὐκ ἀτερπῆ ἐδόκει ἔχειν, καὶ πρὸς τοὺς ἡλικιώτας ἐπιδείξειν, εἰ φαινοίμην Θεοῦς τε γλύφων, καὶ ἀγαλματιά τινα μικρὰ κατασκευάζων ἐμαυτῷ τε, κἀκείνοις, οἷς προσηρούμην. Καὶ τὸ γε πρῶτον ἐκεῖνο καὶ 3
σύνηθες τοῖς ἀρχομένοις ἐγίγνετο· ἐγκοπέα γάρ τινά μοι δοὺς ὁ Θεῖος, ἐκέλευσέ μοι ἡρέμα καθιέσθαι πλακὸς ἐν μέσῳ κειμένης, ἐπειπὼν τὸ κοινόν, Ἀρχὴ δέ τοι ἥμισυ παντός. Σκλη- 4
ρότερον δὲ κατενεγκόντος ὑπ' ἀπειρίας, κατέαγη μὲν ἡ πλάξ· ὁ δὲ ἀγανακτήσας, σκυτάλην τινὰ κειμένην πλησίον λαβών, οὐ πρᾴως, οὐδὲ προτρεπτικῶς μου κατήρξατο, ὥστε δάκρυά μοι τὰ πρόσφυα τῆς τέχνης.

δ'. Ἀποδρᾶς οὖν ἐκεῖθεν ἐπὶ τὴν οἰκίαν ἀφικνοῦμαι, συνεχὲς ἀνολολύζων, καὶ δακρύων τοὺς ὀφθαλμοὺς ὑπόπλεως· καὶ διηγοῦμαι τὴν σκυτάλην, καὶ τοὺς μώλωπας ἐδείκνυον· καὶ κα- 2
τηγόρουν πολλήν τινα ὠμότητα, προσθεὶς, ὅτι ὑπὸ φθόνου ταῦτα ἔδρασε, μὴ αὐτὸν ὑπερβάλωμαι κατὰ τὴν τέχνην. Ἀγανακτησαμένης δὲ τῆς μητρὸς, καὶ πολλὰ τῷ ἀδελφῷ λοιδο-

---

τὸν κηρὸν καὶ τλ. — Εἰκότως.) Κατὰ το εἰκός. Ἐπιτηδείως δηλαδὴ καὶ κατὰ τέχνην. Οὕτω γὰρ ἐδόκουν τῷ πατρὶ ἀναπλάττειν τὰ τοιαῦτα.

5. Ἐφ' οἷς) Ἔργοις. Διὰ ταύτας δηλ. τὰς παιδιὰς παρὰ μὲν καὶ τλ. — Ἀπ' ἐκείνης γε τῆς πλαστ.) Εἰκάζοντες ἢ ἐλπίζοντες.

γ'. 2. Εἰ φαινοίμην) Ἀνάλυσις τοῦ ὀνομαστικοῦ ἀπαρεμφάτου. Οἷον ἀλλὰ τὸ φανῆναι Θεοὺς γλύφοντα καὶ τλ. ἐδόκει μοι ἔχειν παιδιάν τινα.

3. Καθιέσθαι πλακ.) Καταγαγεῖν τὸν ἐγκοπέα ἐπὶ τῆς πλακός, ἱέσθαι κατὰ πλακός. — Ἀρχὴ δέ τι ἥμισ.) Ἐν δὲ Ἑρμοτίμῳ Λουκιαν. γ'. φησίν. Ἀλλὰ τὴν γε ἀρχὴν ὁ Ἡσίοδος ἥμισυ τοῦ παντὸς ἔφη εἶναι. Ὅθεν δοκεῖ εἰλῆφθαι τὸ παροιμιῶδες τουτὶ ἐκ τῶν Ἡσιόδου ἐν Ἔργοις στιχ. 40. — Ὅσῳ πλέον ἥμισυ παντὸς. Ἔστι δὲ παροιμία ὡς Πλάτων περὶ νόμων ς'. φησίν. Ἀρχὴ γὰρ λέγεται ἥμισυ παντὸς, ἐν ταῖς παροιμίαις, ἔργου λέγεται δὲ ἐπὶ τῶν εἴς τι προκοπτόντων.

4. Κατενεγκοντ.) Ἐμοῦ δηλ. — Καταῆρξατ.) Τὸ Κατάρχομαι ἐπὶ θυσιῶν λαμβάνεται· ὅτι προθύματά τινα ἐκ κριθῶν ἀπὸ μεμιγμένων οἰονεί τινας ἀπαρχὰς ἐγχέοντες τοῖς βωμοῖς οἱ ἀρχαῖοι Ἕλληνες, κατάρχειν ἔλεγον. Οὕτως οὖν καὶ ὁ Θεῖος ἤρξατο ἐκ πρώτης ἡμέρας.

— Δάκρυά μοι) Ἐννοεῖται, Εἶναι. Ὥστε τὴν ἀρχὴν τῆς τέχνης μοι εἶναι, φησὶ, δάκρυα.

δ'. Καὶ δακρ. τοὺς ὀφθαλμοὺς ὑπόπλ.) Καὶ δὴν ὑπόπλεως κατὰ τοὺς ὀφθαλμοὺς δακρύων καὶ ἔχων τοὺς ὀφθαλμοὺς ἐμπλεως δακρύων.

2. Κατηγόρουν) Τοῦ Θείου δηλ. — Μὴ αὐτὸν ὑπερβ.) Ἐννοεῖται, Φοβούμενος μή.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

3 ρησαμένης, ἐπεὶ νὺξ ἐπῆλθε, κατέδαρθον ἔτι ἔνδακρυς, καὶ τὴν νυχθ' ὅλην ἐννοῶν.

ε'. Μέχρι μὲν δὴ τούτων γελάσιμα καὶ μειρακιώδη τὰ εἰρημένα· τὰ μετὰ ταῦτα δὲ οὐκέτι εὐκαταφρόνητα, ὦ ἄνδρες, ἀκούσεσθε, ἀλλὰ καὶ πάνυ φιλήκοον ἀκροατῶν δεόμενα· ἵνα γὰρ καθ' Ὅμηρον εἴπω,

. . . Θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος, Ἀμβροσίην διὰ νύκτα,

ἐναργὴς οὕτως, ὥστε μηδὲν ἀπολείπεσθαι τῆς ἀληθείας· ἔτι γοῦν καὶ μετὰ τοσοῦτον χρόνον, τά τε σχήματά μοι τῶν φανέντων ἐν τοῖς ὀφθαλμοῖς παραμένει, καὶ ἡ φωνὴ τῶν ἀκουσθέντων ἔναυλος· οὕτω σαφῆ πάντα ἦν.

ς'. Δύο γυναῖκες λαβόμεναι τῶν χεροῖν εἷλκόν με πρὸς ἑαυτὴν ἑκατέρα μάλα βιαίως καὶ καρτερῶς· μικροῦ γοῦν με διε-
2 σπάσαντο πρὸς ἀλλήλας φιλοτιμούμεναι· καὶ γὰρ ἄρτι μὲν ἂν ἡ ἑτέρα ἐπεκράτει, καὶ παρὰ μικρὸν ἦλκε με, ἄρτι δὲ ἂν αὖθις ὑπὸ τῆς ἑτέρας εἱλκόμην. Ἐθέων δὲ πρὸς ἀλλήλας ἑκατέρα, ἡ μὲν, ὡς αὐτῆς ὄντα με κεκτῆσθαι βούλοιτο· ἡ δὲ,
3 ὡς μάτην τῶν ἀλλοτρίων ἀντιποιοιτο. Ἦν δὲ ἡ μὲν ἐργατική, καὶ ἀνδρική, καὶ αὐχμηρὰ τὴν κόμην, τὸ χεῖρε τύλων ἀνάπλεως, διεζωσμένη τὴν ἐσθῆτα, τιτάνου καταγέμουσα, οἷος ἦν ὁ Θεῖος, ὁπότε ξέοι τοὺς λίθους· ἡ ἑτέρα δὲ μάλα εὐπρόσωπος,
4 καὶ τὸ σχῆμα εὐπρεπής, καὶ κόσμιος τὴν ἀναβολήν. Τέλος δ'

---

3. Κατέδαρθ.) Τὸ ῥῆμα Δαρθάνω σημαίνει δὲ τὸ κοιμῶμαι. — Καὶ τὴν νυχθ' ὅλ.) Καὶ καθ' ὅλην τὴν νύκτα. Σημείωσαι ὅτι τὸ μὲν τ ἐτράπη εἰς θ διὰ τὴν ἑπομένην δασεῖαν· τὸ δὲ κ εἰς χ διὰ τὸ μὴ δύνασθαι κεῖσθαι ψιλὸν προθάσεος ἐν Ἑλληνικῇ λέξει.

ε'. Τὰ μετὰ τοῦτα καὶ τλ.) Ἀκούσεσθε δέ μου, ὦ ἄνδρες, τὰ μετὰ ταῦτα συμβεβηκότα λέγοντος, οὐχ ὡς εὐκαταφρόνητά τινα ὄντα, ἀλλὰ δεόμενα καὶ πάνυ φιλήκοων ἀκροατῶν. Οὕτω γὰρ κατὰ σύντομον ἐκφραζόμενον τὸ χωρὶς εὐξύνετον γένοιτο.

— Θεῖός μοι ἐνύπν.) Λόγοι δὲ οὗτοι τοῦ Ἀγαμέμνονος πρὸς τοὺς Ἕλληνας· ὅτε ἐκκλησίαν ἐποιήσατο ὑπὲρ τοῦ κατὰ τῆς Τροίας ὁρμῆσαι τοὺς Ἕλληνας. Ὅμηρ. Ι. Β. στίχ. 56 ὁ δὲ νοῦς. Καθ' ὕπνον ἦλθέ μοι ἐκ Θεοῦ ἐν νυκτὶ ἀρσενερῇ ὄνειρος, οὕτως ἐναργὴς· ὥστε σχεδὸν ἦν ἀληθῆ τὰ παρ' αὐτοῦ πάντα.

ς'. Δύο γυναῖκ.) Πρόδικος ὁ σοφὸς, διδάσκαλος Σωκράτους, καθ' ὅπαρ, φησὶν, εἶδε Ἡρακλῆς δύο γυναῖκας Ἀρετὴν καὶ Κακίαν. Ξενοφ. Ἀπομν. Β'. ἀ. 21. Λουκιανὸς δὲ καθ' ὕπνους Ἑρμογλυφικὴν καὶ Παιδείαν· ἐπέπλαστο δὲ τοῦτο τὸ ὄνειρον, δοκεῖ, ἐξ ἐκείνου. — Μικροῦ γοῦν) Δεῖν ἔλλειπε. Ἤτοι, Μικροῦ ἐδέησεν, ὥστε μὲ διασπᾶσθαι, ἕλκουσαι οὕτως ἐριλοτιμοῦντο πρὸς ἀλλήλας.

2. Ἄρτι μὲν ἂν) Νῦν μὲν σχεδόν· τοῦτο δύναται ὁ Ἄν. — Παρὰ μικρὸν) Ὅμοιον τοῦτο τῷ Ὀλίγου δεῖν· τοιοῦτο καὶ τὸ Παρ' ὀλίγον.

— Ἀντιποιεῖτο) Ἡ ἑτέρα δηλ. τοῦτο δέ ἐστι ταὐτὸ τῷ, ὡς αὐτῆς ὄντα μὲ κεκτῆσθαι βούλοιτο.

3. Ἀνάπλεως) Πλήρεις ἔχουσα τὰς χεῖρας τύλων. Τὸ δὲ Τὼ χεῖρε, Ἀττικῶς ἄρθρῳ ἀρσενικῷ ἐν τοῖς δυϊκοῖς τὰ θηλυκὰ συντάσσουσι. Τὸ δὲ τὴν κόμην, τὼ χεῖρε, τὴν ἐσθῆτα, συνεκδοχικὰ κατ' ἔλλειψιν τῆς Κατά. — Ὁπότε ξέοι) Πρὸς εὐκτικὸν διὰ τὸ παρῳχημένον τοῦ λόγου. — Τὸ σχῆμα) Κατὰ τὸ σχῆμα ὥσπερ καὶ κατὰ τὴν ἀναβολήν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὖν ἐφιᾶσί μοι δικάζειν, ὁποτέρᾳ βουλοίμην συνεῖναι αὐτῶν. Προτέρα δὲ ἡ σκληρὰ ἐκείνη καὶ ἀνδρώδης ἔλεξεν.

ζ'. Ἐγώ, φίλε παῖ, Ἑρμογλυφικὴ τέχνη εἰμί, ἣν χθὲς ἤρξω μανθάνειν, οἰκεία τέ σοι καὶ συγγενὴς οἴκοθεν· ὅ, τε γὰρ πάππος σου (εἰποῦσα τοὔνομα τοῦ μητροπάτορος,) λιθοξόος ἦν, καὶ τῷ θείῳ ἀμφοτέρω, καὶ μάλα εὐδοκιμεῖτον δι' ἡμᾶς· εἰ δὲ θέλεις 2
λήρων μὲν καὶ φληνάφων τῶν παρὰ ταύτης ἀπέχεσθαι (δείξασα τὴν ἑτέραν), ἔπεσθαι δὲ καὶ συνοικεῖν ἐμοί· πρῶτα μὲν θρέψῃ γεννικῶς, καὶ τοὺς ὤμους ἕξεις καρτεροὺς, φθόνου δὲ παντὸς ἀλλότριος ἔσῃ, καὶ οὔ ποτε ἄπει ἐπὶ τὴν ἀλλοδαπὴν, τὴν πατρίδα καὶ τοὺς οἰκείους καταλιπών· οὐδὲ ἐπὶ λόγοις ἐπαινέσονταί σε πάντες.

ἡ. Μὴ μυσαχθῇς δὲ τοῦ σώματος τὸ εὐτελὲς, μηδὲ τῆς ἐσθῆτος τὸ πιναρόν· ἀπὸ γὰρ τῶν τοιούτων ὁρμώμενος καὶ Φειδίας ἐκεῖνος ἔδειξε τὸν Δία, καὶ Πολύκλειτος τὴν Ἥραν εἰργάσατο, καὶ Μύρων ἐπηνέθη, καὶ Πραξιτέλης ἐθαυμάσθη· προσκυνοῦνται γοῦν οὗτοι μετὰ τῶν θεῶν. Εἰ δὴ τούτων εἷς γένοιο, πῶς μὲν οὐ 2
κλεινὸς αὐτὸς παρὰ πᾶσιν ἀνθρώποις γένοιο; ζηλωτὸν δὲ καὶ τὸν πατέρα ἀποδείξεις, περιβλεπτον δὲ ἀποφανεῖς καὶ τὴν πατρίδα. Ταῦτα καὶ ἔτι τούτων πλείονα διαπταίουσα, καὶ βαρβαρίζουσα 3
πάντοθεν, εἶπεν ἡ Τέχνη, μάλα δὴ σπουδῇ συνείρουσα, καὶ πείθειν με πειρωμένη· ἀλλ' οὐκέτι μέμνημαι· τὰ πλεῖστα γὰρ ἤδη μου τὴν μνήμην διέρυγεν. Ἐπεὶ δ' οὖν ἐπαύσατο, ἄρχεται ἡ ἑτέρα ὧδέ 4
πως.

θ'. Ἐγὼ δὲ, ὦ τέκνον, Παιδεία εἰμὶ ἤδη συνήθης σοι, καὶ

— Ὁποτέρα . . . αὐτῶν) Διαιρετικῶς γὰρ τὰ τοιαῦτα πρὸς γενικήν.

ζ'. Ἀμφοτέρ.) Λιθοξόω ἐστὸν, καὶ μάλα εὐδοκιμεῖτον κατὰ δυῖλὸν ἀριθμόν· ἀντὶ τοῦ, Καὶ ἀμφότεροι οἱ θεῖοί σου λιθοξόοι εἰσί, καὶ μάλα εὐδοκιμοῦτιν ἐν τῇ τέχνῃ δι' ἐμέ. Πληθυντικῶς δὲ τὸ Δι' ἡμᾶς ἐν ὑρει μεγαλοπρεπεστέρῳ, ὡς θεά τις δηλονότι ἐχρήσατο.

2. Θρέψῃ γεννικ.) Θρέψεις δηλ. σεαυτὸν στερρᾷ τροφῇ· τὸ δὲ μέσον ὡς ἐπ' αὐτοπάθειαν· τὸ δὲ ῥῆμα, τρέφω. — Καὶ τοὺς ὤμους ἕξεις καρτ.) Καὶ ἔσῃ δηλονότι εὔρωστος καὶ καρτερὸς, καὶ οὐχὶ χαῦνος καὶ τρυφηλός. — Φθόνου δὲ) Οὐδεὶς δὲ φθονήσει σε. — Καὶ οὔποτε ἄπει) Ὥσπερ οἱ λεγόμενοι φιλόσοφοι πανταχόσε περιερχόμενοι. Τὸ δὲ ῥῆμα ἄπειμι.

— Οὐδὲ ἐπὶ λόγ.) Καὶ οὐκ ἐπαινέσονται τε δηλονότι ἐπὶ λόγοις, ἀλλ' ἐπὶ ἔργοις μεγάλοις καὶ θαυμαστοῖς.

ἡ. Ἔδειξε τὸν Δία) Τοῦ Ὀλυμπίου δηλονότι Διὸς τὸ ἄγαλμα· περὶ οὗ Κλήμης ὁ Ἀλεξανδρεὺς σελιδ. 19. Β. φησί. »Τὸν μὲν οὖν Ὀλυμπιάσι Δία καὶ τὴν Ἀθήνησιν Παλλάδα ἐκ χρυσοῦ καὶ ἐλέφαντος κατασκευάσαι Φειδίαν παντί που σαφές.« — Τὴν Ἥραν) Τὴν Ἀργείαν δηλ. περὶ ἧς Μάξιμος Τύριος κζ'. φησίν· οἷαν Πολύκλειτος Ἀργείοις ἔδειξε λευκώλενον Ἥραν.

2. Οὐ κλεινὸς . . . γέν.) Ἐννοεῖται ὁ Ἀν. οἷον· οὐκ ἂν κλεινὸς γένοιο.

3. Διαπταίουσα) Διακόπτουσα δηλ. τοὺς λόγους, καὶ οὐδὲ καθ' Ἑλληνικὸν προφέρουσα τόπον. — Ἀλλ' οὐκ ἔτι μέμν.) Εἰκότως. Ἐπελάθου γὰρ εἰπὼν ὡς τὰ σχήματα τῶν φανέντων ἐντετυπωμένα τοῖς ὀφθαλμοῖς φέρεις, καὶ τὴν φωνὴν ἔναυλον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

2 γνωρίμη, εἰ καὶ μηδέπω εἰς τέλος μου πεπείρασαι. Ἡλίκα μὲν οὖν τὰ ἀγαθὰ πορίῃ λιθοξόος γενόμενος, αὐτὴ προείρηκεν· οὐδὲν γὰρ ὅτι μὴ ἐργάτης ἔσῃ, τῷ σώματι πονῶν, κἂν τούτῳ τὴν ἅπασαν ἐλπίδα τοῦ βίου τεθειμένος, ἀφανὴς μὲν αὐτὸς ὤν, ὀλίγα καὶ ἀγεννῆ λαμβάνων, ταπεινὸς τὴν γνώμην, εὐτελὴς δὲ τὴν πρόσοδον, οὔτε φίλοις ἐπιδικάσιμος, οὔτε ἐχθροῖς φοβερός, οὔτε τοῖς πολίταις ζηλωτός· ἀλλ' αὐτὸ μόνον ἐργάτης, καὶ τῶν ἐκ τοῦ πολλοῦ δήμου εἷς, ἀεὶ τὸν προὔχοντα ὑποπτήσσων, καὶ τὸν λέγειν δυνάμενον θεραπεύων, λαγῷ βίον ζῶν, καὶ τοῦ κρείττονος ἕρμαιον
3 ὤν. Εἰ δὲ καὶ Φειδίας, ἢ Πολύκλειτος γένοιο, καὶ θαυμαστὰ πολλὰ ἐξεργάσαιο, τὴν μὲν τέχνην ἅπαντες ἐπαινέσονται, οὐκ ἔστι δὲ ὅστις τῶν ἰδόντων, εἰ νοῦν ἔχοι, εὔξαιτ' ἄν σοι ὅμοιος γενέσθαι· οἷος γὰρ ἂν ᾖς, βάναυσος, καὶ χειρώναξ, καὶ ἀποχειροβίωτος νομισθήσῃ.

ι. Ἢν δέ μοι πείθῃ, πρῶτον μέν σοι πολλὰ ἐπιδείξω παλαιῶν ἀνδρῶν ἔργα, καὶ πράξεις θαυμαστάς, καὶ λόγους αὐτῶν ἀ-
2 παγγέλλουσα, καὶ πάντων, ὡς εἰπεῖν, ἔμπειρον ἀποφαίνουσα· καὶ τὴν ψυχήν, ὅπερ σοι κυριώτατόν ἐστι, κατακοσμήσω πολλοῖς καὶ ἀγαθοῖς κοσμήμασι, σωφροσύνῃ, δικαιοσύνῃ, εὐσεβείᾳ, πραότητι, ἐπιεικείᾳ, συνέσει, καρτερίᾳ, τῷ τῶν καλῶν ἔρωτι, τῇ πρὸς τὰ σεμνότατα ὁρμῇ· ταῦτα γὰρ ἐστιν ὁ τῆς ψυχῆς ἀκήρατος ὡς ἀ-
3 ληθῶς κόσμος. Λήσει δέ σε οὔτε παλαιὸν οὐδέν, οὔτε νῦν γενέσθαι δέον, ἀλλὰ καὶ τὰ δέοντα προόψει μετ' ἐμοῦ· καὶ ὅλως, ἅπαντα, ὁπόσα ἐστὶ τά τε θεῖα, τά τε ἀνθρώπινα, οὐκ εἰς μακρὰν σε διδάξομαι.

ιά. Καὶ ὁ νῦν πένης ὁ τοῦ δεῖνος, ὁ βουλευσάμενός τι περὶ

θ'. Εἰς τέλος) Ἕως τέλους.

2. Οὐδὲν γὰρ ὅτι μὴ) Οὐδὲν γὰρ ἄλλο ἀγαθὸν εὐπορήσεις σεαυτῷ ἢ ὅτι ἔσῃ ἐργάτης· τὸ ὅτι μὴ δηλαδὴ ἐξαιρετικόν· οἷον πλὴν τούτου ὅτι ἔσῃ ἐργ. — Κἂν τούτῳ) Τῷ σώματι δηλ. — Ταπεινὸς τὴν γνώμ. εὐτελὴς τὴν πρόσ.) Κατὰ τὴν γνώμην δηλαδὴ καὶ κατὰ τὴν πρόσοδον· ὡς ἐπεξήγησις ταῦτα τοῦ, ὀλίγα καὶ ἀγεννῆ λαμβάνων· τὸ μὲν ταπεινὸς πρὸς τὸ ἀγεννῆ πρὸς τὸ ὀλίγα δέ, τὸ εὐτελὲς τὴν πρόσοδ. — Φίλοις ἐπιδ.) Ἐν δίκαις δηλ. οὐκ ἂν εἴης βοηθὸς φίλων, ὥσπερ ῥήτωρ γενόμενος. — Λαγῷ βίον ζῶν) Λαγῷ βίον ζῆν λέγονται οἱ ἐν συνεχεῖ φόβῳ καθιστάμενοι, καί τι πείσεσθαι ἀεὶ προσδοκῶντες· καὶ ἔστι παροιμιώδης ὁ λόγος. — Ἕρμαιον ὤν) Ἕρμαιον λέγεται τὸ ἀποσδόκητον κέρδος, ἤτοι ἀπὸ τῶν ἐν τριόδοις τεθειμένων ἀπαρχῶν τῇ Ἑκάτῃ, ἃς οἱ ὁδοιπόροι κατήθων· ἢ ἀπὸ τοῦ ἐν ἔθει λεγομένου, Κοινὸς Ἑρμῆς· ἐπὶ τῶν εὑρισκόντων τι οἷον κοινὸν τὸ εὕσημα.

3. Οὐκ ἔστι δὲ ὅστις) Ἀντὶ Οὐδείς.

ι'. Ἀπαγγέλλουσα) Διηγουμένη δηλονότι σοι τὰς θαυμαστὰς πράξεις, καὶ τοὺς θαυμαστοὺς λόγους αὐτῶν τῶν παλαιῶν ἀνδρῶν· πράξεις μὲν τῶν ἡρώων καὶ στρατηγῶν, λόγους δὲ τῶν σοφῶν.

2. Ὅπερ σοι κυριώτ.) Τὸ γὰρ κυριώτατον καὶ ἡγεμονικώτατον τἀνθρώπου μέρος ἐστὶν ἡ ψυχή.

3. Λήσει δέ σε) Τά τε γὰρ παλαιὰ εἴσῃ, καὶ ὅσα θέου γενέσθαι νῦν.

—Διδάξομαι) Διὰ τῶν διδασκάλων δηλ. Διὰ ταῦτα δὴ καὶ τὴν φιλοσοφίαν θείων καὶ ἀνθρωπίνων πραγμάτων γνῶσιν ἐκάλεσαν.

ιά. Ὁ τοῦ δεῖνος) Ἐλλείπει, υἱός. Κατα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀγεννοῦς οὕτω τέχνης, μετ' ἐλίγον ἅπασι ζηλωτὸς καὶ ἐπίφθονος ἔσῃ, τιμώμενος καὶ ἐπαινούμενος, καὶ ἐπὶ τοῖς ἀρίστοις εὐδοκιμῶν, καὶ ὑπὸ τῶν γένει καὶ πλούτῳ προὐχόντων ἀποβλεπόμενος, ἐσθῆτα μὲν τοιαύτην ἀμπεχόμενος, (δείξασα τὴν ἑαυτῆς· πάνυ δὲ λαμπρὰν ἐφόρει·) ἀρχῆς δὲ καὶ προεδρίας ἀξιούμενος. Κἂν που 2
ἀποδημῇς, οὐδ' ἐπὶ τῆς ἀλλοδαπῆς ἀγνώς οὐδ' ἀφανὴς ἔσῃ. τοιαῦτα σοι περιθήσω τὰ γνωρίσματα, ὥστε τῶν ὁρώντων ἕκα- 3
στος τὸν πλησίον κινήσας δείξει σε τῷ δακτύλῳ, Οὗτος Ἐκεῖνος, λέγων.

ιϛ'. Ἂν δέ τι σπουδῆς ἄξιον ᾖ, καὶ τοὺς φίλους, ἢ καὶ τὴν πόλιν ὅλην καταλαμβάνῃ, εἰς σὲ πάντες ἀποβλέψονται· κἂν που τι λέγων τύχῃς, κεχηνότες οἱ πολλοὶ ἀκούσονται, θαυμάζοντες, καὶ εὐδαιμονίζοντές σε τῶν λόγων τῆς δυνάμεως, καὶ τὸν πατέρα τῆς εὐποτμίας. Ὁ δὲ λέγουσιν, ὡς ἄρα ἀθάνατοι γίγνονταί τινες ἐξ 2
ἀνθρώπων, τοῦτό σοι περιποιήσω. Καὶ γὰρ ἦν αὐτὸς ἐκ τοῦ βίου ἀπέλθῃς, οὔ ποτε παύσῃ συνὼν τοῖς πεπαιδευμένοις, προσομιλῶν τοῖς ἀρίστοις. Ὁρᾷς τὸν Δημοσθένην ἐκεῖνον, τίνος υἱὸν ὄντα ἐγώ 3
ἡλίκον ἐποίησα; ὁρᾷς τὸν Αἰσχύνην, ὃς τυμπανιστρίας υἱὸς ἦν; ἀλλ' ὅμως αὐτὸν ὁ ἐμὲ Φίλιππος ἐθεράπευσεν· ὁ δὲ Σωκράτης καὶ αὐτὸς ὑπὸ τῇ Ἑρμογλυφικῇ ταύτῃ τραφεὶς, ἐπειδὴ τάχιστα συνῆκε τοῦ κρείττονος, καὶ δραπετεύσας παρ' αὐτῆς, ἠὐτομόλησεν ὡς ἐμὲ, ἀκούεις ὡς παρὰ πάντων ἄδεται;

ιγ'. Ἀρεῖς δὲ αὐτοὺς τηλικούτους καὶ τοιούτους ἄνδρας, καὶ πράξεις λαμπρὰς, καὶ λόγους σεμνοὺς, καὶ σχῆμα εὐπρεπές,

---

φρονητικῶς δὲ λέγει τοῦτο.—Καὶ ἐπὶ τοῖς ἀρίστοις) Γνωριζόμενος, τοῖς ἀρίστοις προσομιλῶν, ὑπὸ τῶν ἀρίστων τιμώμενος.

3. Οὗτος ἐκεῖν.) Ὁ περίφημος δηλ. Λουκιανὸς, οὗ λόγος ἐπὶ παιδείᾳ πολύς.

ιϛ'. Τῶν λόγων τῆς δυν.) Ἕνεκα τῆς δυνάμεως τῶν λόγων. — Τῆς εὐποτμίας) Καὶ τὸν πατέρα σου δηλ. θαυμάζοντες ἕνεκα τῆς ἀγαθῆς σου τέκνου τύχης.

2. Τοῦτό σοι περιποιήσ.) Τὸ ἀθάνατον δηλ. γενέσθαι σε· γίνονται δὲ ἀθάνατοι ἀνθρωποι διὰ πράξεων καὶ συγγραμμάτων. — Ἦν ἐκ τοῦ βίου ἀπέλ.) Περιφραστικῶς ἀντὶ, ἀποθάνῃς.

3. Τίνος υἱὸν ὄντ.) Πλούταρχ. ἐν τῷ Δημοσθ. βίῳ. » Δημοσθένης, φησὶν, ὁ πα» τὴρ Δημοσθένους, ἦν μὲν τῶν καλῶν καὶ » ἀγαθῶν ἀνδρῶν, ὡς ἱστορεῖ Θεόπομπος, » ἐπεκαλεῖτο δὲ μαχαιροποιὸς, ἐργαστη» ρίων ἔχων μεγάλα καὶ δούλους τεχνίτας, » τοῦτο πράττοντας. — Ὃς τυμπανιστρ.) Ἀτρομήτου καὶ Γλαυκοθέας υἱὸς Αἰσχίνης, ὥς φησι Δημοσθένης ἐν τῷ περὶ Στεφάνου. Αὕτη δὲ τυμπανίστρια ἦν· ἤτοι χορεύτρια, ἤτις τύπτουσα τὸ τύμπανον ἐχόρευεν. — Ἐθεράπευσε) Ῥήτορα ὄντα· ὅθεν τὸ δι' ἐμέ· διὰ τὴν ῥητορικὴν δηλοῖ παιδείας εἶδος οὖσαν.

— Ὁ δὲ Σωκρ.) Ἐμάνθανε τὴν τοῦ πατρὸς τέχνην λιθοξόος εἶναι. — Ἐπειδὴ τάχιστα συνῆκ.) Συνεὶς δὲ τάχιστα τοῦ βελτίονος. Σημειούσθω ὅτι τοῦ Συνίημι, καὶ αἰτιατικῇ συντάσσεται· οἷον εἶτα οὐ ξυνίοις τὴν ἐπίνοιαν τοῦ Θεοῦ. Ἀριστοφ. ἐν Πλουτ. στίχ. 4. καὶ γενικῇ· οἷον· μήτε τῆς ἀλλήλων φωνῆς συνιᾶσι Ἡρωδιαν. Δ'. ἰ. 2 καὶ μετοχῇ· οἷον· οὐδὲ συνῆκα διὰ σὲ ἡδὺς γυναικὶ γενόμενος· Λουκ. Θεῶν διάλογ. καὶ κατ' ἀνάλυσιν· οἷον· συνεὶς ὅτι. — Ὡς ἐμὲ) Ἐπὶ ἐμψύχων πολλάκις τὸ Ὡς, ἀντὶ προθέσεως λαμβάνεται τῆς πρὸς, πρὸς αἰτιατικὴν φερόμενον, καὶ κίνησιν σημαῖνον κατὰ τὴν πρός. — Ἄδεται) Φημίζεται, ἐπαινεῖται.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ τιμὴν, καὶ δόξαν, καὶ ἔπαινον, καὶ προεδρίας, καὶ δύναμιν, καὶ ἀρχὰς, καὶ τὸ ἐπὶ λόγοις εὐδοκιμεῖν, καὶ τὸ ἐπὶ συνέσει εὐδαιμονίζεσθαι, χιτῶνιόν τε πιναρὸν ἐνδύσῃ, καὶ σχῆμα δουλοπρεπὲς ἀναλήψῃ, καὶ μοχλεῖα, καὶ γλυφεῖα, καὶ κοπέας, καὶ κολαπτῆρας ἐν ταῖν χεροῖν ἕξεις, κάτω νενευκὼς εἰς τὸ ἔργον,
2 χαμαιπετὴς, καὶ χαμαιζῆλος, καὶ πάντα τρόπον ταπεινὸς· ἀνακύπτων δὲ οὐδέποτε, οὐδὲ ἀνδρῶδες, οὐδὲ ἐλευθέριον οὐδὲν ἐπινοῶν, ἀλλὰ τὰ μὲν ἔργα ὅπως εὔρυθμα καὶ εὐσχήμονα ἔσται σοι προνοῶν, ὅπως δὲ αὐτὸς εὔρυθμός τε καὶ κόσμιος ἔσῃ, ἥκιστα πεφροντικώς, ἀλλ' ἀτιμότερον ποιῶν σεαυτὸν λίθων.

ιδ'. Ταῦτα ἔτι λεγούσης αὐτῆς, οὐ περιμείνας ἐγὼ τὸ τέλος τῶν λόγων, ἀναστὰς ἀπεφηνάμην· καὶ τὴν ἄμορφον ἐκείνην καὶ ἐργατικὴν ἀπολιπὼν, μετέβαινον πρὸς τὴν Παιδείαν μάλα γεγηθώς· καὶ μάλιστα ἐπεί μοι καὶ εἰς νοῦν ἦλθεν ἡ σκυτάλη, καὶ ὅτι πληγὰς εὐθὺς οὐκ ὀλίγας ἀρχομένῳ μοι χθὲς ἐνετρίψατο.
2 Ἡ δὲ ἀπολειφθεῖσα τὸ μὲν πρῶτον ἠγανάκτει, καὶ τῷ χεῖρε συνεκρότει, καὶ τοὺς ὀδόντας ἐνέπριε· τέλος δὲ, ὥσπερ τὴν Νιόβην
3 ἀκούομεν, ἐπεπήγει, καὶ εἰς λίθον μετεβέβλητο. Εἰ δὲ παράδοξα ἔπαθε, μὴ ἀπιστήσητε· θαυματοποιοὶ γὰρ οἱ ὄνειροι.

ιέ. Ἡ ἑτέρα δὲ πρός με ἀπιδοῦσα, τοιγαροῦν ἀμείψομαί σε,
2 ἔφη, τῆςδε τῆς δικαιοσύνης, ὅτι καλῶς τὴν δίκην ἐδίκασας. Καὶ ἐλθὲ ἤδη, ἐπίδηθι τούτου τοῦ σχήματος, (δείξασά τι ὄχημα ὑποπτέρων ἵππων τινῶν, τῷ Πηγάσῳ ἐοικότων) ὅπως ἴδῃς, οἷα
3 καὶ ἡλίκα μὴ ἀκολουθήσας ἐμοὶ ἀγνοήσειν ἔμελλες. Ἐπεὶ δὲ ἀνῆλθον, ἡ μὲν ἤλαυνε, καὶ ὑψηνιόχει· ἀρθεὶς δὲ εἰς ὕψος ἐγὼ

ιγ'. Καὶ πάντα τρόπον ταπ.) Κατ' ἔλλειψιν τῆς Κατά.

2. Οὐδὲ ἀνδρ. οὐδὲ ἐλευθ.) Οὔτε ἐπινοῶν οὐδέν· δύο ἀρνήσεις ἀντὶ μιᾶς Ἀττικῶς· κοινῶς γὰρ ἂν ἦν. Ἀνδρῶδες δὲ ἢ ἐλευθέριον οὐδὲν ἐπινοῶν. — Τὰ μὲν ἔργα) Οὕτω Σωκράτης παρὰ Διογ. Λαερ. »ἔλεγε τε Θαυμάζειν τῶν τὰς λιθίνους »εἰκόνας κατασκευαζομένων, τοῦ μὲν λί»θου προνοεῖν ὡς ὁμοιότατος ἔσται, αὐ»τῶν δὲ ἀμελεῖν, ὡς μὴ ὁμοίους τῷ λίθῳ »φαίνεσθαι. Καὶ Κλήμ. Ἀλεξ Ἀλλ' ὑ»μεῖς, ὅπως ποτὲ ὁ ἀνδριὰς ὅτι μάλιστα »ὡραιότατος τετεκτάνηται, προσκαρτε»ρεῖτε· ὅπως δὲ αὐτοὶ μὴ ὅμοιοι δι' ἀναι»σθησίαν τοῖς ἀνδριάσιν ἀποτελῆσθε, οὐ φροντίζετε.»

ιδ'. Ἐνετρίψ.) Ὁ Θεῖος δηλ. Ἔστι δὲ καὶ τὴν Ἑρμογλυφικὴν, εἰ δοκεῖ, ἐννοεῖν.

2. Ὥσπερ τὴν Νιόβ.) Νιόβη θυγάτηρ Ταντάλου, γυνὴ Ἀμφίονος, τεσσαρακαίδεκα τέκνα ἔχουσα, ἐτόλμησε τῇ Λητοῖ περὶ εὐτεκνίας ἐρίσαι· ὀργισθεῖσα δὲ ἡ Θεὰ ἐπὶ τούτῳ προσέταξεν Ἀπόλλωνι καὶ Ἀρτέμιδι τὰ τέκνα τῆς Νιόβης κτεῖναι· ὅθεν ὑπὸ τῆς λύπης εἰς λίθον μετεβλήθη κλαίουσα ἡ Νιόβη.

ιέ. Τὴν δίκην ἐδίκ.) Ἔκρινας. Ἀττικὸν δὲ τοῦτο τὸ προστιθέναι τὸ σύστοιχον ὄνομα τῷ ῥήματι ἐν εἴδει περιφράσεως.

2. Τῷ Πηγάσ.) Ἵππος ὑπόπτερος μυθολογεῖται ὁ Πήγασος, ἐκ τῆς κεφαλῆς γεννηθεὶς τῆς Μεδούσης μιᾶς τῶν Γοργόνων· ὁπότε ἔτεμεν αὐτῆς τὴν κεφαλὴν Περσεὺς, ἐφ' οὗ ἐπιβὰς ἔλυσε τὴν Ἀνδρομέδαν τὴν Κηφέως ἐκτεθειμένην εἰς βορὰν Θαλασσίῳ Θηρίῳ· ἐπὶ τούτου βελεροφόντης ἐπιβὰς τὴν Χίμαιραν κατεπάλαιεν. Ἀπολλόδ. Β. γ'. 2.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐπεσκόπουν, ἀπὸ τῆς ἑῴας ἀρξάμενος, ἄχρι πρὸς ἑσπέραν, πόλεις, καὶ ἔθνη, καὶ δήμους, καθάπερ ὁ Τριπτόλεμος ἀποσπείρων τι ἐς τὴν γῆν. Οὐκέτι μέντοι μέμνημαι ὅ,τι τὸ σπειρόμενον ἐκεῖνο 4
ἦν· πλὴν τοῦτο μόνον, ὅτι κάτωθεν ἀφορῶντες οἱ ἄνθρωποι ἐπῄνουν, καὶ μετ' εὐφημίας, καθ' ὃς γενοίμην τῇ πτήσει, παρέπεμπον.

ιϛ'. Δείξασα δέ μοι τὰ τοσαῦτα, κἀμὲ τοῖς ἐπαινοῦσιν ἐκείνοις, ἐπανήγαγεν αὖθις, οὐκέτι τὴν αὐτὴν ἐσθῆτα ἐκείνην ἐνδεδυκότα, ἣν εἶχον ἀριπτάμενος· ἀλλ' ἐμοὶ ἐδόκουν εὐπάρυφός τις ἐπα- νήκειν. Καταλαβοῦσα οὖν καὶ τὸν πατέρα ἑστῶτα καὶ περι- 2
μένοντα, ἐδείκνυεν αὐτῷ ἐκείνην τὴν ἐσθῆτα, κἀμὲ, οἷος ἥκοιμι καὶ τι καὶ ὑπέμνησεν, οἷα μικροῦ δεῖν περὶ ἐμοῦ ἐβουλεύσατο. Ταῦτα μέμνημαι ἰδών, ἀντίπαις ἔτι ὤν, ἐμοὶ δοκεῖ ἐκταραχθεὶς 3
πρὸς τὸν τῶν πληγῶν φόβον.

ιζ'. Μεταξὺ δὲ λέγοντος, Ἡράκλεις, ἔφη τις, ὡς μακρὸν τὸ ἐνύπνιον, καὶ δικανικόν. Εἶτ' ἄλλος ὑπέκρουσε, χειμερινὸς ὄνει- 2
ρος, ὅτι μήκισταί εἰσιν αἱ νύκτες· ἢ τάχα που τριέσπερος, ὥσπερ ὁ Ἡρακλῆς καὶ αὐτός ἐστι. Τί δ' οὖν ἐπῆλθεν αὐτῶν λη- 3
ρῆσαι ταῦτα πρὸς ἡμᾶς, καὶ μνησθῆναι παιδικῆς νυκτὸς, καὶ ὀνείρων παλαιῶν, καὶ ἤδη γεγηρακότων; ἆθλος γὰρ ἡ ψυχρολογία· μὴ ὀνείρων ἡμᾶς ὑποκριτάς τινας ὑπείληφεν; Οὐκ ὦ γαβέ. Οὐδὲ γὰρ ὁ Ξενοφῶν ποτε διηγούμενος τὸ ἐνύπνιον, ὡς 4
ἐδόκει αὐτῷ καὶ ἐν τῇ πατρῴᾳ οἰκίᾳ, καὶ τὰ ἄλλα, (ἵστε γὰρ)

— Ἄχρι πρὸς ἑσπ.) Μέχρις ἑσπέρας, ἢ ἄχρι τῆς γῆς τῆς πρὸς ἑσπέραν οἶον Ἀρξάμενος ἀπὸ τῆς ἑῴας μέχρι τῆς πρὸς ἑσπέραν γῆς ἐπεσκόπουν πολ. — Ἀποσπείρων τι) Δημήτηρ εἰς Ἐλευσῖνα ἐνθοῦσα, ἔτυχεν ὑποδοχῆς ὑπὸ Κελεοῦ τοῦ τότε ἐκεῖ βασιλεύοντος· τούτου υἱὸς ἦν Τριπτόλεμος· ᾧ κατασκευάσασα ἡ Δημήτηρ δι' ἀφοῦ πτηνῶν δρακόντων, πυρὸν ἔδωκεν, ᾧ τὴν ὅλην οἰκουμένην δι' οὐρανοῦ ἀφόμενος κατέσπειρεν, Ἀπολλόδ. Α. ἑ. 2.

4. Παρέπεμπον) Ἐκεῖνοι καθ' ὅς γεν.

ιϛ'. Ἐνδεδυκότα) Ἐνδεδυμένον δηλ. τὸ μέτωον ἀντὶ τοῦ παθητικοῦ· οἱ γὰρ παρακείμενοι τῶν μέτων πλέον δέπουσιν ἐπὶ τὸ παθητικὸν τὸ ῥῆμα Ἐνδύω. — Ἀλλ' ἐμοὶ ἔδοκ.) Τὸ ἐδόκουν Ἀττικὸν ἀντὶ τοῦ ἐδόκει· λέγεται γὰρ κοινῶς μὲν, ἐμοὶ δοκεῖ Ἀττικῶς δὲ, δοκῶ μοι. Ἐδόκουν δὲ εὐπρεπεῖ τινι ἐσθῆτι καὶ τῶν, οἷς οἱ ἐν ἀξίᾳ ἀμπέχονται, ἐπανεῖθεν.

2. Μικροῦ δεῖν) Οἷα μικροῦ ἐδέησε βουλεύσασθαι περὶ ἐμοῦ.

3. Ἀντιπ. ἔτι ὤν) Τελέτας τὴν παιδικὴν ἡλικίαν. — Ἐμοὶ δοκ.) Ἴσως κατὰ τὸ ἐμοὶ δοκοῦν· ἐπειδὴ ἐξεταράχθην πρὸς τὸν φόβ.

ιζ'. Δικανικόν) Δηλονότι ὥσπερ οἱ δικανικοὶ λόγοι, ἤγουν φορτικὸν ἄκουσιν. Πλάτ. ἐν ἀπολ. Ἐγὼ δὲ ὑμῖν φορτικὰ μὲν, καὶ δικανικὰ, ἀληθῆ δέ.

2. Τριέσπερ.) Ζεὺς διὰ νυκτὸς ἐλθὼν εἰς Ἀλκμήνην τὴν Ἀμφιτρύονος γυναῖκα, ὁμοιωθεὶς αὐτῷ, καὶ τὴν μίαν νύκτα τριπλασιάσας συνεκοιμήθη καὶ ἐγεννήθη αὐτῷ υἱὸς Ἡρακλῆς· ὃς διὰ τοῦτο τριέσπερος λέγεται.

3. Ἆθλος γὰρ ἡ ψυχρ.) Ἀνωφελὴς γάρ ἐστιν ἡ ψυχρ. — Ὑποκριτ.) Ἑρμηνευτὰς, ἐξηγητὰς.

4. Οὐ δὲ γὰρ ὁ Ξενοφ.) Ἐλήρησε δηλ. — Καὶ ἐν τῇ πατρ.) Ἐνταῦθα δοκεῖ ἐλλείπειν τὸ, Σκῆπτὸς πεσεῖν, πρὸς τὸ πλῆρες τῆς συντάξεως· ὡς ἐστιν ἐκ τῶν τοῦ Ξενοφῶντος κατακοῆσαι. Ἵν' ᾖ· ὡς ἐδόκει αὐτῷ καὶ σκῆπτὸς πεσεῖν ἐν τῇ πατρῴᾳ οἰκίᾳ, καὶ τ' ἄλλα συμβῆναι, ὅσα Ξενοφῶν διηγεῖται. — Ἴστε γὰρ) Ἀναγνόντες δηλ. τὸν ἀνάβασιν Κύρου· ἔνθα Γ. α. 9. φησὶν ὅτι μικρὸν ὕπνου λαχὼν, εἶδεν ὄνειρον. Ἔδοξεν αὐτῷ, βροντῆς γενομένης, σκῆπτὸς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐχ ὑπόκρισιν τὴν ὄψιν, οὐδὲ ὡς φλυαρεῖν ἐγνωκὼς αὐτὰ διεξῇεν καὶ ταῦτα ἐν τῷ πολέμῳ, καὶ ἀπογνώσει πραγμάτων, περιεστώτων πολεμίων· ἀλλά τι καὶ χρήσιμον εἶχεν ἡ διήγησις.

ιή. Καὶ τοίνυν κἀγὼ τοῦτον ὄνειρον ὑμῖν διηγησάμην ἐκείνου ἕνεκα, ὅπως οἱ νέοι πρὸς τὰ βελτίω τρέπωνται, καὶ παιδείας ἔχωνται· καὶ μάλιστα, εἴ τις αὐτῶν ὑπὸ πενίας ἐθελοκακεῖ, καὶ πρὸς τὰ ἥττω ἀποκλίνει, φύσιν οὐκ ἀγεννῆ διαφθείρων. Ἐπιρ- 2
ρωσθήσεται εὖ οἶδ' ὅτι κἀκεῖνος, ἀκούσας τοῦ μύθου, ἱκανὸν ἑαυτῷ παράδειγμα ἐμὲ προστησάμενος, ἐννοῶν οἷος μὲν ὢν πρὸς τὰ κάλλιστα ὥρμησα, καὶ παιδείας ἐπεθύμησα, μηδὲν ἀποδειλιάσας πρὸς τὴν πενίαν τὴν τότε, οἷος δὲ πρὸς ὑμᾶς ἐπανελήλυθα, εἰ καὶ μηδὲν ἄλλο, οὐδενὸς γοῦν τῶν λιθογλύφων ἀδοξότερος.

ΕΚ ΤΩΝ ΤΟΥ ΠΛΑΤΩΝΟΣ ΔΙΑΛΟΓΩΝ.

Α'. ΕΥΘΥΦΡΩΝ, Η ΠΕΡΙ ΟΣΙΟΥ (*).

ΠΕΙΡΑΣΤΙΚΟΣ.

Εὐθύφρων, καὶ Σωκράτης.

α. Τί νεώτερον, ὦ Σώκρατες, γέγονεν, ὅτι σὺ τὰς ἐν Λυκείῳ καταλιπὼν διατριβὰς ἐνθάδε νῦν διατρίβεις, περὶ τὴν τοῦ βασιλέως στοάν; οὐ γάρ που καὶ σοί δίκη τις οὖσα τυγχά-

---

πεσεῖν εἰς τὴν πατρῴαν οἰκίαν, καὶ ἐκ τούτου λάμπεσθαι πᾶσαν. — Οὐχ ὑπόκρ. τὴν ὄψ.) Ἐννοεῖται· οὕτω γὰρ ἴσ' ἢ ἴστε γὰρ ὅτι ἡ ὄψις ἐκείνη οὐκ ἦν ὑπόκρισις, οὐδὲ διεξῇεν ταῦτα Ξενοφῶν, ὡς φλυαρεῖν ἐγνωκώς. — Καὶ ταῦτα) Διεξῇεν ἐν τῷ πολέμῳ· ὅτι, τῶν στρατηγῶν καταληφθέντων καὶ ἀναιρεθέντων, ἐν μέσῳ κατειλείφθησαν Ἕλληνες ὡς μύριοι πολεμίων ἀπειραρίθμων.

ιή. Τοῦτον ὄν.) Ἀνάφορος διὰ τὴν Ἀντωνυμίαν. — Ἐθελοκακ.) Πένης δηλ. ὤν, οὐ σπεύδει πρὸς παιδείαν, καὶ διαφθείρει φύσιν εὐρυθῶς τυχὸν πρὸς παιδείαν ἔχουσαν.

2. Εὖ οἶδ' ὅτι) Τὸ παρ' ἡμῖν εἰμὶ πληροφορημένος. — Εἰ καὶ μηδὲν ἄλλο) Μέγα δηλ. εἰμί· ἀλλ' οὖν οὐκ εἰμὶ ἀδοξότερός τινος τῶν λιθογλύφων· τὸ γοῦν ἐναντιωματικόν ἐστι δὲ καὶ ἐλαττωτικόν πως.

(*) Εὐθύφρων μὲν ἐπιγράφεται ὁ διάλογος οὗτος, ὅτι Εὐθύφρονά τινα εἰσάγει διαλεγόμενον Σωκράτει περὶ Ὁσίου. Πειραστικὸς δὲ, ὅτι πειρᾶται Σωκράτης Εὐθύφρονος κατὰ τοῦ πατρὸς ἔγκλημα ἀνθρωποκτονίας ἐπάγοντος.

α. Νεώτερον) Ἐνταῦθα τὸ συγκριτικὸν ἀντὶ ἁπλῶς θετικοῦ λαμβάνεται· ἔθος δὲ τοῦτο παρ' Ἕλλησι. — Διατριβὰς) Τὰς συνομιλίας λέγει τοῦ Σωκράτους μετὰ τῶν σοφιστῶν. Ἔθος γὰρ ἦν Σωκράτει ἐν τῷ Λυκείῳ, γυμνάσιον δὲ τοῦτο ἐν Ἀθήναις, συνεχῶς διατρίβειν ἕνεκεν τῶν σοφιστῶν τῶν ἐκεῖ διδασκόντων· ἵν' ἐλέγχῃ αὐτῶν τὴν ἀμαθίαν· καὶ ἐπειδὴ πολλοὶ νέοι ἐκεῖ ἐτύγχανον, τοῖς ἐκείνου λόγοις ἅτοι διεγείρῃ, ἢ παρορμᾷ πρὸς ἀρετήν. Αἰσχ. Σωκρ. Β'. ιζ'. — Τὴν τοῦ βασιλέως στοάν) Στοὰ ἦν ἐν τῇ ἀγορᾷ ἐν Ἀθήναις βασίλειος καλουμένῃ, ἥ φησι Πολυδεύκης Η'. ἀπὸ τοῦ δευτέρου ἄρχοντος βασιλέως καλουμένου· πλησίον τῆς στοᾶς τοῦ Διὸς τοῦ ἐλευθερίου· ταύτην Πλάτων βασιλέως στοὰν λέγει. — Πρὸς τὸν βασιλ.) Ὁ γὰρ βασιλεὺς οὐ μόνον μυστηρίων προέστηκε καὶ ἀγώνων, καὶ τὰ περὶ θυσίας διώκει, ἀλλ' ἐδίκαζε καὶ ἀσεβείας, καὶ φόνου. Πολυδεύκ. Η'. ὅθεν ὁ μὲν Σωκράτης ἐκεῖ διέτριβεν, ὡς ὑπὸ Μελέ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νει πρὸς τὸν βασιλέα, ὥσπερ ἐμοί. — Σωκ. Οὗτοι δὴ Ἀθη- 2
ναῖοί γε, ὦ Εὐθύφρων, δίκην αὐτὴν καλοῦσιν, ἀλλὰ γραφήν. —
Εὐθ. Τί φῄς; γραφήν σέ τις, ὡς ἔοικε, γέγραπται· οὐ γάρ που
ἐκεῖνό γε καταγνώσομαι, ὡς σύ γε ἕτερον. — Σωκ. Οὐ γὰρ οὖν. 3
— Εὐθ. Ἀλλά σε ἄλλος; — Σωκ. Πάνυ γε. — Εὐθ. Τίς οὗ-
τος; — Σωκ. Οὐ δ᾽ αὐτὸς πάνυ τι γιγνώσκω, ὦ Εὐθύφρον,
τὸν ἄνδρα· νέος γάρ τίς μοι φαίνεται καὶ ἀγνώς· ὀνομάζουσι
μέντοι αὐτόν, ὡς ἐγῷμαι, Μέλιτον. Ἔστι δὲ τὸν δῆμον Πι-
θεύς· εἴ τιν᾽ ἐν νῷ ἔχεις Πιθέα Μέλιτον, οἷον τετανότριχα, καὶ
οὐ πάνυ εὐγένειον, ἐπίγρυπον δέ. — Εὐθ. Οὐκ ἐννοῶ, ὦ Σω-
κρατες, ἀλλὰ δὴ τίνα γραφήν σε γέγραπται; — Σωκ. Ἣν τινα; 4
οὐκ ἀγεννῆ, ἔμοι γε δοκεῖ. Τὸ γὰρ, νέον ὄντα, τοσοῦτον πρᾶγ-
μα ἐγνωκέναι, οὐ φαῦλόν ἐστιν. Ἐκεῖνος γὰρ, ὥς φησιν, οἶδε
τίνα τρόπον οἱ νέοι διαφθείρονται, καὶ τίνες οἱ διαφθείροντες
αὐτούς. Καὶ κινδυνεύει σοφός τις εἶναι· καὶ τὴν ἐμὴν ἀμαθίαν 5
κατιδὼν, ὡς διαφθείροντος τοὺς ἡλικιώτας αὐτοῦ, ἔρχεται κα-
τηγορήσων μου, ὥσπερ πρὸς μητέρα, πρὸς τὴν πόλιν. Καὶ 6
φαίνεταί μοι τῶν πολιτικῶν μόνος ἄρχεσθαι ὀρθῶς· ὀρθῶς γάρ ἐστι,

---

τοῦ δικαζόμενος ἀσεβείας· ὁ δ᾽ Εὐθύφρων, ὡς κατηγορήσων τὸν πατέρα φόνου.

2. Οὗτοι . . . ἀλλὰ γραφήν) Δίκη μὲν λέγεται ἡ ὑπὲρ ἰδιωτικῶν ἀδικημάτων κρίσις· γραφὴ δὲ ἡ ὑπὲρ δημοσίων· ὅθεν Σωκράτης ἐπιδιορθούμενος τὸ ὄνομα λέγει, ὅτι οὐ τυγχάνει αὐτῷ δίκη, ἀλλὰ, καθὰ Ἀθηναῖοι λέγουσι, γραφή· τὸ γὰρ Δίκη ἔστι καὶ ἐπὶ πάσης κρίσεως κοινῶς ληφθῆναι, εἴτε δημοσίου, εἴτε ἰδίας. Τὸ δὲ Οὗτοι δὴ ἐστιν, ἀντὶ τοῦ, Οὐδήπου. — Γραφήν σε τις . . . γέγραπται) Γράφομαί σε γραφὴν δηλοῖ τὸ Κατηγορῶ σου δημοσίων ἀδικημάτων· καὶ ἔστιν Ἀττικισμός· τὸ δὲ Γέγραπται παθητικὸς παρακείμενος ἀντὶ μέσου· ἔνθα γὰρ μέσων ἀποροῦμεν παρακειμένων, ἔστι καὶ τοῖς παθητικοῖς χρῆσθαι ἀντὶ μέσων· οὕτω καὶ, πεποίηκαι ταῦτα καὶ ἄλλα. —Οὐ γάρ που) Πάντως δηλ. οὐ καταγνώσομαί σου ὡς σὺ γέγραψαι γραφὴν ἕτερον· τὸ δὲ Σοῦ ἐννοεῖται διὰ τὸ προστεθειμένον ἑξῆς Σύ· οἱ γὰρ Ἕλληνες δὶς οὐ βούλονται τὸ αὐτὸ τιθέναι· ὅθεν ὁ εὐχερῶς ὑπονοεῖται, οὐ τιθέασι. — Οὐ γὰρ οὖν) Τὸ Γὰρ οὖν βεβαιωτικόν.

3. Πάνυ τι) Τὸ παρ᾽ ἡμῖν, Τόσον πολλά· τὸ γὰρ Τι μεριτὸν ὂν συστέλλει τὸ σημαινόμενον τοῦ Πάνυ· ἔστι δὲ τὸ Τι κατ᾽ ἔλλειψιν τῆ Κατά· οἷον οὐ κατά τι μέγα γινώσκω τὸν ἄνδρα. — Καὶ ἀγνώς) Ἀγνώς, ἀγνῶτος· δηλοῖ τὸ ἄγνωστος, ὁ μὴ δηλαδὴ γνωστός· τὸ δὲ ἀγνὸς, ἁγνοῦ· τὸ καθαρός. — Πιθεύς) Ὁ μὲν Ἀρποκρατίων· δῆμος τῆς Κεκροπίδος φυλῆς φησὶν ἡ Πιθεὶς· ἐξ οὗ καὶ Σουΐδας καὶ Βαρῖνος. Στέφανος δὲ ὁ Βυζάντιος ἐν τοῖς Ἐθνικοῖς Πίθος, φησὶν, ὁμωνύμως τῷ ἀγγείῳ, δῆμος τῆς Κεκροπίδος φυλῆς· κέκληται δὲ ἀπό τινος Πίθου, τῶν Πίθων αὐτόθι γενομένων· ὁ δημότης Πιθεὺς τὰ τοπικὰ Ἐκ Πιθέων, εἰς Πιθέων, ἐν Πυθέων· κἀντεῦθεν τινὲς διορθοῦσι τὸ Πιτθεὺς, Πιθεὺς· καὶ Πιτθέα, Πιθέα. Ὁ δὲ Σχολιαστὴς Πλάτωνος Δῆμόν φησιν εἶναι Αἰγηΐδος φυλῆς Ἀθήνησιν, ἐξ οὗ οὗτος. — Τετανότριχ.) Τετανόθριξ, καὶ τανύθριξ· λέγεται ὁ προμήκεις ἔχων καὶ κεκθειμένας τὰς τῆς κεφαλῆς τρίχας. — Εὐγένειον) Οὐκ εὖ ἔχοντα δηλ. τὸν πώγωνα.

4. Ἣν τινα) Ἐρωτᾷ τίς ἐστιν ἡ γραφὴ, ἣν με γέγραπται, ἀποκρίνομαι ὅτι οὐκ ἀγεννὴς αὕτη κατὰ τὸ ἐμοὶ δοκοῦν.

5. Καὶ κινδυν.) Συνήθης ἡ ἔκφρασις αὕτη παρ᾽ Ἕλλησιν ἐν τοῖς τοιούτοις. — Κατηγορήσων) Ἐμοῦ ὡς διαφθείροντος· οὐ προστέθη δὲ τὸ Ἐμοῦ ὡς ὅλου ἐκ τῆς ἐννοίας.

6. Ὀρθῶς γάρ ἐστι) Ἀπὸ κοινοῦ τὸ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῶν νέων πρῶτον ἐπιμεληθῆναι, ὅπως ἔσονται ὅτι ἄριστοι, ὡς περ γεωργὸν ἀγαθὸν τῶν νέων φυτῶν εἰκὸς πρῶτον ἐπιμελη-
7 θῆναι, μετὰ δὲ τοῦτο καὶ τῶν ἄλλων· καὶ δὴ καὶ Μέλιτος ἴσως πρῶτον μὲν ἡμᾶς ἐκκαθαίρει, τοὺς τῶν νέων τὰς βλάστας διαφθείροντας, ὥς φησιν· ἔπειτα μετὰ τοῦτο δηλονότι τῶν πρεσβυτέρων ἐπιμελήθεις, πλείστων καὶ μεγίστων ἀγαθῶν αἴτιος τῇ πόλει γενήσεται· ὥς γε εἰκὸς συμβῆναι, ἐκ τοιαύτης ἀρχῆς ἀρξαμένου.

β'. Εὐθ. Βουλοίμην ἄν, ὦ Σώκρατες· ἀλλ' ὁρῶσθω, μὴ τοὐναντίον γένηται. Ἀτεχνῶς γάρ μοι δοκεῖ ἀρ' Ἑστίας ἄρχεσθαι κακουργεῖν τὴν πόλιν, ἐπιχειρῶν ἀδικεῖν σε. Καί μοι λέγε τί
2 καὶ ποιοῦντά σε φησὶ διαφθείρειν τοὺς νέους; — Σωκ. Ἄτοπα, ὦ θαυμάσιε, ὡς οὕτω γ' ἀκοῦσαι. Φησὶ γὰρ ποιητὴν εἶναι με θεῶν· καὶ ὡς καινοὺς ποιοῦντα θεοὺς, τοὺς δ' ἀρχαίους οὐ νο-
3 μίζοντα, ἐγράψατο τούτων αὐτῶν ἕνεκα, ὥς φησι. — Εὐθ. Μανθάνω, ὦ Σώκρατες, ὅτι δὴ σὺ τὸ δαιμόνιον φῇς σαυτῷ ἑκάστοτε γίγνεσθαι. Ὡς οὖν καινοτομοῦντός σου περὶ τὰ θεῖα, γέγραπται τοιαύτην τὴν γραφήν· καὶ ὡς διαβαλῶν δὴ ἔρχεται εἰς τὸ δικαστήριον,
4 εἰδὼς ὅτι εὐδιάβολα τὰ τοιαῦτα πρὸς τοὺς πολλούς. Καὶ ἐμοῦ γάρ τοι, ὅταν τι λέγω ἐν τῇ ἐκκλησίᾳ περὶ τῶν θείων, προλέγων αὐτοῖς τὰ μέλλοντα, καταγελῶσιν ὡς μαινομένου· καὶ τοι οὐδὲν ὅ,τι οὐκ ἀληθὲς εἴρηκα ὧν προεῖπον· ἀλλ' ὅμως ῥοιζοῦσιν ἡμῖν πά-

---

Ἄρχεσθαι οἷον τὸ γάρ ἐπιμελεῖσθαι ὀρθῶς πολιτικῶν πραγμάτων.

7. Ὡς γε εἰκὸς) Καθάπερ δηλ. ἐστὶν εἰκὸς συμβῆναι γενέσθαι τῇ πόλει πολλῶν ἀγαθῶν αἴτιον, εἴ τις ἐκ τοιαύτης ἄρχηται ἀρχῆς.

β'. Βουλοίμην ἄν) Τὸ παρ' ἡμῖν. Δῶμ τὸ θεῖον πολλὰ ἡγάπων τοῦτο. — Ὁρῶσθω) Ἀττικὸν δὲ τοῦτο. Ἑλληνικῶς γὰρ λέγεται· δέδοικα, φοβοῦμαι. — Ἀτεχνῶς) Ἀντὶ τοῦ, ἀληθῶς· ὁ δὲ Σχολιαστὴς λέγει. Ἀτεχνῶς, παντελῶς, ἁπλῶς, ἢ καθάπαξ, ἢ τελέως· οἱ δὲ, ἐν ἴσῳ τῷ ὄντι, καὶ τῇ ἀληθείᾳ· οἱ δὲ, δηλοῦν τὸ, Παράπαν, καὶ καθόλου, κατ' ἀλήθειαν. — Ἀρ' Ἑστίας ἄρχεσθ.) Παροιμία ἐπὶ τῶν ἐν δυνάμει γινομένων, καὶ πρώτους ἀδικούντων τοὺς οἰκείους· ἐπεὶ ἔθος ἦν τῇ Ἑστίᾳ πρώτῃ τῶν ἄλλων θεῶν θύειν. Φέρεται δέ τις καὶ περὶ αὐτῆς μῦθος τοιοῦτος. Μετὰ γὰρ τὸ καταλυθῆναι τὴν τῶν Τιτάνων ἀρχὴν, φασὶ, τὸν Δία τὴν βασιλείαν παραλαβόντα, ἐπιτρέψαι τῇ Ἑστίᾳ λαβεῖν, ὅ,τι ἂν βούλοιτο· τὴν δὲ, τὴν παρθενίαν αἱτήσασθαι καὶ τὰς ἀπαρχὰς τῶν ἀνθρώπων. Σχολιαστ. Πλάτ. ὁ δὲ νοῦς τοιοῦτος. Ὅστις ἐπιχειρεῖ ἀδικεῖν σε, οὗτός μοι δοκεῖ ἐν τῷ κακουργεῖν τὴν πόλιν ἄρχεσθαι ἐξ αὐτοῦ τοῦ πρώτου οὐτῆς.

2. Ἐγράψ.) Μὲ τὴν γραφὴν ταύτην δηλ.

3. Μανθάνω) Ὅπερ ἡμεῖς λέγομεν. Καταλαμβάνω. — Ἑκάστοτε) Ἀεὶ δηλ. καὶ καθ' ἡμέραν περὶ οὗ Φοίνιχος μὲν λέγει. Πάντοτε μὴ λέγε, ἀλλ' ἑκάστοτε, καὶ διαπαντός. Θωμᾶς μάγιστρος δὲ, Πάντοτε οὐδεὶς τῶν Ἀττικῶν, ἑκάστοτε δέ. — Ὡς οὖν καινοτομοῦντός σου) Ἀπολύτως· ἔδει γὰρ εἰπεῖν ὡς οὖν καινοτομοῦντά σε περὶ τὰ θεῖα γέγραπται ταύτην τὴν γραφὴν· λέγει γὰρ γέγραπταί σε γραφὴν· ἔστι δὲ πολλάκις εὑρεῖν τὰ τοιαῦτα εἰς γενικὴν μεταβάλλοντα ἀπόλυτον, ἐν εἴδει ἀναλύσεως· οἷον ἐπειδὴ τρόπον τινὰ καινοτομεῖς σὺ, γέγραπταί σε τὴν γραφὴν ταύτην. — Εὐδιάβολα) Εὐκόλως ὑποπίπτοντα εἰς διαβολὴν παρὰ τοῖς πολλοῖς· ὁ γὰρ πολὺς ὄχλος τὰς περὶ τὰ τοιαῦτα διαβολὰς εὐκόλως δέχεται.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σι τοῖς τοιούτοις. Ἀλλ' οὐδεν αὐτῶν χρὴ φροντίζειν, ἀλλ' ὁμόσε 5
ἰέναι.

γ΄. Σωκ. Ὦ φίλε Εὐθύφρον, ἀλλὰ τὸ μὲν καταγελασθῆναι,
ἴσως οὐδὲν πρᾶγμα. Ἀθηναίοις γάρ τοι, ὡς ἐμοί δοκεῖ, σὺ σφόδρα 2
μέλει, ἄν τινα δεινὸν οἴωνται εἶναι, μὴ μέν τοι διδασκαλικὸν
τῆς αὐτοῦ σοφίας· ὃν δ' ἂν καὶ ἄλλους οἴωνται ποιεῖν τοιού-
τους, θυμοῦνται· εἴτ' οὖν φθόνῳ, ὡς σὺ λέγεις, εἴτε δι' ἄλλο τι.
— Εὐθ. Τούτου οὖν πέρι, ὅπως ποτὲ πρὸς ἐμὲ ἔχουσι, σὺ
πάνυ ἐπιθυμῶ πειρᾶθῆναι. — Σωκ. Ἴσως γάρ σὺ μὲν δοκεῖς 3
σπάνιον σεαυτὸν παρέχειν, καὶ διδάσκειν οὐκ ἐθέλειν τὴν σεαυ-
τοῦ σοφίαν· ἐγὼ δὲ φοβοῦμαι, μὴ ὑπὸ φιλανθρωπίας δοκῶ αὐ-
τοῖς ὅ,τι περ ἔχω, ἐκκεχυμένως παντὶ ἀνδρὶ λέγειν, οὐ μόνον
ἄνευ μισθοῦ, ἀλλὰ καὶ προστιθεὶς ἂν ἡδέως, εἴτις μου
ἐθέλει ἀκούειν. Εἰ μὲν οὖν, ὁ νῦν δὴ ἔλεγον, μέλλοιέν μου κα- 4
ταγελᾶν, ὥσπερ σὺ φῄς σαυτοῦ, οὐδὲν ἂν εἴη ἀηδὲς παίζον-
τας καὶ γελῶντας ἐν τῷ δικαστηρίῳ διαγαγεῖν· εἰ δὲ σπου-
δάσονται, τοῦτ' ἤδη ὅπῃ ἀποβήσεται ἄδηλον, πλὴν ὑμῖν τοῖς
μάντεσιν. — Εὐθ. Ἀλλ' ἴσως οὐδὲν ἔσται, ὦ Σώκρατες, πρᾶγ- 5
μα, ἀλλὰ σύ τε κατὰ νοῦν ἀγωνιῇ τὴν δίκην, οἶμαι δὲ καὶ
ἐμὲ τὴν ἐμήν.

δ΄. Σωκ. Ἔστι δὲ δή σοι, ὦ Εὐθύφρον, τίς ἡ δίκη; φεύγεις
αὐτήν, ἢ διώκεις; — Εὐθ. Διώκω. Σωκ. Τίνα; — Εὐθ. Ὃν

---

5. Ὁμόσε ἰέναι) Ἀποκοπῶν. ὁμόσε. ταῖς λόγχαις ἰέναι· ἀντὶ τοῦ ἐξ ἐναντίας εἰς τὸ αὐτὸ ἐφέρεσθαι καὶ μὴ στρέφεσθαι, μηδὲ φεύγειν.

γ΄. 2. Ἀθηναίοις γάρ τοι) Ὅταν τις δεινός περί τι ᾖ, οὐ μέν τοι διδάσκει τὴν αὐτοῦ σοφίαν, ἀδιαφοροῦσιν οἱ Ἀθηναῖοι, καὶ οὐ σφόδρα φροντίζουσι περὶ τούτου· ὅταν μέν τοι γνῶσί τινα δεινὸν ὄντα περί τι, καὶ ποιοῦντα καὶ ἄλλους ὁμοίους αὐτῷ, τότε δὴ θυμοῦνται κατ' ἐκείνου· ἤτοι φθόνῳ, ἢ καὶ ἄλλην τινὰ ἔχοντες αἰτίαν· καὶ κατὰ λέξιν. Καθάπερ ἐμοὶ δοκεῖ, οὐ σφόδρα μέλει τοῖς Ἀθηναίοις, ἂν οἴωνται, ὅτι ἔστι τις δεινὸς περί τι, οὐ μέν τοι διδασκαλικὸς τῆς αὐτοῦ τέχνης· θυμοῦνται δέ, ἂν οἴωνται, ὅτι ὁ τοιοῦτος καὶ ἄλλους ποιεῖ τοιούτους.

3. Ἐκκεχυμ.) Θεμίστιος Λόγ. ιέ. φησίν· «ὅτι τοὺς λόγους οὐκ ἐν ἀπορρήτοις ἐ- »ποιεῖτο Σωκράτης, οὐδὲ πρὸς καταμό- »νους τοὺς μαθητάς, ἀλλὰ πρὸς πάντας »ἀνθρώπους, ὥς που αὐτός φησιν ἐκκεχυ- μένως.» Τὸ δ' ἐκκεχυμένως οὕτω λέγει· δηλοῖ, ὥστε πάντα διδάσκειν, καὶ οὐδὲν ἀ- ποκρυπτόμενον.

4. Ὥσπερ σὺ φῄς σαυτ.) Ὅτι καταγελᾶσι σαυτοῦ· εἴρηκε γὰρ Εὐθύφρων ὡς καταγελῶσιν αὐτοῦ ὡς μαινομένου. β΄. 4. τὸ δὲ Σαυτοῦ κατὰ ἀντιμετάβασιν· ἀπὸ γὰρ Εὐθύφρονος εἰς Ἀθηναίους, ἀφ' ὧν εἰς Εὐθύφρονα πάλιν ἀντιμεταβαίνει τὰ περὶ τὸ πρόσωπον. — Πλὴν ὑμῖν τοῖς μάντ.) Ὁ γὰρ Εὐθύφρων εἴρηκεν, ὅτι προλέγει τοῖς Ἀθηναίοις τὰ μέλλοντα. β΄. 4.

5. Ἀλλ' οὐδέν) Ὁ νοῦς. Ἀλλ' ἴσως, ὦ Σώκρατες, οὐδέν τι πρᾶγμα μέγα ἐστίν, ὅσα ἐγράψατο Μέλιτος· σὺ μέν τοι ἐννοῶν αὐτὸ ὡς μέγα τι, ἔχεις τὸν ἀγῶνα τῆς δίκης μέγαν· καθάπερ ἴσως καὶ ἐγὼ πάσχω τὸ αὐτό, καὶ ἀγωνιοῦμαι τὴν ἐμὴν δίκην κατὰ νοῦν. — Καὶ ἐμὲ τὴν ἐμήν) Ἀγωνιεῖσθαι δίκην δηλ.

δ΄. Ἔστι δέ) Οἷον· Τίς δὲ δή ἐστί σοι ἡ δίκη;

— Φεύγεις αὐτήν ἢ διώκεις). Ἀνώνυμος ἐν Ἀττικοῖς φησίν ὅτι «οἱ Ἀθηναῖοι »διὰ τοῦ εἰπεῖν καταγορεῖται ὁ δεῖνα

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

2 διώκων αὖ δοκῶ μαίνεσθαι. — Σωκ. Τί δαί; πετόμενόν τινα διώκεις; — Εὐθ. Πολλοῦ γε δεῖ πέτεσθαι, ὃς γε δὴ τυγχάνει ὢν εὖ μάλα πρεσβύτης. — Σωκ. Τίς οὗτος; — Εὐθ. Ὁ ἐμὸς πατήρ. — Σωκ. Ὁ σός, ὦ βέλτιστε; — Εὐθ. Πάνυ μὲν οὖν. —
3 Σωκ. Ἔστι δὲ δὴ τί τὸ ἔγκλημα, καὶ τίνος ἡ δίκη; — Εὐθ. Φόνου, ὦ Σώκρατες. — Σωκ. Ἡράκλεις! ἦπου, ὦ Εὐθύφρον, ἀγνοεῖται ὑπὸ τῶν πολλῶν, ὅπῃ ποτὲ ὀρθῶς ἔχει· οὐ γὰρ οἶμαί γε τοῦ ἐπιτυχόντος εἶναι ὀρθῶς αὐτὸ πρᾶξαι, ἀλλὰ πόρρω που ἤδη σοφίας ἐλαύνοντος. — Εὐθ. Πόρρω μέν τοι νὴ Δία, ὦ Σω-
4 κρατες. —Σωκ. Ἔστι δὲ δὴ τῶν οἰκείων τίς ὁ τεθνεώς ὑπὸ τοῦ σοῦ πατρός; ἢ δῆλα δή· οὐ γὰρ ἄν που ὑπέρ γε ἀλλοτρίου ἐπεξίης θα[τῷ
5 πατρι] φόνου αὐτῷ. — Εὐθ. Γελοῖον, ὦ Σώκρατες, ὅτι οἴει τι διαφέρειν, εἴτε ἀλλότριος, εἴτε οἰκεῖος ὁ τεθνεώς· ἀλλ' οὐ τοῦτο μόνον δεῖ φυλάττειν, εἴτε ἐν δίκῃ ἔκτεινεν ὁ κτείνας, εἴτε μή· καὶ εἰ μὲν ἐν δίκῃ, ἐᾶν· εἰ δὲ μή, ἐπεξιέναι· ἐὰν περ ὁ κτείνας συνέστιός σοι καὶ ὁμοτράπεζος ᾖ. Ἴσον γὰρ τὸ μίασμα γίγνεται, ἐὰν ξυνῇς τῷ τοιούτῳ ξυνειδώς, καὶ μὴ ἀφοσιοῖς σεαυτόν τε καὶ ἐκεῖνον, τῇ δίκῃ ἐπε-
6 ξιών. Ἐπεί ὅ,γε ἀποθανὼν πελάτης τις ἦν ἐμός· καὶ ὡς ἐγεωργοῦμεν ἐν τῇ Νάξῳ, ἐθήτευεν ἐκεῖ παρ' ἡμῖν. Παροινήσας οὖν, καὶ ὀργισθεὶς τῶν οἰκετῶν τινι τῶν ἡμετέρων, ἀποσφάττει αὐτόν.
7 Ὁ οὖν πατήρ, συνδήσας τοὺς πόδας καὶ τὰς χεῖρας αὐτοῦ, καταβαλὼν εἰς τάφρον τινά, πέμπει δεῦρο ἄνδρα πευσόμενον τοῦ

»κλοπῆς, φεύγει ὁ δεῖνα κλοπῆς λέγουσιν »ὅθεν καὶ ὁ κατήγορος διώκων λέγεται· »καὶ ὁ κατηγορούμενος, φεύγων.α

2. Τί δαί;) Ὁ Δαὶ Ἐρωτηματικὸς τῇ αι γράφεται· ἔμφασιν γὰρ ἔχει, καὶ ἐκτείνει τὸν χρόνον τῆς φωνῆς. Σχολιαστ. Ἀριστοφ. ἐν Πλούτ. στίχ. 156.

— Πολλοῦ γε δεῖ) Ἀντὶ, Οὐδαμῶς ἐστὶ πέτεσθαι. Βαρῖνος γάρ φησιν· ὅτι Πολλοῦ γε καὶ δεῖ λέγουσιν Ἀττικοί, ἀντὶ τοῦ εἰπεῖν. Οὐδαμῶς· προκεκλησαμένης ἐρωτήσεως.

— Ὁ σός!) Ἐν ἀπορίᾳ ἀναγνωστέον καὶ ἐκ πλήξει.

— Καὶ τίνος ἡ δίκη) Καὶ τίνος ἐγκλήματος.

3. Ἦπου, ὦ Εὐθύφρον) Ὁ νοῦς. Πάντως, ὦ Εὐθύφρον, τοῦτο ἀγνοοῦσιν οἱ πολλοί, ὅπως ἂν δύναταί ποτε ὀρθῶς ἔχειν. Καὶ γὰρ οὐδὲ τοῦ τυχόντος εἶναι οἴομαι τὸ ὀρθῶς δυνηθῆναι πρᾶξαι τοῦτο· ἀλλ' ἀνδρὸς ἴδιον εἶναι νομίζω σοφωτάτου πάνυ.

—Πόρρω . . . σοφίας ἐλαύνοντος) Ἀντὶ εἰς τὸ βαθύτατον τῆς σοφίας γενομένου. Βαρῖνος ἐν τῷ Πόρρω· ἐνταῦθα δὲ κατ' εἰρωνείαν ὁ λόγος.

— Πόρρω μέν τοι) Ὁ Μέν τοι βεβαιωτικός· οἷον· τῇ ἀληθείᾳ τοῦτο ἐστὶν ἴδιον Πόρρω σοφίας ἐλαύνοντος.

4. Ἢ δῆλα δή) Πάντως δηλ. τῶν οἰκείων ἐστὶν· ἄλλως γὰρ οὐκ ἂν ἐπεξίης τῷ πατρὶ αὐτῷ φόνου ὑπὲρ ἀλλοτρίου γε.

— Ἐπεξίησθα) Κατ' ἐπέκτασιν τῆς θα συλλαβῆς.

5. Ὅτι) Ἀνάλυσις ὀνοματικοῦ ἀπαρεμφάτου· ἀντὶ τοῦ, Γελοῖόν ἐστιν τὸ οἴεσθαί σε διαφέρειν τι· καὶ τλ. — Ἐν δίκῃ) Δικαίως δηλ. — Ἀφοσιοῖς) Ἁρποκρατίων Ἀφοσιῶ, φησίν, ἀντὶ τοῦ ἀποκαθαίρω, ἁγαγνίζω· καὶ Ἡσύχιος, Ἀφοσιοῦν· καθαίρειν.

6. Πελάτης) Πολυδ. Γ. Πελάται καὶ θῆτες, ἐλευθέρων ἐστὶν ὀνόματα, διὰ πενίαν ἐπ' ἀργυρίῳ δουλευόντων. — Καὶ ὡς ἐγεωργοῦμεν) Τὸ Ὡς χρονικόν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐξηγητοῦ ὅ,τι χρὴ ποιεῖν. Ἐν δὲ τούτῳ τῷ χρόνῳ τοῦ δεδεμένου 8
ὀλιγώρει τε καὶ ἠμέλει, ὡς ἀνδροφόνου· καὶ οὐδὲν ἦν πρᾶγμα
εἰ καὶ ἀποθάνοι, ὅπερ οὖν καὶ ἔπαθεν. Ὑπὸ γὰρ λιμοῦ καὶ
ῥίγους καὶ τῶν δεσμῶν ἀποθνήσκει, πρὶν τὸν ἄγγελον παρὰ τοῦ
ἐξηγητοῦ ἀφικέσθαι. Ταῦτα δὴ οὖν καὶ ἀγανακτεῖ ὅ,τε πατὴρ 9
καὶ οἱ ἄλλοι οἰκεῖοι, ὅτι ἐγὼ ὑπὲρ τοῦ ἀνδροφόνου τῷ πατρὶ
φόνου ἐπεξέρχομαι· οὔτε ἀποκτείναντι, ὥς φασιν ἐκεῖνοι, οὔτ', εἰ ὅτι
μάλιστ' ἀπέκτεινεν, ἀνδροφόνου γε ὄντος τοῦ ἀποθανόντος,
οὐ δεῖν φροντίζειν ὑπὲρ τοῦ τοιούτου· ἀνόσιον γὰρ εἶναι τὸν υἱὸν
πατρὶ φόνου ἐπεξιέναι· κακῶς εἰδότες, ὦ Σώκρατες, τὸ θεῖον ὡς
ἔχει τοῦ ὁσίου τε περὶ καὶ τοῦ ἀνοσίου. — Σωκ. Σὺ δὲ δὴ πρὸς 10
Διός, ὦ Εὐθύφρον, οὕτωσὶ ἀκριβῶς οἴει ἐπίστασθαι περὶ τῶν
θείων, ὅπῃ ἔχει, καὶ τῶν ὁσίων τε καὶ ἀνοσίων; ὥς τε τούτων οὕ-
τω πραχθέντων, ὡς σὺ λέγεις, οὐ φοβῇ δικαζόμενος τῷ πατρί,
ὅπως μὴ αὖ σὺ ἀνόσιον πρᾶγμα τυγχάνῃς πράττων; — Εὐθ. 11
Οὐδὲν γάρ ἄν μοι ὄφελος, ὦ Σώκρατες, εἴη, οὐδὲ τῷ ἂν διαφέ-
ροι Εὐθύφρων τῶν πολλῶν ἀνθρώπων, εἰ μὴ τὰ τοιαῦτα πάντα
ἀκριβῶς εἰδείην.

ε΄. Σωκ. Ἆρ' οὖν μοι, ὦ θαυμάσιε Εὐθύφρον, κράτιστόν ἐστι μαθητὴ σῷ γενέσθαι, καὶ πρὸ τῆς γραφῆς τῆς πρὸς Μέλιτον αὐτὰ ταῦτα προκαλεῖσθαι αὐτὸν λέγοντα· ὅτι ἔγω γε καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ τὰ θεῖα περὶ πολλοῦ ἐποιούμην εἰδέναι, καὶ

---

7. Τοῦ ἐξηγητοῦ) Πολὺ Η΄. Ἐξηγηταὶ ἐκαλοῦντο οἱ τὰ περὶ τῶν διοσημείων, καὶ τὰ τῶν ἄλλων ἱερῶν διδάσκοντες. Σουίδας δὲ· Ἐξηγηταί, οἷς μέλει καθαίρειν τοὺς ἐν ἄγει τινὶ ἐνισχηθέντας καὶ οἱ ἐξηγούμενοι τὰ πάτρια.

8. Καὶ οὐδὲν ἦν πρᾶγμα) Αὐτῷ δηλ. ἤτοι· ἀδιαφόρει εἰ καὶ ἀποθάνοι.

9. Ἐπεξέρχομαι) Βαρῖνος. Ἐπεξέρχομαι καὶ ἀντὶ τοῦ τιμωροῦμαι καὶ εἰς εὐθύνας καὶ κρίσιν ἄγω, δοτικῇ συντάσσεται. — Εἰ ὅτι μάλιστα) Ἂν δηλ. καὶ τῇ ἀληθείᾳ ἀπέκτεινεν.—Οὐ δεῖν) Ἀνακόλουθον δὲ τὸ τοιοῦτο καὶ ἡ σύνταξις συγκεχυμένη πῶς· ἔδει γὰρ εἰπεῖν οὕτω πως· οὔτε ἀποκτείναντι· οὔτε ἐπειδὴ ἀνδροφόνος ἦν ὁ ἀποθανών, ἄξιον φροντίδος ἔργον πραξάμενον· ὁ δὲ, τὸ μὲν ἀποκτείναντι συνεχώρησε τῇ τῷ πατρὶ ὁσιότητι· ἐν δὲ τῷ δευτέρῳ οὔτε ὁμοιόπτωτον ἀπαιτοῦντι, ἐπειδὴ εἰσῆλθόν τινα, ὥσπερ ἐπιλαθόμενος, ἀπαρέμφατον ἐπήγαγεν, ἀπὸ τοῦ φασὶν ἐξηρτῶμενον· καὶ ἐπανέλαβε τὸ Οὐ· οἷον· Οὔτε φασὶν δεῖν φροντίζειν καὶ τλ. τὰ δὲ τοιαῦτα κακόξηλα λέγεται· καὶ μιμήσεως οὐ κρίνεται ἄξια. — Ἀνόσιον γὰρ εἶναι) Φασὶ δηλ. — Τὸ θεῖον, ὡς ἔχει) Καθ' ὑπερβιβασμὸν· ἀντὶ Κακὴν ἰδέαν ἔχοντες, ὡς ἔχει τὸ θεῖον περὶ τοῦ ὁσίου καὶ ἀνοσίου.

10. Ὅπῃ ἔχει) Ὅπως ἔχει δηλ. — Τυγχάνῃς πράττων;) Ἀντὶ πράττῃς. — Οὐδὲ τῷ) Ἀντὶ τινὶ· ἤτοι· τοῦτο ἐστί μοι τὸ ὠφέλιμον, καὶ κατὰ τοῦτο διαφέρω τῶν πολλῶν, ἐπειδὴ οἶδα ταῦτα πάντα ἀκριβῶς.

ε΄. Μαθητῇ σῷ) Κράτιστον ἐστὶν ἐμοὶ γενέσθαι μαθητῇ σῷ· τὸ ἐκ τρίτου τοῦ γενέσθαι ὁμοιόπτωτον τῷ ἐκ πρώτου. — Λέγοντα) Ἀπαρεμφατικῇ τὸ Λέγοντα πρὸς τὸ προσκαλεῖσθαι. Ἔστι δὲ κατὰ ἀνάλυσιν τοιόνδε. Ἆρα, ὦ Εὐθύφρον κρατιστόν ἐστιν, ἵνα ἐγὼ γένωμαι μαθητὴς σός, καὶ ἵνα προκαλῶμαι Μέλιτον πρὸ τῆς γραφῆς, ἥτις μοι ἐστὶ πρὸς αὐτὸν· αὐτὰ ταῦτα ἃ διελέχθημεν, λέγων

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νῦν, ἐπειδή με ἐκεῖνος αὐτοσχεδιάζοντά φησι, καὶ καινοτομοῦντα
2 περὶ τῶν θείων ἐξαμαρτάνειν, μαθητὴς δὴ γέγονα σός. Καὶ εἰ
μὲν, ὦ Μέλιτε, φαίην ἄν, Εὐθύφρονα ὁμολογεῖς σοφὸν εἶναι τὰ
τοιαῦτα καὶ ὀρθῶς νομίζειν· καὶ ἐμὲ ἡγοῦ καὶ μὴ δικάζου· εἰ
δὲ μὴ, ἐκείνῳ τῷ διδασκάλῳ λάχε δίκην πρότερον ἢ ἐμοί, ὡς
τοὺς πρεσβυτέρους διαφθείροντι ἐμέ τε καὶ τὸν αὐτοῦ πατέρα· ἐμὲ
3 μὲν διδάσκοντι, ἐκεῖνον δὲ νουθετοῦντι καὶ κολάζοντι. Καὶ ἐὰν
μή μοι πείθηται, μὴ δὲ ἀφῇ τῆς δίκης, ἢ ἀντ' ἐμοῦ γράφηταί
σε, αὐτὰ ταῦτα λέγειν ἐν τῷ δικαστηρίῳ, ἃ προὐκαλούμην αὐτόν.
4 — Εὐθ. Ναὶ μὰ Δία, ὦ Σώκρατες, εἰ ἄρα ἐμὲ ἐπιχειρήσειε
γράφεσθαι, εὕροιμ' ἂν ὡς οἶμαι, ὅπῃ σαθρός ἐστι· καὶ πολὺ ἂν
ἡμῖν πρότερον περὶ ἐκείνου λόγος γένοιτο ἐν τῷ δικαστηρίῳ ἢ περὶ
5 ἐμοῦ. — Σωκ. Καὶ ἐγώ τοι, ὦ φίλε ἑταῖρε, ταῦτα γιγνώσκων,
μαθητὴς ἐπιθυμῶ γενέσθαι σός· εἰδὼς ὅτι καὶ ἄλλος ποῦ τις, καὶ
ὁ Μέλιτος οὗτος, σὲ μὲν οὐδὲ ὁρᾷ· ἐμὲ δὲ οὕτως ὀξέως
ἀτεχνῶς καὶ ῥᾳδίως κατεῖδεν, ὥς τε ἀσεβείας ἐγράψατο.

ϛ'. Νῦν οὖν πρὸς Διὸς λέγε μοι, ὃ νῦν σαφῶς εἰδέναι δι-
σχυρίζου· ποῖον δή τι τὸ εὐσεβὲς φῂς εἶναι, καὶ τὸ ἀσεβὲς, καὶ
περὶ φόνου, καὶ περὶ τῶν ἄλλων· ἢ οὐ ταὐτόν ἐστιν ἐν πάσῃ πράξει
τὸ ὅσιον αὐτὸ αὑτῷ· καὶ τὸ ἀνόσιον αὖ, τοῦ μὲν ὁσίου παντὸς
ἐναντίον, αὐτὸ δὲ αὑτῷ ὅμοιον, καὶ ἔχον μίαν τινὰ ἰδέαν κατὰ
τὴν ἀνοσιότητα, πᾶν ὅ, τι περ ἂν μέλλοι ἀνόσιον εἶναι. —
2 Εὐθ. Πάντως δήπου, ὦ Σώκρατες. Σωκ. Λέγε δὴ τί φῂς εἶναι
τὸ ὅσιον, καὶ τί τὸ ἀνόσιον; — Εὐθ. Λέγω τοίνυν, ὅτι τὸ μὲν
ὅσιόν ἐστιν, ὅπερ ἐγὼ νῦν ποιῶ, τῷ ἀδικοῦντι, ἢ περὶ φόνους, ἢ
περὶ ἱερῶν κλοπὰς, ἤ τι ἄλλο τῶν τοιούτων ἐξαμαρτάνοντι ἐπε-
ξιέναι· ἐάν τε πατὴρ ὢν τυγχάνῃ, ἐάν τε μήτηρ, ἐάν τε ἄλλος ὁσ-
3 τιοῦν· τὸ δὲ μὴ ἐπεξιέναι, ἀνόσιον. Ἐπεὶ, ὦ Σώκρατες, θέασαι,
ὡς μέγα σοι ἐρῶ τεκμήριον τοῦ νόμου, ὅτι οὕτως ἔχει, ὃ καὶ
ἄλλοις ἤδη εἶπον, ὅτι ταῦτα ὀρθῶς ἂν εἴη οὕτω γιγνόμενα, μὴ
4 ἐπιτρέπειν τῷ ἀσεβοῦντι, μὴ δ' ἂν ὀρτιοῦν τυγχάνῃ ὤν. Αὐτοὶ

Ο'τι ἔγωγε καὶ τλ. — Αὐτοσχεδιάζοντα) Ἐκ τοῦ αὐτομάτου καὶ προχείρως λέγοντα χωρὶς αἰτίας· ὡς λέγει ὁ Σχολιαστ. Πλατ. Τὸ δὲ περὶ τῶν θείων αὐτοσχεδιάζειν οὐδὲν ἀλλ' ἢ κακῶς περὶ τῶν θείων φρονεῖν πραγμάτων, καὶ ὅσα τούτοις ἀνήκει.

2. Φαίην ἄν) Προσθείην ἄν. — Καὶ ἐμὲ ἡγοῦ) Ἐννοεῖται. Σοφὸν εἶναι τὰ τοιαῦτα καὶ ὀρθῶς νομίζειν. — Λάχε δίκην) Θωμᾶς Μάγιστρος Λαγχάνω δίκην τῷ δεῖνι ἤγουν κρίτιν, Ἀττικοὶ λέγουσιν, οὐκ ἐπιφέρω· διὰ κλήρου γὰρ τὰς δίκας ἐποίουν.

3. Αὐτὰ ταῦτα λέγειν) Ἀπὸ τοῦ Κράτιστόν ἐστι. — Ἃ Προὐκαλούμην) Προκαλεῖσθαι τινὰ τί ἐστιν ἐπάγειν τινὶ αἰτίαν τινά.

ϛ'. Παντὸς ἐναντίον) Οἷον· τὸ ἀνόσιον ἐναντίον ἐστὶ τοῦ ὁσίου παντὸς, ὅπως δηλοῦται· δηλονότι θεωρουμένου. — Πᾶν ὅ, τι περ) Ἐκ τούτου φανερὸν ὅτι καὶ τὸ, παντὸς τοῦ ὁσίου τὸ αὐτὸ δηλοῖ, εἰ τ' οὖν πᾶν ὅ, τε περ ἂν μέλλῃ ὅσιον εἶναι.—Πάντως δήπου) Τὸ δήπου πρὸς ἐπίτασιν τῆς βεβαιώσεως.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γὰρ οἱ ἄνθρωποι τυγχάνουσι νομίζοντες τὸν Δία τῶν θεῶν ἄριστον καὶ δικαιότατον· καὶ τοῦτον ὁμολογοῦσι τὸν αὐτοῦ πατέρα δῆσαι, ὅτι τοὺς υἱεῖς κατέπινεν οὐκ ἐν δίκῃ· καὶ ἐκεῖνόν γε αὖ τὸν αὐτοῦ πατέρα ἐκτεμεῖν δι' ἕτερα τοιαῦτα· ἐμοὶ δὲ χαλεπαίνουσι, ὅτι τῷ πατρὶ ἐπεξέρχομαι ἀδικοῦντι· καὶ οὕτως αὐτοὶ ἑαυτοῖς τὰ ἐναντία λέγουσι περί τε τῶν θεῶν, καὶ περὶ ἐμοῦ. — Σωκ. Ἆρά γε, ὦ Εὐθύφρον, τοῦτ' ἐστὶν οὗ ἕνεκα τὴν γραφὴν φεύγω, ὅτι τὰ τοιαῦτα, ἐπειδάν τις περὶ τῶν θεῶν λέγῃ, δυσχερῶς πως ἀποδέχομαι· δι' ἃ δή, ὡς ἔοικε, φήσει τίς με ἐξαμαρτάνειν. Νῦν οὖν, εἰ καὶ σοὶ ταῦτα ξυνδοκεῖ τῷ εὖ εἰδότι περὶ τῶν τοιούτων, ἀνάγκη δή, ὡς ἔοικε, καὶ ἡμῖν ξυγχωρεῖν. Τί γὰρ καὶ φήσομεν, οἵ γε καὶ αὐτοὶ ὁμολογοῦμεν περὶ αὐτῶν μηδὲν εἰδέναι; ἀλλά μοι εἰπέ πρὸς Φιλίου, σὺ ὡς ἀληθῶς ἡγῇ ταῦτα γεγονέναι οὕτως; — Εὐθ. Καὶ ἔτι γε τούτων θαυμασιώτερα, ὦ Σώκρατες, ἃ οἱ πολλοὶ οὐκ ἴασι. — Σωκ. Καὶ πόλεμον ἄρα ἡγῇ σὺ εἶναι τῷ ὄντι ἐν τοῖς θεοῖς πρὸς ἀλλήλους, καὶ ἔχθρας γε δεινὰς καὶ μάχας, καὶ ἄλλα τοιαῦτα πολλά, οἷα λέγεται ὑπὸ τῶν ποιητῶν, καὶ ὑπὸ τῶν ἀγαθῶν γραφέων, τά τε ἄλλα ἱερὰ ἡμῖν καταπεποίκιλται, καὶ δὴ καὶ τοῖς μεγάλοις Παναθηναίοις ὁ πέπλος μεστὸς τῶν τοιούτων ποικιλμάτων ἀνάγεται εἰς

4. Οὐκ ἐν δίκῃ) Ἀδίκως. Κρόνος τὴν ἀδελφὴν Ῥέαν γήμας, ἐπειδὴ Γῆ τε καὶ Οὐρανὸς ἐθεσπιῴδουν αὐτῷ λέγοντες ὑπὸ παιδὸς ἰδίου τὴν ἀρχὴν ἀφαιρήσεσθαι, κατέπινε τὰ γεννώμενα. Ἐπὶ τούτοις ὀργισθεῖσα ἡ Ῥεία παρεγένετο εἰς Κρήτην, ὁπηνίκα τὸν Δία ἐγκυμονοῦσα ἐτύγχανε, καὶ γεννᾷ αὐτὸ ἐν ἄντρῳ τῆς Δίκτης καὶ αὐτὸν μὲν παραδοῦσα Κουρήσι τοῖς θεῖναι, οἵπερ ἔνοπλοι ὄντες τοῖς ὅπλοις τὰς ἀσπίδας συνέκρουον, ἵνα μὴ τῆς τοῦ παιδὸς φωνὴς ὁ Κρόνος ἀκούσῃ, αὐτὴ δὲ λίθον σπαργανώσασα ἔδωκε τῷ Κρόνῳ καταπιεῖν. Ζεὺς δὲ γενόμενος τέλειος, συνεργοῦντος Μήτιος, διὰ φαρμάκου ἀναγκάζει Κρόνον τοὺς ὁδελφοὺς ἐμεῖν· μεθ' ὧν πρὸς Κρόνον εἰσήνεγκε πόλεμον· καὶ μετὰ δέκα ἐνιαυτοὺς κρατήσας, καθεῖρξεν ἐν τῷ ταρτάρῳ. Ἀπολλόδ. Α΄. Καὶ ἐκεῖνόν γε) Τὸν Κρόνον. Γῆ τεκοῦσ' ἐξ Οὐρανοῦ Κύκλωπας, ἕνα ὀφθαλμὸν ἐπὶ τοῦ μετώπου ἔχοντας· οὓς δήσας Οὐρανὸς ἔρριψεν εἰς τὸν τάρταρον· μετὰ ταῦτα πάλιν τεκοῦσ' Γῆ ἐξ οὐρανοῦ τοὺς Τιτᾶνας· οὓς, ἀγανακτοῦσα ἐπὶ τῇ ἀπωλείᾳ τῶν Κυκλώπων, πείθει ἐπιθέσθαι τῷ πατρί· οἱ δὲ, ἐπιτίθενται· καὶ Κρόνος ἀποτεμὼν τὰ αἰδοῖα τοῦ πατρὸς, ῥίπτει εἰς τὴν θάλασσαν. Ἀπολλόδ. Α΄.

5. Τὴν γραφὴν φεύγω) Καταγροῦμαι. — Ὅτι) Ἀνάλυσις ὀνοματικοῦ ἀπαρεμφάτου· τὸ ἀποδέχεσθαί με δυσχερῶς πως τὰ τοιαῦτα.

6. Πρὸς τοῦ Φιλίου) Διὸς δηλ. ὡς τὰ περὶ τὰς φιλίας ἐπισκοπῶν, ταύτας ἔλαχε τῆς κλήσεως Ζεύς.

7. Καὶ ἔτι) Ἐννοεῖται, ἡγοῦμαι. — Καὶ πόλεμον) Ἐνταῦθα σημειώτεως ἄξιον, ὅτι ὁ Πλάτων οὐ δέχεται, περὶ θεοῦ λέγεσθαι τὰ παρὰ τῶν ποιητῶν μυθευόμενα, οἷον ἔχθρας πολέμους, συνουσίας, καὶ τὰ τοιαῦτα. Ὅλος γὰρ ὁ σκοπὸς τῆς ἑξῆς διαλέξεως πρὸς τοῦτο ἀφορᾷ.

8. Καὶ τοῖς μεγάλοις) Ἐλλείπει ἡ Ἐν Παναθήναια ἑορτή, ἣν εἰς τιμὴν Ἀθηνᾶς ἤγοντο Ἀθηναῖοι ἦταν δὲ διπλᾶ, μεγάλα καὶ μικρά· καὶ τὰ μὲν μικρὰ κατ' ἐνιαυτὸν ἤγοντο, τὰ δὲ μεγάλα κατὰ πενταετίαν, ἃ καὶ ἁπλῶς Παναθήναια ἐκαλοῦντο· ἐν οἷς τὸν πέπλον τῆς Ἀθηνᾶς καλούμενον, τὴν Γιγαντομαχίαν πεποικιλμένην ἔχοντα, καὶ ὅσα τότε πέπρακται τῇ Ἀθηνᾷ, ἔφερον ἀπὸ τοῦ Κεραμικοῦ μέχρις Ἐλευσῖνος, κἀκεῖθεν εἰς τὴν ἀκρόπολιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

8 τὴν ἀκρόπολιν; ταῦτα ἀληθῆ φῶμεν εἶναι, ὦ Εὐθύφρον; — Εὐθ. Μὴ μόνα γε, ὦ Σώκρατες· ἄλλ' ὅπερ ἄρτι εἶπον, καὶ ἄλλα σοι ἐγὼ πολλά, ἐάν περ βούλῃ περὶ τῶν θείων διηγήσομαι· ἃ σὺ ἀκούων, εὖ οἶδ', ὅτι ἐκπλαγήσῃ.

ζ'. Σωκ. Οὐκ ἂν θαυμάζοιμι· ἀλλὰ ταῦτα μέν μοι εἰσαῦθις ἐπὶ σχολῆς διηγήσῃ· νυνὶ δέ, ὅπερ ἄρτι σε ἠρόμην, πειρῶ σαφέστερον εἰπεῖν. Οὐ γάρ με, ὦ ἑταῖρε, τοπρότερον ἱκανῶς ἐδίδαξας, ἐρωτήσαντα τὸ ὅσιον ὅ,τι ποτὲ εἴη· ἀλλά μοι εἶπες, ὅτι τοῦτο τυγχάνει ὅσιον ὂν, ὃ σὺ νῦν ποιεῖς, φόνου ἐ-
2 πεξιὼν τῷ πατρί. — Εὐθ. Καὶ ἀληθῆ γε ἔλεγον, ὦ Σώκρατες. — Σωκ. Ἴσως. Ἀλλὰ γάρ, ὦ Εὐθύφρον, καὶ ἄλλα πολλά φῂς
3 εἶναι ὅσια; — Εὐθ. Καὶ γάρ ἐστί. — Σωκ. Μέμνησαι οὖν ὅ-τι σὺ τοῦτό σοι διεκελευόμην, ἕν τι ἢ δύο με διδάξαι τῶν πολλῶν ὁσίων· ἀλλ' ἐκεῖνο αὐτὸ τὸ εἶδος, ᾧ πάντα τὰ ὅσια, ὅσιά ἐστιν· ἔφησθα γάρ που μιᾷ ἰδέᾳ τά τε ἀνόσια, ἀνόσια εἶναι·
4 καὶ τὰ ὅσια, ὅσια· ἢ οὐ μνημονεύεις; — Εὐθ. Ἔγωγε. — Σωκ. Ταύτην τοίνυν με αὐτὴν διδάξον τὴν ἰδέαν τίς ποτέ ἐστιν· ἵνα εἰς ἐκείνην ἀποβλέπων, καὶ χρώμενος αὐτῇ παραδείγματι, ὃ μὲν ἂν τοιοῦτον ᾖ, ὧν ἂν ἢ σὺ ἢ ἄλλος τις πράττῃ, φῶ ὅ-
5 σιον εἶναι· ὃ δ' ἂν μὴ τοιοῦτον, μὴ φῶ. — Εὐθ. Ἀλλ' εἰ οὕτω βούλει, ὦ Σώκρατες, καὶ οὕτω σοι φράσω. — Σωκ. Ἀλλὰ μὴν βούλομαί γε. — Εὐθ. Ἔστι τοίνυν τὸ μὲν τοῖς θεοῖς προσφιλές, ὅσιον· τὸ δὲ μὴ προσφιλές, ἀνόσιον. — Σωκ. Πα-
6 κάλως, ὦ Εὐθύφρον, καὶ ὡς ἐγὼ ἐζήτουν ἀποκρίνασθαί σε, οὕτω νῦν ἀπεκρίνου. Εἰ μέν τοι ὡς ἀληθῶς, τοῦτο οὔπω οἶδα· ἀλλὰ σὺ δηλονότι ἐπεκδιδάξεις, ὡς ἔστιν ἀληθῆ, ἃ λέγεις. — Εὐθ. Πάνυ μὲν οὖν.

ἡ. Σωκ. Φέρε δή, ἐπισκεψώμεθα, τί λέγομεν. Τὸ μὲν θεοφιλές τε καὶ ὁ θεοφιλὴς ἄνθρωπος, ὅσιος· τὸ δὲ θεομισὲς καὶ ὁ θεομιστὴς, ἀνόσιος· οὐ ταὐτὸν δ' ἔστιν, ἀλλὰ τὸ ἐναντιώτατον τὸ ὅσιον τῷ ἀνοσίῳ. Οὐχ οὕτως; — Εὐθ. Οὕτω μέν οὖν. — Σωκ. Καὶ εὖγε φαίνεται εἰρῆσθαι. — Εὐθ. Δοκῶ, ὦ Σώκρατες·

ζ'. Ἐπὶ σχολῆς) Τῆς λεγομένης παρὰ τοῖς πολλοῖς Εὐκαιρίας. — Τὸ Ὅσιον ὅ,τι ποτ.) Οἷον Ὅ,τι ποτὲ εἴη τὸ ὅσιον. — Τυγχάνει . . . ὄν) Ἐστίν.

2. Ἀλλὰ γάρ) Ἀντιθετικὸς, ἢ προσθετικός.

3. Ἔφησθα) Κατ' ἐπέκτασιν τῆς θασυλλαβῆς. — Μιᾷ ἰδέᾳ) Σημείωσαι ὅτι Εἶδος καὶ Ἰδέα τὸ αὐτὸ λέγει· ὡς Λαέρτιος λέγει. Γ'. ἑγ'. — Ἔγω γε) Μνημονεύω δηλ.

4. Μὴ φῶ.) Ὅσιον εἶναι.

5. Ἀλλαμὴν . . . γε) Βεβαιωτικός.

6. Πάνυ μὲν οὖν) Ὑπεκδιδάξω βεβαιώτατα.

ἡ. Οὐ ταὐτὸν καὶ τλ.) Οὐ ταὐτὸν δηλονότι ἐστὶ τὸ ὅσιον τῷ ἀνοσίῳ, ἀλλὰ τὸ ὅσιον ἐπὶ τὸ ἐναντιώτατον τῷ ἀνοσίῳ. — Οὐχ οὕτως) Ἔχει δηλ. — Οὕτω μὲν οὖν) Οὕτως ἔχει βεβαιώτατα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἴρηται γάρ. — Σωκ. Οὐκοῦν καὶ ὅτι στασιάζουσιν οἱ θεοὶ καὶ διαφέρονται ἀλλήλοις, ὦ Εὐθύφρον, καὶ ἔχθρα ἔστιν ἐν αὐτοῖς πρὸς ἀλλήλους, καὶ τοῦτο εἴρηται; — Εὐθ. Εἴρηται γάρ. — 2
Σωκ. Ἔχθραν δὲ καὶ ὀργάς, ὦ ἄριστε, ἡ περὶ τίνων διαφορὰ ποιεῖ; ὧδε δὲ σκοπῶμεν. Ἆρα ἂν εἰ διαφεροίμεθα ἐγώ τε καὶ σὺ περὶ ἀριθμοῦ, ὁπότερα πλείω, ἡ περὶ τούτων διαφορὰ ἐχθροὺς ἂν ἡμᾶς ποιῇ, καὶ ὀργίζεσθαι ἀλλήλοις; ἢ ἐπὶ λογισμὸν ἐλθόντες περί γε τῶν τοιούτων, ταχὺ ἂν ἀπαλλαττοίμεν; —
Εὐθ. Πάνυ γε. — Σωκ. Οὐκοῦν καὶ περὶ τοῦ μείζονος καὶ 3
τοῦ ἐλάττονος εἰ διαφεροίμεθα, ἐπὶ τὸ μετρεῖν ἐλθόντες, ταχὺ παυσαίμεθ' ἂν τῆς διαφορᾶς; — Εὐθ. Ἔστι ταῦτα. — Σωκ.
Καὶ ἐπί γε τὸ ἱστάναι ἐλθόντες, ὡς ἐγῷμαι, περὶ τοῦ βαρυ- 4
τέρου τε καὶ κουφοτέρου διακριθείημεν ἄν; — Εὐθ. Πῶς γὰρ οὔ; — Σωκ. Περὶ τίνος δὲ δὴ διενεχθέντες, καὶ ἐπὶ τίνα κρί- 5
σιν οὐ δυνάμενοι ἀφικέσθαι, ἐχθροί τε ἂν ἀλλήλοις εἴημεν, καὶ ὀργιζοίμεθα; ἴσως οὐ πρόχειρόν σοι ἐστὶν· ἀλλ' ἐμοῦ λέγοντος σκόπει, εἰ τὰ δ' ἐστὶ τό,τε δίκαιον καὶ τὸ ἄδικον, καὶ καλὸν καὶ αἰσχρὸν, καὶ ἀγαθὸν καὶ κακόν. Ἆρ' οὐ ταῦτά ἐστι 6
περὶ ὧν διενεχθέντες, καὶ οὐ δυνάμενοι ἐπὶ ἱκανὴν κρίσιν αὐτῶν ἐλθεῖν, ἐχθροί γε ἀλλήλοις γιγνώμεθα, ὅταν γιγνώμεθα, καὶ ἐγὼ καὶ σὺ καὶ οἱ ἄλλοι ἄνθρωποι πάντες; — Εὐθ. Ἀλλ' ἔστιν αὕτη ἡ διαφορὰ, ὦ Σώκρατες, καὶ περὶ τούτων. — Σωκ. 7
Τί δέ; οἱ θεοί, ὦ Εὐθύφρον, οὐκ εἴπερ τι διαφέρονται, δι' αὐτὰ ταῦτα διαφέροντ' ἂν; — Εὐθ. Πολλὴ ἀνάγκη. — Σωκ. Καὶ τῶν θεῶν ἄρα, ὦ γενναῖε Εὐθύφρον, ἄλλοι ἄλλα δίκαια ἡγοῦνται, κατὰ τὸν σὸν λόγον· καὶ καλὰ καὶ αἰσχρὰ, καὶ ἀγαθὰ καὶ κακά. Οὐ γὰρ ἄν που ἐστασίαζον ἀλλήλοις, εἰ μὴ περὶ τούτων διεφέροντο· ἢ γάρ; — Εὐθ. Ὀρθῶς λέγεις. — Σωκ. Οὐκοῦν ἅπερ καλὰ ἡγοῦνται ἕκαστοι καὶ ἀγαθὰ καὶ δίκαια, ταῦ- 8
τα καὶ φιλοῦσι; τὰ δὲ ἐναντία τούτων καὶ μισοῦσιν; — Εὐθ. Πάνυ γε. — Σωκ. Ταῦτὰ δέ γε, ὡς σὺ φῄς, οἱ μὲν δίκαια ἡγοῦνται, οἱ δὲ ἄδικα· περὶ ἃ καὶ ἀμφισβητοῦντες, στασιάζουσί τε καὶ πολεμοῦσιν ἀλλήλοις. Ἆρ' οὐχ οὕτως; — Εὐθ. Οὕτω. — Σωκ. Ταὐτὰ ἄρα, ὡς ἔοικε, μισεῖται ὑπὸ τῶν θεῶν καὶ φιλεῖται· καὶ θεομισῆ τε καὶ θεοφιλῆ ταὐτὰ ἂν εἴη. — Εὐθ.

---

2. Εἴρηται γάρ) Ὁ Γὰρ βεβαιωτικός.
4. Ἐπί γε τὸ ἱστάν.) Το σταθμίζειν δηλ.
5. Εἰ τὰ δ' ἐστί) Τὰ ἑξῆς δηλ. ἐστὶ περὶ ὧν διαφερόμεθα· ἤγουν τὸ δίκαιον, τὸ ἄδικον καὶ τλ.
7. Ἡ γάρ) Τὸ παρ' ἡμῖν. Οὕτως ἔχει.
8. Οἱ μὲν) Των Θεῶν δηλ. — Ἆρ' οὐχ οὕτως;) Ἔχει δηλ. — Οὕτως) ἔχει.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

9 Ἔοικε. — Σωκ. Καὶ ὅσια ἄρα καὶ ἀνόσια τὰ αὐτὰ ἂν εἴη, ὦ Εὐθύφρον, τούτῳ τῷ λόγῳ. — Εὐθ. Κινδυνεύει.

Θ'. Σωκ. Οὐκ ἄρα ὃ ἠρόμην, ἀπεκρίνω, ὦ θαυμάσιε· οὐ γὰρ τοῦτό γε ἠρώτων, ὃ τυγχάνει ταὐτὸν ὂν ὅσιόν τε καὶ ἀνόσιον· ὃ δ' ἂν θεοφιλὲς ᾖ, καὶ θεομισές ἐστιν, ὡς ἔοικεν. Ὥς τε,
2 ὦ Εὐθύφρον, ὁ σὺ νῦν ποιεῖς, τὸν πατέρα κολάζων, οὐδὲν θαυμαστόν, εἰ τοῦτο δρῶν τῷ μὲν Διὶ προσφιλὲς ποιεῖς, τῷ δὲ Κρόνῳ καὶ τῷ Οὐρανῷ ἐχθρόν· καὶ τῷ μὲν Ἡφαίστῳ φίλον, τῇ δὲ Ἥρᾳ ἐχθρόν· καὶ εἴ τις ἄλλος θεῶν ἕτερος ἑτέρῳ διαφέρεται περὶ αὐτοῦ, καὶ ἐκείνοις κατὰ ταὐτά. — Εὐθ. Ἀλλ'
3 οἶμαι, ὦ Σώκρατες, περί γε τούτου τῶν θεῶν οὐδένα ἕτερον ἑτέρῳ διαφέρεσθαι, ὡς οὐ δεῖ δίκην διδόναι ἐκεῖνον, ὃς ἂν ἀ-
4 δίκως τινὰ ἀποκτείνῃ. — Σωκ. Τί δέ; ἀνθρώπων, ὦ Εὐθύφρον, ἤδη τινὸς ἥκουσας ἀμφισβητοῦντος ὡς τὸν ἀδίκως ἀποκτείνοντα, ἢ ἄλλο ἀδίκως ποιοῦντα ὁτιοῦν, οὐ δεῖ διδόναι δίκην; — Εὐθ. Οὐδὲν μὲν οὖν πάσχουσι ταῦτα ἀμφισβητοῦντες καὶ ἄλλοθι καὶ ἐν τοῖς δικαστηρίοις. Ἀδικοῦντες γὰρ πάμπολλα, πάν-
5 τα ποιοῦσι καὶ λέγουσι, φεύγοντες τὴν δίκην. — Σωκ. Ἦ καὶ ὁμολογοῦσιν, ὦ Εὐθύφρον, ἀδικεῖν; καὶ ὁμολογοῦντες, ὅμως οὐ δοκοῦσι φασὶ δεῖν διδόναι δίκην; — Εὐθ. Οὐδαμῶς τοῦτό γε. — Σωκ. Οὐκ ἄρα πάντα γε ποιοῦσι καὶ λέγουσιν. Τοῦτο γάρ, οἶμαι, οὐ τολμῶσι λέγειν οὐδ' ἀμφισβητοῦν, ὡς οὐκ, εἴπερ ἀδικοῦσί γε, ὀφτέον δίκην· ἀλλ', οἶμαι, οὔ φασιν ἀδικεῖν· ἢ γάρ;
6 — Εὐθ. Ἀληθῆ λέγεις. — Σωκ. Οὐκ ἄρα ἐκεῖνό γε ἀμφισβητοῦσιν, ὡς οὐ τὸν ἀδικοῦντα διδόναι δίκην· ἀλλ' ἐκεῖνο ἴσως
7 ἀμφισβητοῦσι, τὸ τίς ἐστιν ὁ ἀδικῶν, καὶ τί δρῶν, καὶ πότε. — Εὐθ. Ἀληθῆ λέγεις. — Σωκ. Οὐκοῦν ταὐτά γε ταὐτὰ καὶ οἱ θεοὶ πεπόνθασιν, εἴπερ στασιάζουσί γε περὶ τῶν δικαίων καὶ ἀδίκων, ὡς ὁ σὸς ἐστι λόγος; καὶ οἱ μὲν φασιν ἀδικεῖν
8 ἀλλήλους, οἱ δὲ οὔ φασιν; Ἐπεὶ ἐκεῖνό γε δήπου, ὦ θαυμάσιε, οὐδεὶς οὔτε θεῶν οὔτε ἀνθρώπων τολμᾷ λέγειν, ὡς οὐ τῷ γε ἀδικοῦντι ὀφτέον δίκην. — Εὐθ. Ναὶ τοῦτο μὲν ἀληθὲς λέγεις, ὦ Σώκρατες, τό γε κεφάλαιον. — Σωκ. Ἀλλ' ἕκαστόν γε, οἶμαι, ὦ Εὐθύφρον, τῶν πραχθέντων ἀμφισβητοῦσιν οἱ ἀμφι-

---

9. Ἔοικεν) Οὕτως ἔχειν.

Θ'. Ὡς ἔοικεν) Ταῦτα δ' ὡς ἐπεξήγησις κεῖται τοῦ Ὁσίου καὶ ἀνοσίου· ὡς μὲ ἔλεγεν. Ὃ ἤλ. ἂν ᾖ θεοφιλὲς, τοῦτο ἐστίν, ὡς ἔοικε, καὶ θεομισές. Ὥστε καὶ τὰ λοιπά.

2. Περὶ αὐτοῦ) Ὃ σὺ νῦν ποιεῖς. — Καὶ ἐκεῖν.) Ἔστιν ἀμαίως φίλον ἢ ἐχθρόν.

4. Φεύγοντες τὴν δίκ.) Κατηγορούμενοι ἤλ. εἰς δικαστήριον.

5. Οὐδαμῶς τοῦτό γε) Ποιοῦσι ἤλ. — Οὔ φασιν ἀδ.) Φασὶν οὐκ ἀδικεῖν.

7. Καὶ οἱ μὲν) Αὐτῶν τῶν θεῶν.

8. Τό γε κεφάλαιον) Ἐν γένει ἤλ. θεωρῶν τὸ πρᾶγμα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σθητοῦντες, καὶ ἄθρωποι καὶ θεοί· εἴπερ ἀμφισβητοῦσι θεοὶ πράξεώς τινος πέρι διαφερόμενοι, καὶ οἱ μὲν δικαίως φασὶν αὐτὴν πεπράχθαι, οἱ δὲ ἀδίκως· ἆρ' οὐχ οὕτως; — Εὐθ. Πάνυγε. 9

ι. Σωκ. Ἴθι τοίνυν, ὦ φίλε Εὐθύφρον, δίδαξον καὶ ἐμέ, ἵνα σοφώτερος γένωμαι, τί σοι τεκμήριόν ἐστιν, ὡς πάντες θεοὶ ἡγοῦνται ἐκεῖνον ἀδίκως τεθνάναι, ὃς ἂν θητεύων ἀνδροφόνος γενόμενος, ξυνδεθεὶς ὑπὸ τοῦ δεσπότου τοῦ ἀποθανόντος, φθάσῃ τελευτήσας διὰ τὰ δεσμά, πρὶν τὸν ξυνδήσαντα παρὰ τῶν ἐξηγητῶν περὶ αὐτοῦ πυθέσθαι, τί χρὴ ποιεῖν καὶ ὑπὲρ τοῦ τοιούτου δὴ ὀρθῶς ἔχει ἐπεξιέναι καὶ ἐπισκήπτεσθαι φόνου τὸν υἱὸν τῷ πατρί. Ἴθι, περὶ τούτων πειρῶ τί μοι σαφὲς ἐνδείξα- 2
σθαι, ὡς παντὸς μᾶλλον πάντες θεοὶ ἡγοῦνται ὀρθῶς ἔχειν ταύτην τὴν πρᾶξιν· κἂν μοι ἱκανῶς ἐνδείξῃ, ἐγκωμιάζων σε ἐπὶ σοφίᾳ οὐδέποτε παύσομαι. — Εὐθ. Ἀλλ' ἴσως οὐκ ὀλίγον ἔρ- 3
γον ἐστίν, ὦ Σώκρατες· ἐπεὶ πάνυ γε σαφῶς ἔχοιμι ἂν ἐπιδεῖξαί σοι. — Σωκ. Μανθάνω ὅτι σοι δοκῶ τῶν δικαστῶν δυσμαθέστερος εἶναι· ἐπεὶ ἐκείνοις γε ἐνδείξῃ δηλονότι ὡς ἄδικά τε ἐστί, καὶ οἱ θεοὶ πάντες τὰ τοιαῦτα μισοῦσιν. — Εὐθ. 4
Πάνυγε σαφῶς, ὦ Σώκρατες, ἐάν περ ἀκούωσί γέ μου λέγοντος. — Σωκ. Ἀλλ' ἀκούσονται, ἐάν περ εὖ δοκῇς λέγειν.

ιά. Τόδε δέ σου ἐννενόηκα ἅμα λέγοντος, καὶ πρὸς ἐμαυτὸν σκοπῶ· εἰ ὅτι μάλιστά με Εὐθύφρων διδάξειεν, ὡς οἱ θεοὶ ἅπαντες τὸν τοιοῦτον θάνατον ἡγοῦνται ἄδικον εἶναι, τί μᾶλλον ἐγὼ μεμάθηκα παρ' Εὐθύφρονος, τί ποτ' ἐστὶ τὸ ὅσιόν τε καὶ τὸ ἀνόσιον; Θερμισὲς μὲν γὰρ τοῦτο τὸ ἔργον, ὡς ἔοικεν, 2
εἴη ἄν. Ἀλλὰ γὰρ οὐ τούτῳ ἐφάνη ἄρτι ὡρισμένα τὸ ὅσιον καὶ μή. Τὸ γὰρ θεομισὲς ἦν, καὶ θεοφιλὲς ἐφάνη. Ὥς τε τούτου μὲν ἀφίημί σε, ὦ Εὐθύφρον· καὶ, εἰ βούλει, πάντες αὐτὸ ἡγείσθωσαν θεοὶ ἄδικον, καὶ πάντες μισούντων. Ἀλλ' ἄρα τοῦ- 3
το νῦν ἐπανορθούμεθα ἐν τῷ λόγῳ, ὡς ὃ μὲν ἂν πάντες οἱ θεοὶ μισῶσιν, ἀνόσιόν ἐστιν· ὃ δ' ἂν φιλῶσιν, ὅσιον· ὃ δ' ἂν οἱ μὲν

---

9. Ἆρ' οὐχ οὕτως) Ἔχει. — Πάνυ γε.) Οὕτως ἔχει.

ι. Καὶ ὑπὲρ τοῦ τ.) Καὶ τί σοι τεκμήριόν ἐστιν, ὡς ὀρθῶς ἔχει τὸν υἱὸν ἐπεξιέναι καὶ ἐπισκήπτεσθαι φόνου τῷ πατρί ὑπὲρ τοῦ τοιούτου ἀνδροφόνου;

2. Ὡς παντὸς μᾶλ.) Ὅτι ὑπὲρ πᾶν ἄλλο πάντες οἱ θεοὶ ἡγ. καὶ τλ.

3. Οὐκ ὀλ. ἔργ. ἐστί) Ἐννοεῖται Μαθεῖν· ὡς ἄν τις εἰκάσειεν ἐξ ὧν ἐν ις΄. 6. οἷον. Ἐγὼ μὲν πάνυ γε σαφῶς ἔχοιμι ἂν ἐπιδεῖξαί σοι· σοὶ δὲ δυσχερὲς ἴσως ἐστὶν ἀκοῦσαι καὶ μαθεῖν.

ιά. Τί) Τί ἕπεται ἐκ τούτου; Μᾶλλον ἐγὼ καὶ τλ.

2. Ὡρισμένα) Τὸ θεομισὲς δηλ. καὶ τὸ θεοφιλές.

— Μισούντων) Ἀντὶ μισείτωσαν· αἱ γὰρ τῶν μετοχῶν γενικαὶ ἀντὶ προστακτικῶν τρίτων προσώπων πληθυντικῶν Ἀττικῶς λαμβάνονται· κατ' ἔλλειψιν τοῦ ὑπαρκτικοῦ· οἷον· τῶν μισοῦν-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

4 φιλῶσιν, οἱ δὲ μισῶσιν, οὐδέτερα, ἢ ἀμφότερα. Ἆρ' οὕτω βούλει ἡμῖν ὡρίσθαι νῦν περὶ τοῦ ὁσίου καὶ τοῦ ἀνοσίου; — Εὐθ. Τί γὰρ κωλύει, ὦ Σώκρατες; — Σωκ. Οὐδὲν ἐμέ γε, ὦ Εὐθύφρον, ἀλλὰ σὺ δή τὸ σὸν σκόπει, εἰ τοῦτο ὑποθέμενος, οὕτω ῥᾷστά με διδάξεις, ὃ ὑπέσχου. — Εὐθ. Ἀλλ' ἔγωγε φαίην ἂν τοῦτο εἶναι τὸ ὅσιον, ὃ ἂν πάντες οἱ θεοὶ φιλῶσι· καὶ τὸ ἐναν-
5 τίον, ὃ ἂν πάντες θεοὶ μισῶσιν, ἀνόσιον. — Σωκ. Οὐκοῦν ἐπισκοπῶμεν αὖ τοῦτο, ὦ Εὐθύφρον, εἰ καλῶς λέγεται; ἢ ἐῶμεν, καὶ οὕτως ἡμῶν τε αὐτῶν ἀποδεχώμεθα καὶ τῶν ἄλλων, ἐὰν μόνον φῇ τίς τι ἔχειν οὕτω, ξυγχωροῦντες ἔχειν; ἢ σκεπτέον τί λέγει ὁ λέγων; — Εὐθ. Σκεπτέον. Οἶμαι μέν τοι ἔγωγε τοῦτο νυνὶ καλῶς λέγεσθαι.

ιθ'. Σωκ. Τάχ', ὦ γαθέ, βέλτιον εἰσόμεθα. Ἐννόησον γὰρ τὸ τοιόνδε· ἆρα τὸ ὅσιον, ὅτι ὅσιόν ἐστι, φιλεῖται ὑπὸ τῶν θεῶν·
2 ἢ ὅτι φιλεῖται, ὅσιόν ἐστιν; — Εὐθ. Οὐκ οἶδ' ὅ,τι λέγεις, ὦ Σώκρατες. — Σωκ. Ἀλλ' ἐγὼ πειράσομαι σαφέστερον φράσαι. Λέγομέν τι φερόμενον καὶ φέρον, καὶ ἀγόμενον καὶ ἄγον, καὶ ὁρώμενον καὶ ὁρῶν· καὶ πάντα τὰ τοιαῦτα μανθάνεις ὅτι ἕτερα ἀλλήλων ἐστί, καὶ ᾗ ἕτερα; — Εὐθ. Ἔγωγέ μοι δοκῶ μαν-
3 θάνειν. — Σωκ. Οὐκοῦν καὶ φιλούμενόν τι ἐστί, καὶ τούτου ἕτερον τὸ φιλοῦν; — Εὐθ. Πῶς γὰρ οὔ; — Σωκ. Λέγε δή μοι πότερον τὸ φερόμενον, διότι φέρεται, φερόμενόν ἐστιν, ἢ δι' ἄλλό τι; — Εὐθ. Οὐκ, ἀλλὰ διὰ τοῦτο. — Σωκ. Καὶ τὸ ἀγόμε-
4 νον δή, διότι ἄγεται· καὶ τὸ ὁρώμενον, διότι ὁρᾶται; — Εὐθ. Πάνυ γε. — Σωκ. Οὐκ ἄρα διότι ὁρώμενόν γέ ἐστι, διὰ τοῦτο ὁρᾶται· ἀλλὰ τοὐναντίον, διότι ὁρᾶται, διὰ τοῦτο ὁρώμενον· οὐδὲ διότι ἀγόμενόν ἐστι, διὰ τοῦτο ἄγεται· ἀλλὰ διότι ἄγεται, διὰ τοῦτο ἀγόμενον· οὐδὲ διότι φερόμενον, φέρεται· ἀλλὰ
5 διότι φέρεται, φερόμενον. Ἆρα κατάδηλον, ὦ Εὐθύφρον, ὃ βούλομαι λέγειν; βούλομαι δὲ τόδε, ὅτι, εἴ τι γίγνεται, ἢ εἴ τι πάσχει τι, οὐχ ὅτι γιγνόμενόν ἐστι, γίγνεται, ἀλλ' ὅτι γίγνεται, γιγνόμενόν ἐστιν· οὐδὲ ὅτι πάσχον ἐστί, πάσχει, ἀλλ' ὅτι πάσχει, πάσχον
6 ἐστίν. Ἢ οὐ ξυγχωρεῖς οὕτως; — Εὐθ. Ἔγωγε. — Σωκ. Οὐκοῦν καὶ τὸ φιλούμενον, ἢ γιγνόμενόν τι ἐστίν, ἢ πάσχον τί ὑπό του; — Εὐθ. Πάνυγε. — Σωκ. Καὶ τοῦτο ἄρα οὕτως ἔχει, ὥσπερ τὰ πρότερα· οὐχ ὅτι φιλούμενόν ἐστι, φιλεῖται ὑπὸ ὧν φιλεῖται· ἀλλ' ὅτι φιλεῖται, φιλούμενον; — Εὐθ. Ἀνάγκη. —

των ἔστωσαν. 3. Ἐπανορθούμ.) Ἀττικῶς ἀντὶ Ἐπανορθώσομεν. — Οὐδέτερ. ἢ ἀμφότ.) Ἐννοεῖται, Εἶναι.

4. Τὸ σὸν) Μέρος δηλ. — Καὶ τὸ ἐναντ.) Φαίην ἄν.

ιθ'. Τάχ', ὦ γαθ.) Σκεπτόμενοι δηλ. βέλτιοι πάντως εἰσόμεθα.

2. Καὶ ᾗ Ἕτερα;) Καὶ κατὰ τί δηλ. ἐστὶν ἕτερα.

5. Ἔγω γε) Ξυγχωρῶ δηλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Σωκ. Τί δὴ οὖν λέγομεν περὶ τοῦ ὁσίου, ὦ Εὐθύφρον; ἀλλ' ὅτι 7
φιλεῖται ὑπὸ τῶν θεῶν πάντων, ὡς ὁ σὸς λόγος; — Εὐθ. Ναί.
— Σωκ. Ἆρα διὰ τοῦτο, ὅτι ὅσιόν ἐστιν, ἢ δι' ἄλλό τι; —
Εὐθ. Οὐκ· ἀλλὰ διὰ τοῦτο. — Σωκ. Διότι ἄρα ὅσιόν ἐστι, φι-
λεῖται, ἀλλ' οὐχ ὅτι φιλεῖται, διὰ τοῦτο ὅσιόν ἐστιν; — Εὐθ.
Ἔοικε. — Σωκ. Ἀλλὰ μὲν δή, διότι φιλεῖται ὑπὸ τῶν θεῶν, 8
φιλούμενόν ἐστι καὶ θεοφιλές. — Εὐθ. Πῶς γὰρ οὔ; — Σωκ.
Οὐκ ἄρα τὸ θεοφιλὲς ὅσιόν ἐστιν, ὦ Εὐθύφρον, οὐδὲ τὸ ὅ-
σιον θεοφιλὲς, ὡς σὺ λέγεις, ἀλλ' ἕτερον τοῦτο τούτου. — Εὐθ.
Πῶς δή σύ, ὦ Σώκρατες; — Σωκ. Ὅτι ὁμολογοῦμεν τὸ μὲν ὅ-
σιον διὰ τοῦτο φιλεῖσθαι, ὅτι ὅσιόν ἐστιν, ἀλλ' οὐ, διότι φιλεῖ-
ται, ὅσιον εἶναι· ἦ γάρ; — Εὐθ. Ναί. — Σωκ. Τὸ δέ γε θεο- 9
φιλὲς, ὅτι φιλεῖται ὑπὸ τῶν θεῶν, αὐτῷ τούτῳ τῷ φιλεῖσθαι,
θεοφιλὲς εἶναι, ἀλλ' οὐχ ὅτι θεοφιλὲς, διὰ τοῦτο φιλεῖσθαι. — Εὐθ.
Ἀληθῆ λέγεις. — Σωκ. Ἀλλ' εἴγε ταὐτὸν, ὦ φίλε, ἦν, Εὐθύφρον, 10
τὸ θεοφιλὲς καὶ τὸ ὅσιον, εἰ μὲν διὰ τὸ ὅσιον εἶναι ἐφιλεῖτο τὸ ὅσιον·
καὶ διὰ τὸ θεοφιλὲς εἶναι ἐφιλεῖτο ἂν τὸ θεοφιλές· εἰ δὲ διὰ
τὸ φιλεῖσθαι ὑπὸ θεῶν τὸ θεοφιλὲς, θεοφιλὲς ἦν, καὶ τὸ ὅσιον ἂν
διὰ τὸ φιλεῖσθαι ὅσιον ἦν. Νῦν δὲ ὁρᾷς, ὅτι ἐναντίως ἔχετον, ὡς 11
παντάπασιν ἑτέρω ὄντε ἀλλήλων. Τὸ μὲν γάρ, ὅτι φιλεῖται, ἐστὶν
οἷον φιλεῖσθαι· τὸ δ' ὅτι ἐστὶν οἷον φιλεῖσθαι, διὰ τοῦτο φιλεῖται.
Καὶ κινδυνεύεις, ὦ Εὐθύφρον, ἐρωτώμενος τὸ ὅσιον, ὅ,τι ποτέ ἐστι, 12
τὴν μὲν οὐσίαν μοι αὐτοῦ οὐ βούλεσθαι δηλῶσαι, πάθος δέ τι
περὶ αὐτοῦ λέγειν, ὅ,τι πέπονθε τοῦτο τὸ ὅσιον, φιλεῖσθαι ὑπὸ
πάντων τῶν θεῶν· ὅ,τι δὲ ὄν, οὔπω εἴπες. Εἰ οὖν σοι φίλον, 13
μή με ἀποκρύψῃ, ἀλλὰ πάλιν εἰπὲ ἐξ ἀρχῆς, τί ποτε ὂν τὸ
ὅσιον, εἴτε φιλεῖται ὑπὸ τῶν θεῶν, εἴτε ὁτιδὴ πάσχει. Οὐ
γὰρ περὶ τούτου διοισόμεθα· ἀλλ' εἰπὲ προθύμως, τί ἐστι τό, τε
ὅσιον καὶ τὸ ἀνόσιον. — Εὐθ. Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔχω ἔ- 14
γω γε ὅπως σοι εἴπω ὃ νοῶ. Περιέρχεται γάρ πως ἀεὶ ἡμῖν,
ὃ ἂν ὑποθώμεθα, καὶ οὐκ ἐθέλει μένειν ὅπου ἂν ἱδρυσώμεθα
αὐτό. — Σωκ. Τοῦ ἡμετέρου προγόνου, ὦ Εὐθύφρον, ἔοικεν εἶ- 15
ναι, Δαιδάλου, τὰ ὑπὸ σοῦ λεγόμενα. Καὶ εἰ μὲν αὐτὸ ἐγὼ ἔλε-

---

7. Τί δὴ οὖν λέγομεν) Ἀντὶ μέλλοντος Ἀττικῶς. — Ἆρ' ὅτι φιλ.) Ἆρα λέγομεν ὅτι φιλ.

8. Πῶς δή σύ, ὦ Σ.) Ἐννοεῖται Λέγεις.

9. Αὐτῷ τούτῳ τῷ φ.) Ἐλλείπει ἡ Ἐν.

11. Ἐστὶν οἷον) Ἐστὶν ἱκανὸν δηλ.

12. Φιλεῖσθαι) Ἐπεξήγησις· οἷον ὅτι τὸ ὅσιον πέπονθε τοῦτο· τὸ φιλεῖσθαι δηλ. — Ὅ, τι δὲ ὄ) Φιλεῖται ὑπὸ τῶν θεῶν.

15. Τοῦ ἡμετέρου προγ.) Ἀθηναῖος γὰρ ὁ Δαίδαλος, ἀγαλματοποιὸς ἄριστος κατὰ τοὺς χρόνους Μίνωος βασιλέως Κρήτης ἀκμάσας. Οὗτος λέγεται ἀγάλματα καὶ εἴδωλα κατασκευάσαι ἀφ' ἑαυτῶν αὐτομάτως κινούμενα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γον καὶ ἐτιθέμην, ἴσως ἄν με ἐπέσκωπτες ὡς ἄρα καὶ ἐμοὶ κατὰ τὴν ἐκείνου συγγένειαν τὰ ἐν τοῖς λόγοις ἔργα ἀποδιδράσκει, καὶ οὐκ ἐθέλει μένειν ὅπου ἄν τις αὐτὰ ᾖ· νῦν δὲ (σαὶ γὰρ αἱ ὑποθέσεις εἰσὶν) ἄλλου δή τινος δεῖ σκώμματος. Οὐ γὰρ ἐθέλουσί σοι μένειν, ὡς καὶ αὐτῷ σοι δοκεῖ. — Εὐθ. Ἐ-
16 μοὶ δὲ δοκεῖ σχεδόν τι τοῦ αὐτοῦ σκώμματος, ὦ Σώκρατες, δεῖσθαι τὰ λεγόμενα. Τὸ γὰρ περιιέναι αὐτοῖς τοῦτο, καὶ μὴ μένειν ἐν τῷ αὐτῷ, οὐκ ἔγωγέ εἰμι ὁ ἐντιθείς· ἀλλὰ σύ μοι δοκεῖς ὁ Δαίδαλος· ἐπεὶ ἐμοῦ γε ἕνεκα ἔμενεν ἂν ταῦτα οὕτω. — Σωκ. Κινδυνεύω ἄρα, ὦ ἑταῖρε, ἐκείνου τοῦ ἀνδρὸς δεινό-
17 τερος γεγονέναι τὴν τέχνην τοσούτῳ, ὅσῳ ὁ μὲν τὰ αὐτοῦ μόνον ἐποίει οὐ μένοντα· ἐγὼ δὲ, πρὸς τοῖς ἐμαυτοῦ, ὡς ἔοικε, καὶ τὰ ἀλλότρια. Καὶ δῆτα τοῦτό μοι τῆς τέχνης ἐστὶ κομψότατον, ὅτι ἄκων εἰμὶ σοφός. Ἐβουλόμην γὰρ ἄν μοι τοὺς λόγους μένειν, καὶ ἀκινήτους ἱδρύσθαι, μᾶλλον ἢ πρὸς τῇ
18 Δαιδάλου σοφίᾳ τὰ Ταντάλου χρήματα γενέσθαι. Καὶ τούτων μὲν ἄδην.

ιγ'. Ἐπειδὴ δέ μοι δοκεῖς σὺ τρυφᾶν, αὐτός σοι ξυμπροθυμήσομαι δείξαι, ὅπως ἄν με διδάξῃς περὶ τοῦ ὁσίου, καὶ μὴ προαποκάμῃς. Ἰδὲ γὰρ εἰ οὐκ ἀναγκαῖόν σοι δοκεῖ δίκαιον εἶναι πᾶν τὸ ὅσιον.
2 — Εὐθ. Ἔμοιγε. Σωκ. Ἆρ' οὖν καὶ πᾶν τὸ δίκαιον, ὅσιον; ἢ τὸ μὲν ὅσιον πᾶν, δίκαιον· τὸ δὲ δίκαιον οὐ πᾶν ὅσιον, ἀλλὰ τὸ μὲν αὐτοῦ ὅσιον, τὸ δέ τι καὶ ἄλλο; — Εὐθ. Οὐχ ἕτερμαι, ὦ Σώκρα-
3 τες, τοῖς λεγομένοις. — Σωκ. Καὶ μὴν νεώτερός γ' ἐμοῦ εἶ, οὐκ ἔλαττον ἢ ὅσῳ σοφώτερος· ἀλλ', ὁ λέγω, τρυφᾷς ὑπὸ πλούτου τῆς σοφίας. Ἀλλ', ὦ μακάριε, ξύντεινε σαυτόν. Καὶ γὰρ οὐδὲ χαλεπὸν κατανοῆσαι ὃ λέγω· λέγω γὰρ δὴ τὸ ἐναντίον, ἢ ὁ ποιητὴς ἐποίησεν, ὁ ποιήσας,

---

Οὕτω γὰρ ἡρμόσατο αὐτῶν τοὺς πόδας, ὥστε τὸν ἕτερον τοῦ ἑτέρου προεκτείνεσθαι. Παλαίφατ. Μθθ. κδ'.

18. Τὰ Ταντάλου) Τὰ Ταντάλου χρήματα βασιλέως Κορινθίων ἢ Φουγίας, οὕτω παρίημα ἔστιν, ὥστε παρ' Ἕλλησιν εἰς παροιμίαν ἐγένοντο. Τὰ Ταντάλου χρήματα. Σουίδ. — Ἄδην) Ἡ σύγχυσις μὲν φησὶν Ἅδην δασυνόμενον μὲν ἥλιος καὶ τὸ ἐς κόρον σημαίνει· ψιλούμενον δὲ ἀΐδης. Σουίδας δέ. Ἄδην· ἥλιος, ἢ εἰς κόρον, ἱκανῶς, ἀρκούντως.

ιγ'. Τρυφᾷς) Τὸ τρυφᾷν ἐνταῦθα μεταφορικῶς εἴληπται σημαῖνον τὸ ἀνειμένον καὶ κεχρυσωμένον εἶναι. — Ἔμοιγε) Δοκεῖ δηλ.

2. Τὸ δέ τι) Τὸ Τὶ παρέλκει συνήθες δὲ ὡς ἀπὸ τοῦ ἑτέρου ἄθλου. Ξενοφῶν γὰρ Κύρ. Παιδ. Α'. δ'. 15. Καὶ τοῦ μὲν καταγελάσαντα αὐτὸν ὁρᾶν εὐφραίνετο· τὸν δὲ τινα καὶ ἐπαινοῦντα αὐτὸν ἠθάνετο οὐδ' ὁπωστιοῦν ἡδονεσθαι.

3 Νεώτερός γ' ἐμοῦ) Οἷον· ὅσῳ ἐμοῦ εἶ, τοσούτῳ καὶ σοφώτερος. Τοιαυτὴν δ' ἔκφρασιν εἰρήκασι καὶ παρ' Αἰσχίν. Σωκρ. Β'. β'. Καὶ ἔστι πλεῖν παντῶν πονηρότατος ἢ ὅσῳ πλουσιώτατος. — Ἀλλ' ὃ λέγω) Ἐπιδιόρθωσις. Καὶ τὸ οὕτως εἴκω, τρυφᾷς ὑπὸ τοῦ πλούτου τῆς σοφ. Πλοῦτος δὲ σοφίας δῆλον ὅτι ἀφθονίαν τινὰ σοφίας σημαίνει. — Ὁ Ποιητὴς) Περὶ τῶν τοιούτων αὐτῶν φησὶν ὁ Σχολ. Λόγου-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ζῆνα δὲ τόν θ' ἕρξαντα, καὶ ὃς τάδε πάντ' ἐρύτευσεν,
Οὐκ ἐθέλεις εἰπεῖν· ἵνα γάρ δέος, ἔνθα καὶ αἰδώς.

Ἐγὼ οὖν τούτῳ διαφέρομαι τῷ ποιητῇ, εἴπω σοι ὅπῃ; — Εὐθ. Πάνυ γε. — Σωκ. Οὐ δοκεῖ μοι εἶναι, ἵνα δέος ἔνθα καὶ αἰδώς. Πολλοὶ γάρ μοι δοκοῦσι, καὶ νόσους καὶ πενίας καὶ ἄλλα πολλὰ τοιαῦτα δεδιότες, δεδιέναι μέν, αἰδεῖσθαι δὲ μηδὲν ταῦτα, ἃ δεδίασιν. Οὐ καὶ σοὶ δοκεῖ; Εὐθ. Πάνυ γε. — Σωκ. Ἀλλ' ἵνα γε αἰδώς, ἔνθα καὶ δέος εἶναι. Ἐπεὶ ἔστιν ὅς τις αἰδούμενός τι πρᾶγμα καὶ αἰσχυνόμενος, οὐ περόδηται τε καὶ δέδοικεν ἅμα δόξαν πονηρίας; — Εὐθ. Δέδοικε μὲν οὖν. — Σωκ. Οὐκ ἄρα ὀρθῶς ἔχει λέγειν, ἵνα γάρ δέος, ἔνθα καὶ αἰδώς· ἀλλ', ἵνα μὲν αἰδώς, ἔνθα καὶ δέος. Οὐ μέν τοι γε, ἵνα γε δέος, πανταχοῦ αἰδώς. Ἐπιπλέον γάρ οἶμαι δέος αἰδοῦς· μόριον γάρ δέους αἰδώς, ὥσπερ ἀριθμοῦ περιττόν. Ὡς τε οὐχ' ἵνα περ ἀριθμός, ἔνθα καὶ περιττόν. Ἵνα δὲ περιττόν, ἔνθα καὶ ἀριθμός. Ἔπῃ γάρ που νῦν γε; — Εὐθ. Πάνυ γε. — Σωκ. Τὸ τοιοῦτον τοίνυν καὶ ἐκεῖ λέγων ἠρώτων, ἆρα ἵνα δίκαιον, ἔνθα καὶ ὅσιον· ἢ ἵνα μὲν ὅσιον, ἔνθα καὶ δίκαιον· ἵνα δὲ δίκαιον, οὐ πανταχοῦ ὅσιον. Μόριον γάρ τοῦ δικαίου τὸ ὅσιον. Οὕτω φῶμεν, ἢ ἄλλως σοι δοκεῖ; — Εὐθ. Οὐκ· ἀλλ' οὕτω· φαίνῃ γάρ μοι ὀρθῶς λέγειν.

ιδ΄. Σωκ. Ὅρα δὴ τὸ μετὰ τοῦτο. Εἰ γάρ μέρος τὸ ὅσιον τοῦ δικαίου, δεῖ δή, ἡμᾶς, ὡς ἔοικεν, ἐξευρεῖν, τὸ ποῖον μέρος ἂν εἴη τοῦ δικαίου τὸ ὅσιον. Εἰ μὲν οὖν σύ με ἠρώτας τι τῶν νῦν δή, οἷον, ποῖον μέρος ἐστὶν ἀριθμοῦ τὸ ἄρτιον, καὶ τίς ὢν τυγχάνει οὗτος ὁ ἀριθμός· εἶπον ἂν ὅτι ὃς ἂν μὴ σκαληνὸς ᾖ, ἀλλ' ἰσοσκε-

---

ἐν τῇ λέξεῖ, ἵνα γάρ δέος. Ἐπὶ τῶν κατὰ φθόνον ἐπιεικῶν. Εἴρηται δὲ ἐκ τῶν Στασίνου Κυπρίων.

Ζῆνα δὲ τὸν ῥέξαντα, καὶ ὃς τά δε πάντ' ἐρύτευσεν.
Οὐκ ἐθέλειν εἰπεῖν· ἵνα γάρ δέος, ἔνθα καὶ αἰδώς.

4. Εἴπω σοι ὅπῃ) Διαφέρομαι τῷ ποιητῇ· τὸ δ' ὅπῃ, ἀντὶ κατά τι; — Οὐ δοκεῖ μοι) Ὥσπερ τῷ ποιητῇ δοκεῖ. — Μηδὲν) Κατὰ μηδέν, εἰ τοῦν οὐδαμῶς.

5. Ἀλλ' ἵνα γε) Ἀλλὰ δοκεῖ μοι οὕτως ἔχειν οἷον· ἵνα γε καὶ τλ. — Δόξαν) Αἰτιατικὴ πρὸς τὸ περόδηται, καὶ δέδοικεν.

7. Περιττὸν) Ἄρτιοι μὲν ἀριθμοὶ λέγονται οἱ εἰς ἴσα δύο διαιρούμενοι, ὡς ὁ δύο, τέσσαρα, ἕξ, καὶ τλ. περιττοὶ δὲ οἱ μὴ διαιρεῖσθαι δυνάμενοι εἰς ἴσα δύο· οἷον ὁ τρία, ὁ πέντε, ὁ ἑπτὰ καὶ τλ. — Ἔπῃ γάρ που) Τοῖς λεγομένοις δηλ. ὡς ἐκ τοῦ 2 δήλον.

8. Καὶ ἐκεῖ) Ἔνθα ἠρώτων εἰ πᾶν τὸ δίκαιον ὅσιον. 2.

ιδ΄. Τὸ ποῖον) Τὸ ἄρθρον ὡς ἐν δευτέρᾳ ἐρωτήσει· καθ' ἣν ὡρισμένον τι ἐρωτᾶται.

2. Μὴ σκαληνὸς ᾖ) Σκαληνὰ σχήματα ἐν γεωμετρίᾳ λέγονται, τῶν τριγώνων τὰ ἀνίσους ἔχοντα πάσας τὰς πλευράς οἷον τὰ ΑΒΓ. Ἰσοσκελῆ δὲ, ὧν αἱ δύο πλευραί, αἱ κατὰ σκέλη λέγονται, ἴσαι· οἷον τὸ ΔΕΖ. Κατὰ δὴ τοῦτον τὸν λόγον καὶ τῶν ἀριθμῶν οἱ μὲν ἄρτιοι, λέγονται ἰσοσκελεῖς, ὡς εἰς δύο μέρη ἡ σκέλη ἴσα διαιρούμενοι οἷον· ὁ τέσσαρα· εἰς δύο καὶ δύο· ὁ ἕξ, εἰς τρία καὶ τρία· κτλ. οἱ δὲ περιττοὶ σκαληνοί ὡς διαιρούμενοι εἰς δύο· καὶ τὸ μὲν ἓν μέρος εἶτ' οὖν σκέλος μεῖζον ἔχοντες μονάδι-



Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

3 λής· ἢ οὐ δοκεῖ σοι; — Εὐθ. Ἔμοιγε. — Σωκ. Πειρῶ δὴ καὶ σὺ ἐμὲ οὕτω διδάξαι, τὸ ποῖον μέρος τοῦ δικαίου ὅσιόν ἐστιν· ἵνα καὶ Μελίτῳ λέγωμεν μηκεθ' ἡμᾶς ἀδικεῖν, μηδ' ἀσεβείας γράφεσθαι, ὡς ἱκανῶς ἤδη παρὰ σοῦ μεμαθηκότας, τάτε εὐσεβῆ καὶ ὅσια,
4 καὶ τὰ μή. Εὐθ. Τοῦτο τοίνυν ἔμοιγε δοκεῖ, ὦ Σώκρατες, τὸ μέρος τοῦ δικαίου εἶναι εὐσεβές τε καὶ ὅσιον, τὸ περὶ τὴν τῶν θεῶν θεραπείαν· τὸ δὲ περὶ τὴν τῶν ἀνθρώπων, τὸ λοιπὸν εἶναι τοῦ δικαίου μέρος.

ιέ. Σωκ. Καὶ καλῶς γέ μοι, ὦ Εὐθύφρον, φαίνῃ λέγειν· ἀλλὰ
2 σμικροῦ τινος ἔτι ἐνδεής εἰμι. Τὴν γὰρ θεραπείαν οὔπω ξυνίημι, ἥντινα ὀνομάζεις. Οὐ γάρ που λέγεις γε, οἷαί περ καὶ αἱ περὶ τὰ ἄλλα θεραπεῖαι εἰσι, τοιαύτην καὶ περὶ θεούς. Λέγομεν γάρ που, οἷον φαμέν, ἵππους οὐ πᾶς ἐπίσταται θεραπεύειν, ἀλλ' ὁ ἱπ-
3 πικός· ἢ γάρ; — Εὐθ. Ἔγωγε. — Σωκ. Ἡ γάρ που ἱππικὴ ἵππων θεραπεία. — Εὐθ. Ναί. — Σωκ. Οὐ δέ γε κύνας πᾶς ἐπίσταται θεραπεύειν, ἀλλ' ὁ κυνηγετικός. — Εὐθ. Οὕτως. — Σωκ. Ἡ γάρ που κυνηγετικὴ, κυνῶν θεραπεία. — Εὐθ. Ναί. — Σωκ.
4 Ἡ δέ γε βοηλατικὴ, βοῶν. — Εὐθ. Ἔγωγε. — Σωκ. Ἡ δὲ δὴ ὁσιότης τε καὶ εὐσέβεια, θεῶν, ὦ Εὐθύφρον. Οὕτω λέγεις; — Εὐθ. Ἔγωγε. — Σωκ. Οὐκοῦν θεραπεία γε πᾶσα ταὐτὸν διαπράττεται, ὁ ἂν τοιόνδε· ἐπ' ἀγαθῷ τινι ἔστι καὶ ὠφελείᾳ τοῦ θεραπευομένου; ὥσπερ ὁρᾷς δὴ ὅτι οἱ ἵπποι ὑπὸ τῆς ἱππικῆς θεραπευόμενοι ὠφελοῦνται καὶ βελτίους γίγνονται· ἢ οὐ δοκοῦσί σοι;
5 — Εὐθ. Ἔμοιγε. — Σωκρ. Καὶ οἱ κύνες γέ που, ὑπὸ τῆς κυνηγετικῆς, καὶ οἱ βόες ὑπὸ τῆς βοηλατικῆς, καὶ τἆλλα πάντα ὡσαύτως. Ἢ ἐπὶ βλάβῃ οἴει τοῦ θεραπευομένου τὴν θεραπείαν εἶναι; — Εὐθ. Μὰ Δί' οὐκ ἔγωγε. — Σωκρ. Ἀλλ' ἐπ' ὠφελείᾳ;
6 Εὐθ. — Πῶς δ' οὔ; — Σωκρ. Ἡ οὖν καὶ ἡ ὁσιότης, θεραπεία οὖσα θεῶν, ὠφελεία τέ ἐστι θεῶν, καὶ βελτίους τοὺς θεοὺς ποιεῖ; καὶ σὺ τοῦτο ξυγχωρήσαις ἂν, ὡς, ἐπειδάν τι ὅσιον ποιῇς, βελ-
7 τίω τινὰ τῶν θεῶν ἀπεργάζῃ; — Μὰ Δί' οὐκ ἔγωγε. — Σωκρ. Οὐδὲ γὰρ ἐγώ, ὦ Εὐθύφρον, οἶμαί σε τοῦτο λέγειν· πολλοῦ καὶ δεῖ. Ἀλλὰ τούτου δὴ ἕνεκα καὶ ἀνηρόμην, τίνα ποτὲ λέγεις τὴν θεραπείαν τῶν θεῶν, οὐχ ἡγούμενός σε τοιαύτην λέγειν. — Εὐθ
8 Καὶ ὀρθῶς γε, ὦ Σώκρατες. Οὐ γὰρ τοιαύτην λέγω. — Σωκ.

τὸ δὲ ἕτερον, ἕλαττον οἷον· ὁ πέντε, εἰς τρία καὶ δύο διαιρούμενος· καὶ ὁ ἑπτὰ εἰς τέσσαρα καὶ τρία κτλ.

ιέ. 2. Λέγομεν γάρ που) Θεραπείας δηλ. καὶ περὶ τὰ ἄλλα. — Οἷον φαμέν) Ἐπεξήγησις τὸ λέγομεν γάρ που.

4. Οἷον τοιόνδε) Οἷον τοιόνδε τι διαπράττεται πᾶσα θεραπεία· Ἔστι δηλονότι αὕτη ἐπ' ἀγαθῷ τινι καὶ θεραπεία κτλ.

5. Οὐκ ἔγωγ.) Οἴομαι δηλ.

7. Πολλοῦ καὶ δεῖ) Ἀντὶ παντάπασιν.

8. Εἶεν) Συγκατάθεσις τοῦτο τῶν εἰ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Εἶεν. Ἀλλὰ τίς δὴ θεῶν θεραπεία εἴη ἂν ἡ ὁσιότης; — Εὐθ. Ἥν περ, ὦ Σώκρατες, οἱ δοῦλοι τοὺς δεσπότας θεραπεύουσι. — Σωκ. Μανθάνω· ὑπηρετική τις ἄν, ὡς ἔοικεν, εἴη θεοῖς. — Εὐθ. Πάνυ μὲν οὖν.

ιϛ΄. Σωκ. Ἔχοις ἂν οὖν εἰπεῖν, ἡ ἰατροῖς ὑπηρετική, εἰς τίνος ἔργου ἀπεργασίαν τυγχάνει οὖσα ὑπηρετική; οὐκ εἰς ὑγιείας, οἶει; — Εὐθ. Ἔγωγε. — Σωκρ. Τί δέ; ἡ ναυπηγοῖς ὑπηρετική, 2
εἰς τίνος ἔργου ἀπεργασίαν ὑπηρετική ἐστι; — Εὐθ. Δῆλον ὅτι, ὦ Σώκρατες, εἰς πλοῖον. — Σωκ. Καὶ ἡ οἰκοδόμοις γέ 3
που εἰς οἰκίας; — Εὐθ. Ναί. — Σωκ. Εἰπὲ δή, ὦ ἄριστε· ἡ δὲ θεοῖς ὑπηρετικὴ εἰς τίνος ἔργου ἀπεργασίαν ὑπηρετικὴ ἂν εἴη; Δῆλον γὰρ ὅτι σὺ οἶσθα, ἐπειδή περ τά γε θεῖα κάλλιστα φῂς εἰδέναι ἀνθρώπων. — Εὐθ. Καὶ ἀληθῆ γε λέγω, ὦ 4
Σώκρατες. — Σωκ. Εἰπὲ δὴ πρὸς Διός, τί ποτ' ἐστὶν ἐκεῖνο τὸ πάγκαλον ἔργον, ὃ οἱ θεοὶ ἀπεργάζονται, ἡμῖν ὑπηρέταις χρώμενοι; — Εὐθ. Πολλὰ καὶ καλά, ὦ Σώκρατες. — Σωκ. Καὶ γὰρ 5
οἱ στρατηγοί, ὦ φίλε· ἀλλ' ὅμως τὸ κεφάλαιον αὐτῶν ῥᾴδιος ἂν εἴποις, ὅτι νίκην ἐν τῷ πολέμῳ ἀπεργάζονται· ἢ οὔ; — Εὐθ. Πῶς δ' οὔ; — Σωκ. Πολλὰ δὲ γ' εἶμαι καὶ καλὰ καὶ οἱ γεωργοί· ἀλλ' ὅμως τὸ κεφάλαιον αὐτῶν ἐστι τῆς ἀπεργασίας, ἡ ἐκ τῆς γῆς τροφή. — Εὐθ. Πάνυ γε. — Σωκ. Τί δὲ δή; τῶν πολλῶν 6
καὶ καλῶν, ἃ οἱ θεοὶ ἀπεργάζονται, τί τὸ κεφάλαιόν ἐστι τῆς ἀπεργασίας; — Εὐθ. Καὶ ὀλίγον σοι πρότερον εἶπον, ὦ Σώκρατες, 7
ὅτι πλείονος ἔργου ἐστὶν ἀκριβῶς ταῦτα πάντα ὡς ἔχει μαθεῖν· τόδε μέντοι σοι ἁπλῶς λέγω, ὅτι ἐὰν μὲν κεχαρισμένα τις ἐπίστηται τοῖς θεοῖς λέγειν τε καὶ πράττειν, εὐχόμενός τε καὶ θύων, ταῦτ' ἔστι τὰ ὅσια, καὶ σώζει τὰ τοιαῦτα τούς τε ἰδίους οἴκους καὶ τὰ κοινὰ τῶν πόλεων· τὰ δ' ἐναντία τῶν κεχαρισμένων, ἀσεβῆ, ἃ δὴ καὶ ἀνατρέπει ἅπαντα καὶ ἀπόλλυσι.

ιζ΄. Σωκ. Ἡ πολύ μοι διὰ βραχυτέρων, ὦ Εὐθύφρον, εἰ ἐ- 1
θούλου, εἴπες ἂν τὸ κεφάλαιον, ὧν ἠρώτων. Ἀλλὰ γὰρ ὡς 2

μένων, συναρῇ δὲ ποιεῖ τὰ μέλλοντα. Σουίδ. — Ἥν περ) Θεραπείαν δηλ. καὶ ἔστιν ὡς ἐπιβατικῶς· ἔστι δὲ καὶ ἐλλειπτικῶς τὸ τοιοῦτον εἰπεῖν· οἷον Καθ' ἥν περ.

ιϛ΄ 2. Δῆλον ὅτι) Δῆλόν ἐστιν ὅτι ἐστὶν ὑπηρετικὴ εἰς ἐργασίαν πλοίου.

3. Ἡ δὲ θεοῖς) Ὁ δὲ παρέλκει μέν, ἔστι δὲ μεταβατικός πως.

5. Καὶ γὰρ οἱ στρ.) Πολλὰ καὶ καλὰ ἐργάζονται δηλ. — Καὶ οἱ γεωργ.) Ἐργάζονται.

6. Τί δὲ δή;) Τὸ τί ἐντεῦθα περιττῶς κεῖται κατ' ἐπιφασιν ἐρωτήσεως· ἥκει γὰρ εἰπεῖν, τῶν δὲ πολλῶν κτλ. ἐνοεισθῶ οὖν εἰς λόγου ἀποπλήρωσιν τὸ λέγεις ἤτοι τοῦτό τι· ἢ Τί δὲ δὴ λέγεις. — Πρότερον) Ἤν ἐ. 3.

ιζ΄. Πολύ μοι διὰ βρ.) Ὑπερβατῶς ἀντὶ διὰ πολὺ βραχυτέρων εἴπες ἂν μοι τὸ κεφάλαιον, εἰ ἐθούλου.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐ πρόθυμός με εἶ διδάξαι, δῆλος εἶ. Καὶ γὰρ νῦν, ἐπειδὴ
ἐπ' αὐτῷ ἦσθα, ἀπετράπου· ὃ εἰ ἀπεκρίνω, ἴσως ἂν ἤδη παρὰ
3 σοῦ τὴν ὁσιότητα ἐμεμαθήκειν. Νῦν δή, (ἀνάγκη γὰρ τὸν ἐ-
ρωτῶντα τῷ ἐρωτωμένῳ ἀκολουθεῖν, ὅπη ἂν ἐκεῖνος ὑπάγῃ,)
τί δὴ αὖ λέγεις τὸ ὅσιον εἶναι καὶ τὴν ὁσιότητα; οὐχὶ ἐπιστή-
μην τινὰ τοῦ θύειν τε καὶ εὔχεσθαι; — Εὐθ. Ἔγωγε. — Σωκ.
Οὐκοῦν τὸ θύειν, δωρεῖσθαί ἐστι τοῖς θεοῖς, τὸ δ' εὔχεσθαι,
4 αἰτεῖν τοὺς θεούς; — Εὐθ. Καὶ μάλα, ὦ Σώκρατες. — Σωκ.
Ἐπιστήμη ἄρα αἰτήσεως καὶ δόσεως θεοῖς ἡ ὁσιότης ἂν εἴη,
ἐκ τούτου τοῦ λόγου. — Εὐθ. Πάνυ καλῶς, ὦ Σώκρατες, ξυ-
5 νῆκας, ὃ εἶπον. — Σωκ. Ἐπιθυμητής γάρ εἰμι, ὦ φίλε, τῆς
σῆς σοφίας, καὶ προσέχω τὸν νοῦν αὐτῇ· ὥς τε οὐ χαμαὶ πε-
σεῖται, ὅ,τι ἂν εἴποις. Ἀλλά μοι λέξον, τίς αὕτη ἡ ὑπηρε-
σία ἐστὶ τοῖς θεοῖς; αἰτεῖν τε φῂς αὐτοὺς καὶ διδόναι ἐκείνους;
— Εὐθ. Ἔγωγε.

ιή. Σωκ. Ἆρ' οὖν οὐ τό γε ὀρθῶς αἰτεῖν ἂν εἴη, ὧν δεό-
μεθα παρ' ἐκείνων, ταῦτα αὐτοὺς αἰτεῖν; — Εὐθ. Ἀλλὰ τί;
2 — Σωκ. Καὶ αὖ τὸ διδόναι ὀρθῶς, ὧν ἐκεῖνοι τυγχάνουσιν
δεόμενοι παρ' ἡμῶν, ταῦτα ἐκείνοις αὖ ἀντιδωρεῖσθαι; οὐ γάρ
που τεχνικὸν γ' ἂν εἴη, δωροφορεῖν διδόντα τῷ ταῦτα, ὧν οὐ-
3 δὲν δεῖται. — Εὐθ. Ἀληθῆ λέγεις, ὦ Σώκρατες. — Σωκ. Ἐμπορι-
κή, ἄρα τις ἂν εἴη, ὦ Εὐθύφρον, τέχνη ἡ ὁσιότης θεοῖς καὶ ἀν-
θρώποις παρ' ἀλλήλων. — Εὐθ. Ἐμπορική, εἰ οὕτως ἥδιόν σοι ὀνο-
4 μάζειν. — Σωκ. Ἀλλ' οὐδὲν ἥδιον ἔμοιγε, εἰ μὴ τυγχάνει ἀληθὲς ὄν.
Φράσον δή μοι, τίς ἡ ὠφέλεια τοῖς θεοῖς τυγχάνει οὖσα ἀπὸ τῶν
δώρων, ὧν παρ' ἡμῶν λαμβάνουσιν. Ἃ μὲν γὰρ διδόασι, παντὶ
δῆλον. Οὐδὲν γὰρ ἔστιν ἡμῖν ἀγαθὸν ὅ, τι ἂν μὴ ἐκεῖνοι δῶσιν· ἃ
δὲ παρ' ἡμῶν λαμβάνουσι, τί ὠφελοῦνται; ἢ τοσοῦτον αὐτῶν πλεο-
νεκτοῦμεν κατὰ τὴν ἐμπορείαν, ὥστε πάντα τὰ ἀγαθὰ παρ'
5 αὐτῶν λαμβάνομεν, ἐκεῖνοι δὲ παρ' ἡμῶν οὐδέν; — Εὐθ. Ἀλλ'
οἴει, ὦ Σώκρατες, τοὺς θεοὺς ὠφελεῖσθαι ἀπὸ τούτων, ἃ παρ'
ἡμῶν λαμβάνουσι; — Σωκ. Ἀλλὰ τί δήποτ' ἂν εἴη ταῦτα, ὦ
Εὐθύφρον, τὰ παρ' ἡμῶν δῶρα τοῖς θεοῖς; — Εὐθ. Τί δ' οἴει
ἄλλο, ἢ τιμή τε καὶ γέρας, καί, ὅπερ ἐγὼ ἄρτι ἔλεγον, χά-
6 ρις; — Σωκ. Κεχαρισμένον ἄρα ἐστίν, ὦ Εὐθύφρον, τὸ ὅσιον,
ἀλλ' οὐχὶ ὠφέλιμον, οὐδὲ φίλον τοῖς θεοῖς; — Εὐθ. Οἶμαι ἔ-
γωγε πάντων γε μάλιστα φίλον. — Σωκ. Τοῦτο ἄρ' ἐστὶν αὖ,
ὡς ἔοικε, τὸ ὅσιον τὸ τοῖς θεοῖς φίλον. — Εὐθ. Μάλιστά γε.

---

3. Νῦν δή) Μεταβατικὸς ὁ Δὴ κατὰ τὸν Δέ.

ιή. Ἀλλὰ τί;) Ἄλλο δηλ. εἴη ἢ τοῦτο.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ιθ΄. Σωκ. Θαυμάσῃ οὖν ταῦτα λέγων, ἐάν σοι οἱ λόγοι φαί-
νωνται μὴ μένοντες, ἀλλὰ βαδίζοντες, καὶ ἐμὲ αἰτιάσῃ τὸν Δαί-
δαλον βαδίζοντας αὐτοὺς ποιεῖν, αὐτὸς ὢν πολύ γε τεχνικώ-
τερος τοῦ Δαιδάλου, καὶ κύκλῳ περιιόντας ποιῶν; ἢ οὐκ αἰ-
σθάνῃ ὅτι ὁ λόγος ἡμῖν περιελθών, πάλιν εἰς ταὐτὸν ἥκει; μέ- 2
μνησαι γάρ που ὅτι ἐν τῷ πρόσθεν τό, τε ὅσιον καὶ τὸ θεοφι-
λὲς οὐ ταὐτὸν ἡμῖν ἐφάνη, ἀλλ' ἕτερα ἀλλήλων· ἢ οὐδὲ μέ-
μνησαι; — Εὐθ. Ἔγωγε. — Σωκ. Νῦν οὖν οὐκ ἐννοεῖς ὅτι τὸ 3
τοῖς θεοῖς φίλον, φῂς ὅσιον εἶναι; Τοῦτο δ' ἄλλο τι ἢ θεοφιλὲς
γίγνεται; ἢ οὔ; — Εὐθ. Πάνυ γε. — Σωκ. Οὐκοῦν ἢ ἄρτι οὐ
καλῶς ὡμολογοῦμεν, ἢ εἰ τότε καλῶς, νῦν οὐκ ὀρθῶς τιθέμε-
θα. — Εὐθ. Ἔοικεν.

κ΄. Σωκ. Ἐξ ἀρχῆς ἄρα ἡμῖν πάλιν σκεπτέον τί ἐστι τὸ
ὅσιον. Ὡς ἐγώ, πρὶν ἂν μάθω, ἑκὼν εἶναι οὐκ ἀποδειλιάσω.
Ἀλλὰ μή με ἀτιμάσῃς, ἀλλὰ παντὶ τρόπῳ προσέχων τὸν νοῦν, 2
ὅτι μάλιστα νῦν εἰπὲ τὴν ἀλήθειαν. Οἶσθα γάρ, εἴπερ τις ἄλ-
λος ἀνθρώπων καὶ οὐκ ἀρετὸς ἀρετός· εἶ, ὥσπερ ὁ Πρωτεύς,
πρὶν ἂν εἴπῃς. Εἰ γὰρ μὴ ἔδησθα σαφῶς τό, τε ὅσιον καὶ τὸ 3
ἀνόσιον, οὐκ ἔστιν ὅπως ἂν ποτε ἐπεχείρησας ὑπὲρ ἀνδρὸς θη-
τὸς ἀνοσίως πρεσβύτην πατέρα διωκάθειν φόνου· ἀλλὰ καὶ τοὺς
θεοὺς ἂν ἔδεισας παρακινδυνεύειν, μὴ οὐκ ὀρθῶς αὐτὸ ποιήσειας,
καὶ τοὺς ἀνθρώπους ᾐσχύνθης. Νῦν δὲ εὖ οἶδα ὅτι σαφῶς οἴει
εἰδέναι τό, τε ὅσιον καὶ μή. Εἰπὲ οὖν, ὦ βέλτιστε Εὐθύφρον, 4
καὶ μὴ ἀποκρύψῃ ὅ,τι αὐτὸ ἡγῇ. — Εὐθ. Εἰσαῦθις τοίνυν, ὦ
Σώκρατες· νῦν γὰρ σπεύδω ποι, καί μοι ὥρα ἀπιέναι. — Σωκ.
Οἷα ποιεῖς, ὦ ἑταῖρε; ἀπ' ἐλπίδος με καταβαλὼν μεγάλης ἀ-

ιθ΄. Ποιεῖν) Ἀπὸ τοῦ αἰτιάσῃ καὶ πρὸς εἴδικον δηλ. ἀπορέμματον τὸ αἰτιῶμαι· οὕτω καὶ Δημοσθ. ἐν τῷ περὶ Στεφ. Ὅδτος δὲ τῆς ἱερᾶς χώρας αἰτιᾶτο εἶναι.

2. Ἐν τῷ πρόσθ.) Ἐν ιξ΄. 11.

3. Ἢ οὐ;) Ἢ οὐχ' οὕτως ἔχει.

κ΄. 2. Ἀλλὰ μή μ.) Ὁ Ἀλλὰ οὗτος μεταβατικός ἐστιν ὁ δὲ ἑξῆς θετικός, ἡγουμένης τῆς διὰ τοῦ Μὴ ἀρνήσεως.

— Ὥσπερ ὁ Πρωτ.) Ἀγαμέμνων ἐπιστρέφων ἐκ Τροίας, εἰς Αἴγυπτον νῆσον ἀπεπλανήθη· ἀποσῶν δὲ πάντων, ἐντυγχάνει Εἰδοθέᾳ θυγατρὶ Πρωτέως Αἰγύπτιου, ἥτις διδάσκει αὐτὸν τὸν Πρωτέα ἐνεδρεύσαντα συλλαβεῖν, καὶ μὴ ἀφεῖναι, καὶ τοι μεταβαλλόμενον εἰς ζῶα, καὶ πῦρ, καὶ ὕδωρ, πρὶν ἢ ἐρέσθαι αὐτῷ τί χρὴ ποιῆσαι· καὶ ὡς οἰκαδε ἐπανέλθοι· ὁ δὲ, συλλαβὼν, καὶ τοι λέοντα, καὶ δράκοντα, καὶ πάρδαλιν, καὶ σῦν, καὶ ὕδωρ, καὶ δένδρον γινόμενον, οὐκ ἀφῆκεν, ἀλλὰ κατεῖχε μέχρι πάντα αὐτῷ ἐδήλωσεν. Ὅμηρ. Ὀδύσ. Δ΄. στιχ. 354 . . . 570.

3. Εἴδησθα) Ἐτυμολόγος. Εἴδησθα τὸ κοινότερον τῷ εν τὸ δὲ Ἀττικώτερον τῷ η· εἴδειν γὰρ εἴδειμι καὶ κατ' ἐπέκτασιν τῆς ει, εἴδεισθα καὶ Ἀττικῶς εἴδησθα. — Διωκάθειν) Ἀττικῶς ἀντὶ τοῦ Διώκειν. — Παρακινδυνεύειν) Ὥστε παρακινδυνεύειν οἷον ἐφοβήθης ἀν καὶ τοὺς θεοὺς, ᾐσχύνθης δ' ἂν καὶ τοὺς ἀνθρώπους, ἵνα παρὰ προαίρεσιν κινδυνεύσῃς μὴ ὀρθ. καὶ τλ. τὸ δὲ Μὴ δυστακτικὸν ὂν καὶ πρὸς ὁριστικὸν φέρεται κατὰ τὸ τρομερές.

4. Καί μοι ὥρα) Ἐστὶ δηλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πέρχη, ἣν εἶχον ὡς παρὰ σοῦ μαθὼν τά τε ὅσια καὶ μή, καὶ τῆς πρὸς Μέλιτον γραφῆς ἀπαλλάξομαι, ἐνδειξάμενος ἐκείνῳ ὅτι σοφὸς ἤδη παρ' Εὐθύφρονος τὰ θεῖα γέγονα, καὶ ὅτι οὐκ ἔτι ὑπ' ἀγνοίας αὐτοσχεδιάζω, οὐδὲ καινοτομῶ περὶ αὐτά, καὶ δὴ καὶ τὸν ἄλλον βίον ὅτι ἄμεινον βιωσοίμην.

Β'. ΑΠΟΛΟΓΙΑ ΣΩΚΡΑΤΟΥΣ.

Ἠθικός.

ά. Ὅ,τι μὲν ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, πεπόνθατε ὑπὸ τῶν ἐμῶν κατηγόρων, οὐκ οἶδα· ἔγωγ' οὖν καὶ αὐτὸς ὑπ' αὐτῶν ὀλίγου δεῖν ἐμαυτοῦ ἐπελαθόμην· οὕτω πιθανὼς ἔλεγον. Καί τοι
2 ἀληθές γε, ὡς ἔπος εἰπεῖν, οὐδὲν εἰρήκασι. Μάλιστα δὲ αὐτῶν ἓν ἐθαύμασα τῶν πολλῶν ὧν ἐψεύσαντο, τοῦτο, ἐν ᾧ ἔλεγον ὡς χρὴ εὐλαβεῖσθαι μὴ ὑπ' ἐμοῦ ἐξαπατηθῆτε, ὡς δεινοῦ ὄντος λέγειν. Τὸ γὰρ μὴ αἰσχυνθῆναι, ὅτι αὐτίκα ὑπ' ἐμοῦ ἐξελεγχθήσονται ἔργῳ, ἐπειδὰν μηδ' ὁπωστιοῦν φαίνωμαι δεινὸς λέγειν, τοῦτό μοι ἔδοξεν αὐτῶν ἀναισχυντότατον εἶναι· εἰ μὴ ἄρα δεινὸν
3 καλοῦσιν αὐτοὶ λέγειν, τὸν τἀληθῆ λέγοντα. Εἰ μὲν γὰρ τοῦτο λέγουσιν, ὁμολογοίην ἂν ἔγωγε οὐ κατὰ τούτους εἶναι ῥήτορα.
4 Οὗτοι μὲν οὖν, ὥσπερ ἐγὼ λέγω, οὐδὲν ἀληθὲς εἰρήκασιν· ὑμεῖς δέ μου ἀκούσεσθε πᾶσαν τὴν ἀλήθειαν. Οὐ μέν τοι μά Δία, ὦ ἄνδρες Ἀθηναῖοι, κεκαλλιεπημένους γε λόγους, ὥσπερ οἱ τούτων, ῥήμασί τε καὶ ὀνόμασιν, οὐδὲ κεκοσμημένους, ἀλλ' ἀκούσεσθε εἰκῇ
5 λεγόμενα τοῖς ἐπιτυχοῦσιν ὀνόμασι· Πιστεύω γὰρ δίκαια εἶναι, ἃ λέγω, καὶ μηδεὶς ὑμῶν προσδοκάτω ἄλλως. Οὐδὲ γὰρ ἂν δήπου πρέποι, ὦ ἄνδρες, τῇ δε τῇ ἡλικίᾳ, ὥσπερ μειρακίῳ πλατ-

---

(*) Ἀπολογία μὲν Σωκράτους ὀνομάζεται ὁ λόγος οὗτος ὅτι Σωκράτης ὑποτίθεται ἀπολογούμενος πρὸς τοὺς κριτάς· Ἠθικός δὲ, ὅτι περιήθων διαλαμβάνει. Ὁ δὴ ὁ, τε Διονύσιος ὁ Ἁλικαρνασσεὺς πολὺ θαυμάζει, καὶ Εὐστάθιος ἐν Ἰλιάδ. Π. Σελ. 1089, 62.

ά. Ὀλίγον δεῖν) Τὸ παρ' ἡμῖν ὀλίγον λείπει. Τοιοῦτο δὲ καὶ τὸ, μακροῦ δεῖν, παρὰ μικρόν, καὶ μικροῦ, χωρὶς τοῦ ῥήματος. Ἔστι δὲ τὸ Δεῖν ἀντὶ τοῦ Δέον κατὰ συνέρεσιν τοῦ ε καὶ ο εἰς ει· τὸ δὲ Δέον, ἀπόλυτος μετοχὴ κατὰ τὰς τῶν ἀπροσώπων. Ὡς ἔπος εἰπεῖν) Τὸ Ὡς ἐλλιπτικόν· ἔχει δὲ ἐννοούμενον τὸ Δός, ἢ Δότε, ἐπιτρέψατε ὡς ἐν συντόμῳ εἰπεῖν· ὡς κατ' ἔπος εἰπεῖν, ὡς ἐν ἐλ[illegible] λόγῳ εἰπεῖν.

ἐ[illegible] χρῆν) Ἀντὶ Ὡς ἐχρῆν.

— Τοῦτο μοι ἔδοξεν) Τοῦτο τὸ μὴ [illegible] ἐστὶ τὸ ἀναισχυντότατον [illegible] λέγειν) Κατὰ τὸ λέγειν δηλ. τὰ [illegible] ἐπίθετα πρὸς αἰτιατικὴν προσδιορ[illegible] τε φέρονται κατ' ἔλειψιν πτῶ[illegible] κατα[illegible] καὶ πρὸς ἀπρόσωπον δὲ [illegible]τικὸν ὁμοίως. — Εἰμι ἄρα) Πλὴν ἐ[illegible] Ἐξαιρετικὸν τὸ εἰ μή.—Εἰ μὲν) Τὸ ε[illegible] μὲν [illegible] ἔχει ἀπόδοσιν. Ἐννοεῖται ἀ[illegible]α, εἰ δὲ μὴ τοῦτο λέγουσι, ψεύδονται.

4. Ὥσπερ οἱ τούτων) Εἰσὶ λόγοι τὸ γὰρ ὥσπερ ὀρθωτικό — Ἀκούσεσθε) Ἐμοῦ λέγοντος δηλ. Οὐ λόγους κεκαλλωπισμένους, ἀλλ' εἰκῇ λεγόμενα.

5. Τῇ δε τῇ ἡλικίᾳ) Οὐ γὰρ πρέπει γέροντι, ὥσπερ μειρακίῳ καὶ τὸ[illegible]

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοντι λόγους, ἐς ὑμᾶς εἰσιέναι. Καὶ μέν τοι καὶ πάνυ, ὦ ἄνδρες 6
Ἀθηναῖοι, τοῦτο ὑμῶν δέομαι καὶ παρίημαι· ἐὰν διὰ τῶν αὐτῶν
λόγων ἀκούητέ μου ἀπολογουμένου, δι' ὧν περ εἴωθα λέγειν καὶ ἐν
ἀγορᾷ κἀπὶ τῶν τραπεζῶν, ἵνα ὑμῶν οἱ πολλοὶ ἀκηκόασι, καὶ
ἄλλοθι, μήτε θαυμάζειν, μήτε θορυβεῖν τούτου ἕνεκα. Ἔχει γὰρ 7
οὕτωσί· νῦν ἐγὼ πρῶτον ἐπὶ δικαστήριον ἀναβέβηκα, ἔτη γεγο-
νὼς πλείω ἑβδομήκοντα. Ἀτεχνῶς οὖν ξένως ἔχω τῆς ἐνθάδε λέ-
ξεως. Ὥσπερ οὖν ἄν, εἰ τῷ ὄντι ξένος ἐτύγχανον ὤν, ξυνεγι- 8
γνώσκεται δήπου ἄν μοι, εἰ ἐν ἐκείνῃ τῇ φωνῇ τε καὶ τῷ τρόπῳ
ἔλεγον, ἐν οἷς περ ἐτεθράμμην· καὶ δὴ καὶ νῦν τοῦτο ὑμῶν δέο-
μαι (δίκαιον, ὥς γε μοι δοκῶ,) τὸν μὲν τρόπον τῆς λέξεως ἐᾶν
(ἴσως μὲν γάρ τι χείρων, ἴσως δὲ βελτίων ἂν εἴη·) αὐτὸ δὲ τοῦτο
σκοπεῖν, καὶ τούτῳ τὸν νοῦν προσέχειν, εἰ δίκαια λέγω, ἢ μή.
Δικαστοῦ μὲν γὰρ αὕτη ἀρετή· ῥήτορος δέ, τἀληθῆ λέγειν.

β'. Πρῶτον μὲν οὖν δίκαιός εἰμι ἀπολογήσασθαι, ὦ ἄνδρες
Ἀθηναῖοι, πρὸς τὰ πρῶτά μου ψευδῆ κατηγορημένα, καὶ πρὸς
τοὺς πρώτους κατηγόρους, ἔπειτα δὲ πρὸς τὰ ὕστερον, καὶ τοὺς
ὑστέρους. Ἐμοῦ γὰρ πολλοὶ κατήγοροι γόνασι πρὸς ὑμᾶς, καὶ 2
πάλαι πολλὰ ἤδη ἔτη, καὶ οὐδὲν ἀληθὲς λέγοντες· οὓς ἐγὼ μᾶλ-
λον φοβοῦμαι ἢ τοὺς ἀμφὶ Ἄνυτον, καίπερ ὄντας καὶ τούτους
δεινούς. Ἀλλ' ἐκεῖνοι δεινότεροι, ὦ ἄνδρες, οἱ ὑμῶν τοὺς πολ- 3
λοὺς ἐκ παίδων παραλαμβάνοντες, ἔπειθόν τε καὶ κατηγόρουν
ἐμοῦ οὐδὲν ἀληθές· ὡς ἔστι τις Σωκράτης, ἀνὴρ σοφός, τά τε
μετέωρα φροντιστής καὶ τὰ ὑπὸ γῆς πάντα ἠυξηκώς, καὶ τὸν
ἥττω λόγον κρείττω ποιῶν. Οὗτοι, ὦ ἄνδρες Ἀθηναῖοι, ταύτην 4
τὴν φήμην κατασκεδάσαντες, οἱ δεινοὶ εἰσί μου κατήγοροι. Οἱ
γὰρ ἀκούοντες ἡγοῦνται τοὺς ταῦτα ζητοῦντας οὐδὲ θεοὺς νο-
μίζειν. Ἔπειτα εἰσὶν οὗτοι οἱ κατήγοροι πολλοὶ καὶ πολὺν ἤδη 5

ἔστι δὲ τὸ Ὥσπερ καὶ ὁμοιοπτώτως τῷ προσηγορευμένῳ λέγεσθαι, καὶ τοι λόγου ὀρθωτικὸν ὄν, ὡς ἐλέγετο. 4.

6. Παρίεμαι) Τοῦτο δοκεῖ, φησὶ Βαρῖνος, τοῦ παρατεῖσθαι δύναμιν ἔχειν. — Ἵνα) Τοπικὸν τὸ Ἵνα, ἀντὶ τοῦ Ἔνθα. — Καὶ ἄλλοθι) Ἐν τοῖς ἐργαστηρίοις δηλ. καὶ ἐν ταῖς παλαίστραις ὡς φησὶ Θεμίστιος λόγ. ιέ. Καὶ Δίων Χουσόστ. λόγ. νδ'. Περιτε τὴν ἀγορὰν τὰ πολλὰ διατριβῶν, καὶ εἰς τὰς παλαίστρας εἰσιών, καὶ πρὸς ταῖς τραπέζαις καθεζόμενος.

7. Ξένως ἔχω) Ἀήθης εἰμὶ τοῦ τρόπου, καθ' ὃν εἰς τὸ δικαστήριον ἐκφράζουσι τὰς ἐννοίας οἱ ἐνταῦθα λέγοντες.

8. Δίκαιον) Ἔστιν οὖν ἡ Δίκαιόν ἐστιν, ὃ δέομαι, ὡς γέ μοι δοκῶ. Τὸ δὲ Δοκῶ μοι, ἀντὶ Δοκεῖ μοι σύνηθες παρὰ τοῖς Ἀττικοῖς. — Αὕτη ἀρετὴ) Σχόλιαστ. Ἑρμογ. Ῥήτορος μὲν γὰρ ἔργον τὸ τἀληθῆ λέγειν· δικαστοῦ δὲ γε σωφρόνων τὰ δίκαια κρίνειν.

β'. 2. Καὶ πάλαι πολλὰ) Καὶ πάλαι γεγόνασι κατήγοροι κατὰ πολλὰ ἤδη ἔτη.

3. Καὶ τὸν ἥττω λόγον κρείττω) Ἀπὸ τῶν κάτω τούτων καὶ ἀνθρωπείων δηλ. εἰς οὐράνια μεταφέρων τὸν λόγον καὶ ὑψηλά.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χρόνον κατηγορηκότες· ἔτι δὲ καὶ ἐν ταύτῃ τῇ ἡλικίᾳ λέγοντες πρὸς ὑμᾶς, ἐν ᾗ ἂν μάλιστα ἐπιστεύσατε, παῖδες ὄντες ἔνιοι ὑμῶν καὶ μειράκια, ἀτεχνῶς ἐρήμην κατηγοροῦντες, ἀπολογουμένου οὐδενός. Ὁ δὲ πάντων ἀλογώτατον, ὅτι οὐδὲ τὰ ὀνόματα οἷόν τε αὐτῶν εἰδέναι καὶ εἰπεῖν· πλὴν εἴ τις κωμῳδιοποιὸς
6 τυγχάνει ὤν. Ὅσοι δὲ φθόνῳ καὶ διαβολῇ χρώμενα ὑμᾶς ἀνέπειθον, οἱ δέ, καὶ αὐτοὶ πεπεισμένοι, ἄλλους πείθοντες, οὗτοι
7 πάντες ἀπορώτατοί εἰσιν. Οὐδὲ γὰρ ἀναβιβάσασθαι οἷόν τ' ἐστὶν αὐτῶν ἐνταυθοῖ, οὐδὲ ἐλέγξαι οὐδένα, ἀλλ' ἀνάγκη ἀτεχνῶς ὥσπερ σκιαμαχεῖν ἀπολογούμενόν τε καὶ ἐλέγχειν, μηδενὸς ἀποκρι-
8 νομένου. Ἀξιώσατε οὖν καὶ ὑμεῖς, ὥσπερ ἐγὼ λέγω, διττούς μου κατηγόρους γεγονέναι, ἑτέρους μὲν, τοὺς ἄρτι κατηγορήσαντας· ἑτέρους δὲ, τοὺς πάλαι, οὓς ἐγὼ λέγω· καὶ οἰήθητε δεῖν πρὸς ἐκείνους πρώτόν με ἀπολογήσασθαι. Καὶ γὰρ ὑμεῖς ἐκείνων πρότερον ἠκούσατε κατηγορούντων, καὶ πολὺ μᾶλλον ἢ τῶν δε τῶν
9 ὕστερον. Εἶεν· ἀπολογητέον δή, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἐπιχειρητέον ὑμῶν ἐξελέσθαι τὴν διαβολήν, ἣν ὑμεῖς ἐν πολλῷ χρόνῳ
10 ἔχετε, ταύτην ἐν οὕτωσὶ ὀλίγῳ χρόνῳ. Βουλοίμην μὲν οὖν ἂν τοῦτο οὕτω γενέσθαι, εἴ τι ἄμεινον καὶ ὑμῖν καὶ ἐμοὶ, καὶ πλέον τί με ποιήσαι ἀπολογούμενον. Οἶμαι δὲ αὐτὸ χαλεπὸν εἶναι, καὶ οὐ πάνυ με λανθάνει οἷόν ἐστιν. Ὅμως δὲ τοῦτο μὲν ἴτω, ὅπῃ τῷ Θεῷ φίλον, τῷ δὲ νόμῳ πειστέον καὶ ἀπολογητέον.

γ. Ἀναλάβωμεν οὖν ἐξ ἀρχῆς, τίς ἡ κατηγορία ἐστὶν, ἐξ ἧς ἡ ἐμὴ διαβολὴ γέγονεν, ᾗ δὴ καὶ πιστεύων Μέλιτός με ἐγράψατο
2 τὴν γραφὴν ταύτην. Εἶεν· τί δὴ λέγοντες διέβαλλον οἱ διαβάλλοντες; Ὥσπερ οὖν κατηγόρων τὴν ἀντωμοσίαν δεῖ ἀναγνῶναι

---

5. Ἐρήμην κατηγοροῦντες) Ἐμοῦ δηλ. μὴ παρόντος. Ἐρήμη γὰρ κατηγορία, ὅταν ἀπῇ ὁ κατηγορούμενος, ὥσπερ καὶ ἐρήμη δίκη, ὅταν μὴ ἀπαντήσας ὁ διωκόμενος, εἰς τὴν κρίσιν καταδικασθῇ. Λέγονται δὲ ταῦτα καὶ χωρὶς οὐσιαστικοῦ· ὅλεν καὶ ἐρήμην ἑάλω· ὁ καταδικασθεὶς ἀπών· ἤτοι ἐλήφθη κατ' ἐρήμην δίκην. Κωμῳδιοποιὸς) Τὸν Ἀριστοφάνην αἰνίττεται· οὗτος γὰρ καὶ ὅλην κωμῳδίαν συνέγραψε, κατηγορῶν Σωκράτους, Νεφέλαι ὀνομαζομένην· ἔνθα παρίστησι τὸν Σωκράτην νεφελοβατοῦντα, καὶ μετεωρολογοῦντα. — Ἀπολογούμενόν τε καὶ ἐλέγχειν) Ἤτοι ὥσπερ σκιαμαχεῖν τε καὶ ἐλέγχειν ἀπολογούμενον· ἵν' οἱ συμπλεκτικοὶ ὅμοια συνδέωσι.

10. Εἰ τι ἄμεινον) Εἰ τοῦτο ἐστὶν ἄμεινόν τι καὶ ὑμῖν καὶ ἐμοί· τὸ ἐξελέσθαι ὑμῶν ταύτην τὴν διαβολήν. — Οἷόν ἐστὶν) Καὶ οὐκ ἀγνοῶ οἷόν ἐστι τοῦτο· ὅτι δηλ. οὐδὲν ὑπόπτομαι ἀπολογούμενος. — Ἴτω) Προχωρείτω· γενέσθω κατὰ τὴν βούλησιν τοῦ Θεοῦ.

γ. Ἐγράψατο τὴν γραφὴν ταύτην) Τὴν περὶ τῶν δημοσίων ἀδικημάτων κατηγορίαν γραφὴν οἱ Ἀθηναῖοι ἐκάλουν· γράφομαι δὲ τὸ ἐγγράφως κατηγορῶ. Ὅθεν, ἐγράψατο τὴν γραφὴν ταύτην, σημαίνει. Ἐγγράφως κατηγόρησάν μου ἐνώπιον ἡμῶν τὴν κατηγορίαν ταύτην.

2. Εἶεν· τί δὴ) Ἀποστατικῶς· ἔστω δηλονότι ταῦτα, ἀλλὰ τί· καὶ τλ. ὁ δὲ Δῆ μεταβατικός. — Ἀντωμοσίαν) Ἀντωμοσία ἐκαλεῖτο ἡ κατά τινος ἔνορκος γραφή. Φασί δ' ὅτι ἔγραφον ὅ,τε κατηγορῶν καὶ κατηγορούμενος, ἀντομνύοντες, ὁ μὲν, ὅτι ἠδικήθη κατηγορήσει· ὁ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτῶν· Σωκράτης ἀδικεῖ καὶ περιεργάζεται ζητῶν τά τε ὑπὸ γῆς καὶ τὰ ἐπουράνια, καὶ τὸν ἥττω λόγον κρείττω ποιῶν, καὶ ἄλλους ταῦτα διδάσκων. Τοιαύτη τίς ἐστί. Τοιαῦτα γὰρ ἑωρᾶτε καὶ αὐτοὶ ἐν τῇ Ἀριστο- 3
φάνους κωμῳδίᾳ, Σωκράτην τινὰ ἐκεῖ περιφερόμενον, φάσκοντά τε ἀεροβατεῖν, καὶ ἄλλην πολλὴν φλυαρίαν φλυαροῦντα· ὧν ἐγὼ οὐδὲν οὔτε μέγα οὔτε σμικρὸν περὶ ἐπαίω. Καὶ οὐχ ὡς ἀτιμά- 4
ζων λέγω τὴν τοιαύτην ἐπιστήμην, εἴ τις περὶ τῶν τοιούτων σοφὸς ἐστι, μήπως ἐγὼ ὑπὸ Μελίτου τοσαύτας δίκας φεύγοιμι. Ἀλλὰ γάρ μοι τῶν τοιούτων, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδὲν μέτεστι· μάρτυρας δ' αὐ ὑμῶν τοὺς πολλοὺς παρέχομαι, καὶ ἀξιῶ ὑμᾶς ἀλλήλους διδάσκειν τε καὶ φράζειν ὅσοι ἐμοῦ πώποτε ἀκηκόατε διαλεγομένου. Πολλοὶ δὲ ὑμῶν οἱ τοιοῦτοί εἰσι. Φράζετε οὖν 5
ἀλλήλοις, εἰ πώποτε ἢ σμικρὸν ἢ μέγα ἤκουσέ τις ὑμῶν ἐμοῦ περὶ τῶν τοιούτων διαλεγομένου· καὶ ἐκ τούτου γνώσεσθε, ὅτι τοιαῦτ' ἐστὶ καὶ τἄλλα περὶ ἐμοῦ ἃ οἱ πολλοὶ λέγουσιν.

δ'. Ἀλλὰ γὰρ οὔτε τούτων οὐδέν ἐστιν· οὐδέ γ' εἴ τινος ἀκηκόατε ὡς ἐγὼ παιδεύειν ἐπιχειρῶ ἀνθρώπους, καὶ χρήματα πράττομαι, οὐδὲ τοῦτο ἀληθές. Ἐπεὶ καὶ τοῦτό γέ μοι δοκεῖ καλὸν εἶναι, εἴ 2
τις οἷός τ' εἴη παιδεύειν ἀνθρώπους, ὥσπερ Γοργίας ὁ Λεοντῖνος, καὶ Πρόδικος ὁ Κεῖος, καὶ Ἱππίας ὁ Ἠλεῖος. Τούτων γὰρ ἕκαστος, ὦ ἄνδρες, οἷός τ' ἐστὶν ἰὼν εἰς ἑκάστην τῶν πόλεων, τοὺς νέους, οἷς ἔξεστι τῶν ἑαυτῶν πολιτῶν προῖκα ξυνεῖναι ᾧ ἂν βούλωνται, τούτους πείθουσι τὰς ἐκείνων ξυνουσίας ἀπολι-

---

δὲ, ὅτι τἀληθῆ ἀπολογήσεται. Βαρῦν. Ἀντωμοσία.

3. Κωμῳδίᾳ) Τῇ καλουμένῃ Νεφέλαι· ἐνθα ἐδείκνυτο Σωκράτης τοῖς θεάτοις ἐπὶ κρεμάθρας, ἀεροβατῶν, καὶ τοὺς θεοὺς ὑπεροφρυῶν. στίχ. 225. φησὶν γοῦν ἑωρᾶτε, ὅτε ἐν τῷ θεάτρῳ ταῦτα διεκωμῳδεῖτο, ἐνθα τὸ πλῆθος ἐθεώρει. — Ὧν ἐγὼ) Οἷον· Περὶ ὧν ἐγώ. — Τὴν τοιαύτην ἐπιστήμην) Τὴν ποιητικὴν δηλ. Ἔστι γὰρ πρὸς ἐπανόρθωσιν ἠθῶν, διακωμῳδουμένων τῶν φαύλων. — Μήπως ἐγώ) Μὴ γένοιτο ἵνα τοσούτων κατηγορηθῶ ὑπὸ Μελίτου.

6. Περὶ τῶν τοιούτων) Ὧν μου κατηγοροῦσι.

δ'. Χρήματα πράττομαι) Ἀπαιτῶ δηλ. χρήματα· καὶ ἔστι τὸ αὐτὸ, ὅπερ Ξενοφ. Ἀπομν. Α'. β'. 60. Μισθὸν τῆς συνουσίας πράττομαι· ἐν δ' ἀπολ. 16. φησὶν. Ὡς παρ' οὐδένος οὔτε δῶρα, οὔτε μισθὸν δέχομαι.

2. Τούτους πείθουσι) Ἐπανάληψις διὰ τὸ πολλὰ μεταξὺ ἐν ὑπερθάτῳ σχήματι παρεμπεσεῖν· τὸ δὲ Πείθουσι πληθυντικὸν διὰ τὸ Ἕκαστος· καὶ ἑνικῷ κατὰ φωνὴ, καὶ πληθυντικῷ κατὰ σημασίαν· συμφερόμενον ῥήματι· τὸ δ' οἷός τ' ἐστιν, ὡς παρέλκων κεῖται· ἄλλως γὰρ πείθειν ἔδει λέγειν οὐ πείθουσιν· ὡς ἀπαρέμφατον ἀπαιτοῦντος τοῦ Οἷός τ' ἐστι· κεῖται δὲ κατὰ τὸ Οἶμαι, ἐπεντιθέμενον· εὖ οἶδα, καὶ εἴτι τοιοῦτο· καὶ ταῦτα γὰρ πρὸς ἀπαρέμφατον φερόμενα, κατ' ἐπένθεσιν λεγόμενα, οὐδὲ τοιοῦτον ἀπαιτεῖ· Ἡ δὲ σύνταξις. Τούτων γὰρ ἕκαστος, ἰὼν εἰς ἑκάστην τῶν πόλεων, οἷός τ' ἐστὶ πείθειν τοὺς νέους, οἷς ἔξεστιν ξυνεῖναι προῖκα ᾧ ἂν βούλωνται τῶν ἑαυτῶν πολιτῶν, ἀπολιπεῖν τὰς ἐκείνων ξυνουσίας, καὶ ξυνεῖναι αὐτοῖς, διδόντας χρήματα, καὶ πρὸς τούτοις εἰδότας καὶ χάριν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πόντας, σφίσι ξυνεῖναι χρήματα διδόντας, καὶ χάριν προσειδέ-
3 ναι. Ἐπεὶ καὶ ἄλλος ἀνήρ ἐστι Πάριος ἐνθάδε σοφός, ὃν ἐγὼ
ἠσθόμην ἐπιδημοῦντα. Ἔτυχον γὰρ προσελθὼν ἀνδρὶ ὅς τετε-
λέκει χρήματα σοφισταῖς πλείω ἢ ξύμπαντες οἱ ἄλλοι, Καλλία
4 τῷ Ἱππονίκου. Τοῦτον οὖν ἀνηρόμην (ἐστὸν γὰρ αὐτῷ δύο υἱέε)·
ὦ Καλλία, ἦν δ' ἐγώ, εἰ μέν σου τὼ υἱέε πώλω ἢ μόσχω ἐγε-
νέσθην, εἴχομεν ἂν αὐτοῖν ἐπιστάτην λαβεῖν καὶ μισθώσασθαι, ὃς
ἔμελλεν αὐτὼ καλὼ κἀγαθὼ ποιήσειν τὴν προσήκουσαν ἀρετήν· ἦν
δ' ἂν οὗτος ἢ τῶν ἱππικῶν τις ἢ τῶν γεωργικῶν· νῦν δ' ἐπειδὴ
ἀνθρώπω ἐστόν, τίνα αὐτοῖν ἐν νῷ ἔχεις ἐπιστάτην λαβεῖν; τίς τις
τοιαύτης ἀρετῆς τῆς ἀνθρωπίνης τε καὶ πολιτικῆς ἐπιστήμων ἐ-
5 στίν; οἶμαι γάρ σε ἐσκέφθαι, διὰ τὴν τῶν υἱέων κτῆσιν. Ἔστι τις,
ἔφην ἐγώ, ἢ οὔ; Πάνυ γε, ἦ δ' ὅς. Τίς, ἦν δ' ἐγώ, καὶ ποδαπός;
καὶ πόσου διδάσκει; Εὔηνος, ἔφη, ὦ Σώκρατες, Πάριος, πέντε
6 μνῶν. Καὶ ἐγὼ τὸν Εὔηνον ἐμακάρισα, εἰ ὡς ἀληθῶς ἔχει ταύ-
την τὴν τέχνην, καὶ οὕτως ἐμμελῶς διδάσκει. Ἔγωγ' οὖν καὶ
αὐτὸς ἐκολλυνόμην τε καὶ ἠβουλόμην ἄν, εἰ ἠπιστάμην ταῦτα·
ἀλλ' οὐ γὰρ ἐπίσταμαι, ὦ ἄνδρες Ἀθηναῖοι.

ε. Ὑπολάβοι ἂν οὖν τις ἴσως· ἀλλ', ὦ Σώκρατες, τὸ
σὸν τί ἐστι πρᾶγμα; πόθεν αἱ διαβολαί σοι αὗται γεγόνασιν;
Οὐ γὰρ δήπου, σοῦ γε οὐδὲν τῶν ἄλλων περιττότερον πραγ-
ματευσαμένου, ἔπειτα τοσαύτη φήμη τε καὶ λόγος γέγονε, εἰ μή
τι ἔπραττες ἄλλοιον, ἢ οἱ πολλοί. Λέγε οὖν ἡμῖν, τί ἐστιν,
2 ἵνα μὴ καὶ ἡμεῖς περὶ σοῦ αὐτοσχεδιάζωμεν. Ταυτί μοι δοκεῖ
δίκαια λέγειν ὁ λέγων· κἀγὼ ὑμῖν πειράσομαι ἀποδεῖξαι, τί
ποτ' ἐστὶ τοῦτο, ὃ ἐμοὶ πεποίηκε τό, τε ὄνομα καὶ τὴν διαβο-
λήν. Ἀκούετε δή· καὶ ἴσως μὲν δόξω τισὶν ὑμῶν παίζειν· εὖ

---

4. Ἦν δ' ἐγώ) Ποιητικὸν τὸ Ἦν ἀντὶ τοῦ Ἔφην· φησὶ γὰρ καὶ ἡμὶ ποιητικῶς· ὅθεν καὶ ἔφην· ἦν, ἦς, ἦ. Καντεῦθεν τὸ ἦδ' ὅς, ἀντὶ τοῦ ἔφη ἐκεῖνος· ἢ, ὁ δ' ἔφη. — Τὴν προσήκουσαν) Κατὰ τὴν πρόσ.

— Διὰ τὴν τῶν υἱέων κτ.) Ἤγουν ἐπειδὴ ἐκτήσω υἱούς, οἶμαι ὅτι ἐσκέφθης καὶ περὶ τούτου.

5. Πόσου διδάσκει) Ἕνεκεν πόσου τιμήματος· ὅτε γὰρ περὶ τοιούτου ὁ λόγος, τιμήματος δηλ. διὰ γενικῆς ἐκφράζεται κατ' ἔλλειψιν τῆς Δία, ἢ Ἕνεκα· ἢ γοῦν Ἀντί. — Εὔηνος) Ἀποκρατίων ἐν Εὐηνοῖς. »Δύο ἀναγράφουσιν Εὐήνους ἐλεγείων ποιητὰς ὁμωνύμους ἀλλήλοις, καθάπερ Ἐρατοσθένης ἐν τῷ » περὶ Χρονογραφιῶν, ἀμφοτέρους λέγων » Παρίους εἶναι· γνωριζεσθαι δὲ φησι τὸν » νεώτερον μόνον. Μέμνηται δὲ ἑκατέρου » αὐτῶν καὶ Πλάτων «

6. Ἐμμελῶς) Προθύμως δηλ. καθ' Ἡσύχιον. — Ἀλλ' οὐ γάρ) Ἀλλὰ γὰρ οὐκ ἐπιστ. καὶ ἔστιν ὁ Ἀλλὰ γὰρ ἐναντιωματικὸς ἢ ἀντιθετικός.

ε. Τὸ σὸν τί ἐστι) Τί ἐστι τοῦτο τὸ σόν; Οὐ διδάσκεις δηλ.; ὅθεν καὶ αἱ κατηγορίαι καὶ αἱ διαβολαὶ αὗταί σοι γεγόνασιν; — Ἢ οἱ πολλοί) Πράττουσι δηλ. Τὰ γὰρ Διαφορικὰ καὶ μετὰ τοῦ Ἢ ὁμοιοπτώτως· ὅθεν ἀποπληρούται. Ἀλλοῖον ἢ ἐκεῖνο ἐστίν, ὅπερ οἱ πολλοὶ πράττουσι.

2. Τό,τε ὄνομα) Τὴν φήμην δηλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μέν τοι ἴστε, πᾶσαν ὑμῖν τὴν ἀλήθειαν ἐρῶ. Ἐγὼ γάρ, ὦ ἄν- 3
δρες Ἀθηναῖοι, δι' οὐδὲν ἀλλ' ἢ διὰ σοφίαν τινὰ τοῦτο τὸ ὄ-
νομα ἔσχηκα. Ποίαν δὴ σοφίαν ταύτην; ἥπερ ἐστὶν ἴσως ἀν-
θρωπίνη σοφία· τῷ ὄντι γὰρ κινδυνεύω ταύτην εἶναι σοφός· οὗ-
τοι δὲ τάχ' ἄν, οὓς ἄρτι ἔλεγον, μείζω τινὰ ἢ κατ' ἄνθρωπον
σοφίαν σοφοὶ εἶεν, ἢ οὐκ ἔχω, ὅ,τι λέγω· οὐ γάρ δή ἔγωγε
αὐτὴν ἐπίσταμαι· ἀλλ' ὅστις φησί, ψεύδεταί τε καὶ ἐπὶ διαβο-
λῇ τῇ ἐμῇ λέγει. Καί μοι, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ θορυβή- 4
σητε μηδέν, ἂν δόξω τι ὑμῖν μέγα λέγειν. Οὐ γὰρ ἐμὸν ἐρῶ
τὸν λόγον, ὃν ἂν λέγω, ἀλλ' εἰς ἀξιόχρεων ὑμῖν τὸν λέγοντα
ἀνοίσω. Τῆς γὰρ ἐμῆς, εἰ δή τίς ἐστι σοφία, καὶ οἵα, μάρτυ-
ρα ὑμῖν παρέξομαι τὸν θεὸν τὸν ἐν Δελφοῖς. Χαιρεφῶντα γὰρ 5
ἴστε δήπου· οὗτος ἐμὸς ἑταῖρος ἦν ἐκ νέου, καὶ ὑμῶν τῷ πλή-
θει ἑταῖρός τε, καὶ ξυνέφυγε τὴν φυγὴν ταύτην, καὶ μεθ' ὑμῶν
κατῆλθε. Καὶ ἴστε δὴ οἷος ἦν ὁ Χαιρεφῶν, ὡς σφοδρὸς, ἐφ' ὅ,τι
ὁρμήσειε. Καὶ δή ποτε καὶ εἰς Δελφοὺς ἐλθὼν, ἐτόλμησε τοῦ- 6
το μαντεύσασθαι· καὶ ὅπερ λέγω, μὴ θορυβεῖτε, ὦ ἄνδρες· ἤ-
ρετο γὰρ δὴ εἴ τις ἐμοῦ εἴη σοφώτερος. Ἀνείλεν οὖν ἡ Πυθία,
μηδένα σοφώτερον εἶναι. Καὶ τούτων πέρι ὁ ἀδελφὸς ὑμῖν αὐτοῦ 7
οὑτοσὶ μαρτυρήσει, ἐπειδὴ ἐκεῖνος τετελεύτηκε.

σ'. Σκέψασθε δὴ ὧν ἕνεκα ταῦτα λέγω· μέλλω γὰρ ὑμᾶς
διδάξειν, ὅθεν μοι ἡ διαβολὴ γέγονε. Ταῦτα γὰρ ἐγὼ ἀκούσας, 2
ἐνεθυμούμην οὕτωσί. Τί ποτε λέγει ὁ θεός; καὶ τί ποτε αἰνίτ-

---

3. Ἥπερ ἐστὶν) Δι' ἐκείνην δηλ. τὴν σοφίαν, ἥτις ἐστὶν ἴσως· καὶ τλ. — Τούτων) Κατὰ ταύτην τὴν σοφίαν. — Οὓς ἄρτι ἔλεγ.) Γοργίας δηλ. ὁ Λεοντῖνος, Πρόδικος ὁ Κεῖος, Ἱππίας ὁ Ἠλεῖος, καὶ Εὔηνος ὁ Πάριος. — Οὐκ ἔχω ὅ,τι λέγ.) Ἢ ἀγνοῶ ὅ,τι ἂν ἄλλο εἴποιμι περὶ τῆς ἐκείνων σοφίας. — Ἐπίσταμαι) Ὅθεν Μάξιμ. Τύριος. Ιϊ'. »Καὶ τὰ μὲν ἄλλα, φησὶ πάντα ἀπο»ποιεῖται (Σωκράτης) εἰδέναι, καὶ τοὺς »περὶ ἀρετῆς λόγους, καὶ τὰς περὶ θεῶν »δόξας, καὶ τὰ ἄλλα ἅπαντα, ἐφ' οἷς »οἱ σοφισταὶ ἐκόμων.«

5. Καὶ μεθ' ὑμῶν κατῆλθε) Ὁπότε Θρασύβουλος δρμηθεὶς ἐκ Θηβῶν, ἠλευθέρωσε τὰς Ἀθήνας ἀπὸ τῶν τριάκοντα τυράννων, καὶ τὰ ἀρχαῖα κατέστησε. Σημείωσαι δὲ ὅτι Κατέρχομαι σημαίνει, ὡς Βαΐνος φησὶν, ὅταν εἰς τὴν πόλιν, ἀφ' ἧς ἐξῆλθον ἐπανέλθω· ὁ δὲ Σχολ. Ἀριστ. ἐν Βατρ. στιχ. 1196. Ἰδίως δέ, φησιν, ἐπὶ τῶν φυγάδων χρῶνται τῷ Κατέρχομαι. — Ὡς σφοδρ.) Ὀξύτατος δηλ. — Ἀνείλεν) Ἀναιρεῖ οὐ μόνον τὸ φονεύω, φησὶ Βαΐνος, ἀλλὰ καὶ τὸ μαντεύομαι. Καὶ ὁ Ἐτυμολ. Ἀνεῖλε, φησὶν, ἀντὶ τοῦ ἐμαντεύσατο· λέγεται δὲ καὶ ἐπὶ τοῦ ἐκ Δελφῶν χρηστηρίου. — Σοφώτερον εἶναι) Τοῦτο δὲ εἶναι λέγεται τὸ χρηστηριασθὲν περὶ Σωκράτους. Σχολ. Ἀριστοφ. ἐν Νεφέλ. στιχ. 144.

Σοφὸς Σοφοκλῆς, σοφώτερος δ' Εὐριπίδης.
Ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος.

— Οὑτοσὶ) Ἀδελφὸς δὲ Χαιρεφῶντος ἦν Χαιρεκράτης, ὡς φησὶ Ξενοφ. Ἀπομν. γ'.

σ'. 2. Ξύνοιδα ἐμ . . . ὤν) Σημείωσαι ὅτι τὸ Σύνοιδα ἐν ταὐτοπροσωπίᾳ τριχῶς λέγεται· οἷον Σύνοιδα ἐμαυτῷ ἀδικῶν· καὶ Σύνοιδα ἐμαυτῷ ἀδικίαν· καὶ Σύνοιδα ἐμαυτῷ ἀδικοῦντι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τεται; ἐγὼ γὰρ δὴ οὔτε μέγα οὔτε σμικρὸν ξυνοιδα ἐμαυτῷ σο-
φὸς ὤν. Τί οὖν ποτε λέγει φάσκων ἐμὲ σοφώτατον εἶναι; οὐ
3 γὰρ δήπου ψεύδεταί γε· οὐ γὰρ θέμις αὐτῷ. Καὶ πολὺν μὲν
χρόνον ἠπόρουν, τί ποτε λέγει· ἔπειτα μόλις πάνυ ἐπὶ ζήτησιν
4 αὐτοῦ τοιαύτην τινὰ ἐτραπόμην. Ἦλθον ἐπί τινα τῶν δοκούν-
των σοφῶν εἶναι, ὡς ἐνταῦθα, εἴπερ που, ἐλέγξων τὸ μαντεῖον,
καὶ ἀποφανῶν τῷ χρησμῷ, ὅτι οὗτός γέ μου σοφώτερος· σὺ
5 δ' ἐμὲ ἔφησθα. Διασκοπῶν οὖν τοῦτον, (ὀνόματι γὰρ οὐδὲν δέο-
μαι λέγειν· ἦν δέ τις τῶν πολιτικῶν, πρὸς ὃν ἐγὼ σκοπῶν τοιου-
τονί τι ἔπαθον, ὦ ἄνδρες Ἀθηναῖοι) καὶ διαλεγόμενος αὐτῷ,
ἔδοξέ μοι οὗτος ὁ ἀνὴρ δοκεῖν μὲν εἶναι σοφὸς ἄλλοις τε πολ-
6 λοῖς ἀνθρώποις, καὶ μάλιστα ἑαυτῷ, εἶναι δ' οὔ. Κἄπειτα ἐ-
πειρώμην αὐτῷ δεικνύναι, ὅτι οἴοιτο μὲν εἶναι σοφός, εἴη δ' οὔ.
Ἐντεῦθεν οὖν τούτῳ τε ἀπηχθόμην, καὶ πολλοῖς τῶν παρόντων.
7 Πρὸς ἐμαυτὸν δ' οὖν ἀπιὼν ἐλογιζόμην, ὅτι τούτου μὲν τοῦ ἀν-
θρώπου ἐγὼ σοφώτερός εἰμι· κινδυνεύει μὲν γὰρ ἡμῶν οὐδέτερος
οὐδὲν καλὸν οὐδ' ἀγαθὸν εἰδέναι· ἀλλ' οὗτος μὲν οἴεται τι εἰδέ-
ναι, οὐκ εἰδώς· ἐγὼ δέ, ὥσπερ οὖν οὐκ οἶδα, οὐδὲ οἴομαι. Ἔοικα
γοῦν τούτου γε σμικρῷ τινι αὐτῷ τούτῳ σοφώτερος εἶναι, ὅτι
8 ἃ μὴ οἶδα, οὐδὲ οἴομαι εἰδέναι. Ἐντεῦθεν ἐπ' ἄλλον ἤϊα τῶν
ἐκείνου δοκούντων σοφωτέρων εἶναι· καί μοι ταὐτὰ ταῦτα ἔδο-
ξε· καὶ ἐνταῦθα κἀκείνῳ καὶ ἄλλοις πολλοῖς ἀπηχθόμην.

ζ'. Μετὰ ταῦτα οὖν ἤδη ἐφεξῆς ἤϊα, αἰσθανόμενος μὲν καὶ
λυπούμενος, καὶ δεδιώς, ὅτι ἀπηχθανόμην· ὅμως δὲ ἀναγκαῖον
ἐδόκει εἶναι, τὸ τοῦ θεοῦ περὶ πλείστου ποιεῖσθαι, καὶ ἰέναι, σκο-
ποῦντι τὸν χρησμὸν τί λέγει, ἐπὶ ἅπαντας τούς τι δοκοῦντας εἰ-
2 δέναι. Καὶ νὴ τὸν Κύνα, ὦ ἄνδρες Ἀθηναῖοι, (δεῖ γὰρ πρὸς

---

3. Ἐπὶ ζήτησιν αὐτοῦ) Τοῦ Χρησμοῦ δηλ.

4. Τῶν δοκούντων σοφῶν εἶναι) Τὸ Σοφῶν τῷ ἐκ πρώτου συνεφώνησεν· οὕτω γὰρ συμβαίνει γίγνεσθαι τὴν σύνταξιν, ὑπαρκτικοῦ ὄντος τοῦ ἀπαρεμφάτου. — Ὡς ἐνταῦθα, εἴπερ που) Ὡς μᾶλλον ἐνταῦθα ἢ ἀλλοδί που ἐλέγξων· καὶ τλ. — Σὺ δ' ἐμὲ ἔφησθα) Πρὸς τὸν χρησμὸν ἀποτείνει τὸν λόγον.

5, Τοιουτονί τι) Ἐπέκτασις ἐστὶ τὸ ι ἔθεν Ἀττικῷ, ἀντὶ τοιοῦτό τι· τὸ δὲ ν διὰ τὴν ἐπιφορὰν τοῦ ι. — Δοκεῖν μὲν . . . εἶναι δ' οὔ) Ἔδοξέ μοι ὅτι ἐδόκει μὲν εἶναι σοφός, οὐκ ἦν δέ.

7. Τούτου μὲν) Ὁ Μὲν πρὸς ἀκολουθήσαντα Δὲ εἴρηται, ὅστε δέοι βαθαωτικός. — Αὐτῷ τούτῳ) Τῷ μὴ οἴεσθαι εἰδέναι μὴ εἰδότα.

— ζ'. Τὸ τοῦ θεοῦ) Τὸ θεῖον δηλ. ἢ τὸν Θεόν. — Περὶ πλείστου ποιεῖσθαι) Φράσις ἀντὶ τοῦ Προτιμᾶσθαι. — Καὶ ἰέναι) Ἐπὶ ἅπαντας καὶ τλ.

2. Νὴ τὸν Κύνα) Τὸν Αἰγύπτιον Θεόν, ὡς ἐν Γοργίᾳ Πλάτων λέγει. Ἄνουδις δὲ, παρ' Αἰγυπτίοις ἐκαλεῖτο ὁ θεὸς οὗτος· ὁ δὲ Σχολ. Αἰγυπτάνος λέγει. «Ῥαδαμάνθυος δρυὸς οὗτος· ὁ »κατὰ χηνὸς, ἢ κυνὸς, ἢ πλατάνου, ἢ »κριοῦ, ἢ τινος ἄλλου τοιούτου. Οἷς ὃν »μέγιστος δοκῇ ἅπαντι λόγῳ Κῶων. »Ἔπεστα χὠν θεοὺς δὲ σιγῶν. Κεφτίνες »δὲν Χείρουν τοιουτοι δὲ καὶ οἱ Σωμρα »τους ὄρκοι.» Ἀ δὴ καὶ παρὰ Σουΐδᾳ ἐν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὑμᾶς τἀληθῆ λέγειν,) ἤ μήν ἐγώ ἔπαθόν τι τοιοῦτον. Οἱ μὲν μάλιστα εὐδοκιμοῦντες ἔδοξάν μοι ὀλίγου δεῖν τοῦ πλείστου ἐνδεεῖς εἶναι, ζητοῦντι κατὰ τὸν θεόν· ἄλλοι δέ, δοκοῦντες φαυλότεροι, ἐπιεικέστεροι εἶναι ἄνδρες πρὸς τὸ φρονίμως ἔχειν. Δεῖ 3
δὴ ὑμῖν τὴν ἐμήν πλάνην ἐπιδεῖξαι, ὥσπερ πόνους τινὰς πονοῦτος, ἵνα μοι καὶ ἀνέλεγκτος ἡ μαντεία γένοιτο. Μετὰ γὰρ τοὺς πολιτικοὺς ἦια ἐπὶ τοὺς ποιητάς, τούς τε τῶν τραγῳδιῶν, καὶ τοὺς τῶν διθυράμβων, καὶ τοὺς ἄλλους, ὡς ἐνταῦθα ἐπ' αὐτοφώρῳ καταληψόμενος ἐμαυτὸν ἀμαθέστερον ἐκείνων ὄντα. Ἀναλαμβάνων οὖν αὐτῶν τὰ ποιήματα, ἅ μοι ἐδόκει μάλιστα 4
πεπραγματεῦσθαι αὐτοῖς, διηρώτων ἂν αὐτοὺς τί λέγοιεν, ἵν' ἅμα τι καὶ μανθάνοιμι παρ' αὐτῶν. Αἰχύνομαι οὖν ὑμῖν εἰπεῖν, ὦ ἄν- 5
δρες, τἀληθῆ· ὅμως δὲ ῥητέον. Ὡς ἔπος γὰρ εἰπεῖν, ὀλίγου αὐτῶν ἅπαντες οἱ παρόντες ἂν βέλτιον ἔλεγον περὶ ὧν αὐτοὶ ἐπεποιήκεσαν. Ἔγνων οὖν αὖ καὶ περὶ τῶν ποιητῶν ἐν ὀλίγῳ τοῦ- 6
το, ὅτι οὐ σοφίᾳ ποιοῖεν, ἃ ποιοῖεν, ἀλλὰ φύσει τινὶ, καὶ ἐνθουσιάζοντες, ὥσπερ οἱ θεομάντεις καὶ οἱ χρησμῳδοί· καὶ γὰρ οὗτοι λέγουσι μὲν πολλὰ καὶ καλὰ, ἴσασι δὲ οὐδὲν, ὧν λέγουσι· τοιοῦτον τί μοι ἐφάνησαν πάθος καὶ οἱ ποιηταὶ πεπονθότες· καὶ ἅμα ᾠήθην αὐτῶν διὰ τὴν ποίησιν οἰομένων καὶ τἄλλα σοφωτάτων εἶναι ἀνθρώπων, ἃ οὐκ ἦσαν. Ἀπῄια οὖν καὶ ἐντεῦ- 7
θεν, τῷ αὐτῷ οἰόμενος περιγεγονέναι, ὥσπερ καὶ τῶν πολιτικῶν.

τῷ Ῥαδαμάνθυος ὅρκος, εὑρίσκεται. — Ἦ μήν) Ὅρκος· ἀεὶ γὰρ ἐπὶ ὅρκου λαμβάνεται. — Ὀλίγου δεῖν) Ὀλίγου δέον. Ἀπολύτως κατὰ τὰς τῶν ἀπροσώπων μετοχάς. Τὸ δὲ Δεῖν ἀντὶ Δέον. — Κατὰ τὸν θ.) Κατὰ τὸν χρησμόν, ὃν ἔδωκε περὶ ἐμοῦ ὁ θεός. — Δοκοῦντες φαυλ.) Εἶναι, ὑποδεέστεροι καὶ ὀλίγου ἄξιοι. — Πρὸς τὸ φρονίμως ἔχ.) Πρὸς τὸ διακεῖσθαι φρονίμως· τὸ γὰρ Ἔχω μετὰ ἐπιῤῥήματος ἀντὶ τοῦ Διάκειμαι.

3. Πονοῦντος) Τὴν ἐμὴν πλάνην πονοῦντος. Κτητικῆς γὰρ ἀντωνυμίας ἡγουμένης, ἐὰν δὴ καὶ ἑτέραν πτῶσιν ἐπενεχθῆναι ταὐτοπροσωπούσαν, κατὰ γενικὴν ἐπάγεται· ὅθεν καὶ Ἀριστοφ. ἐν Πλούτ. στίχ. 34. φησί.

Τὸν ἐμὸν αὐτοῦ τοῦ ταλαπάρου βίον.

— Τῶν τε τραγ.) Τραγῳδία μὲν λέγεται πρᾶξις ἐν θεάτρῳ περαινομένη, ἔλεον καὶ φόβον ποιοῦσα τοῖς ἀκούουσι. Διθύραμβος δὲ, μέλος εἰς Διόνυσον ᾀδόμενον, καὶ τὴν ἐκείνου γέννεσιν διηγούμενον, πολὺ ἔχον τὸ ἐνθουσιῶδες. — Ἐπ' αὐτοφώρ.) Ἐπὶ αὐτῷ τῷ ἔργῳ φωραθεὶς· ἤγουν· ἵνα καταλαβὼν ἐμαυτὸν ἐπ' αὐτῷ τῷ πράγματι φωραθέντα, ὅτι εἰμὶ ἐκείνων ἀμαθέστερος.

4. Τί λέγοιεν) Ἀπὸ παρωχημένου πρὸς εὐκτικὸν τὸ Τί· διὰ τὰ αὐτὰ δὲ καὶ ὁ Ἵνα πρὸς εὐκτικόν.

5. Ὀλίγου . . . ἔλεγον) Ἐννοεῖται τὸ Δεῖν. Ὀλίγου Δεῖν . . . ἔλεγον· οὗτοι ὀλίγου δεῖν πάντες οἱ παρόντες βελτίω ἔλεγον, ἢ αὐτοὶ οἱ ποιηταὶ περὶ τῶν ποιηθέντων. Τὸ δὲ ἐπεποιήκεσαν, ἀντὶ τοῦ ἐπεποιήκεισαν, Ἀττικόν.

6. Ἃ ποιοῖεν) Κατ' ἔλλειψιν τοῦ δυνητικοῦ Ἄν. — Οἱ θεομάν.) Αἰσχύν. Σωκρατ. Α'. γ'. φησίν. Ὥσπερ οἱ θεῖοι »τῶν μάντεων καὶ χρησμολόγοι· οὗτοι »γὰρ, οὔτε φύσει τοιοῦτοι γίγνονται, »οὔτε τέχνῃ, ἀλλ' ἐπιπνοίᾳ ἐκ τῶν θεῶν »γιγνόμενοι τοιοῦτοι εἰσίν.

— Ἃ οὐκ ἦσαν) Καθ' ἃ οὐκ ἦσαν σοφώτατοι.

7. Τῷ αὐτῷ) Ὁμοίως οἰόμενος περιγεγονέναι αὐτῶν, καθάπερ καὶ τῶν πολ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἡ. Τελευτῶν οὖν ἐπὶ τοὺς χειροτέχνας ἤια. Ἐμαυτῷ γὰρ ξυνήδειν οὐδὲν ἐπισταμένῳ, ὡς ἔπος εἰπεῖν· τούτους δὲ γ' ἤ-
2 δειν, ὅτι εὑρήσοιμι πολλὰ καὶ καλὰ ἐπεσταμένους. Καὶ τούτου μὲν οὐκ ἐψεύσθην, ἀλλ' ἠπίσταντο, ἃ ἐγὼ οὐκ ἠπιστάμην, καὶ μου ταύτῃ σοφώτεροι ἦσαν. Ἀλλ', ὦ ἄνδρες Ἀθηναῖοι, ταὐτόν μοι ἔδοξαν ἔχειν ἁμάρτημα, ὅπερ καὶ οἱ ποιηταὶ καὶ οἱ ἀγαθοὶ δημιουργοί, διὰ τὸ τὴν τέχνην καλῶς ἐξεργάζεσθαι,
3 ἕκαστος ἠξίου καὶ τἄλλα τὰ μέγιστα σοφώτατος εἶναι· καὶ αὐτῶν αὐτὴ ἡ πλημμέλεια ἐκείνην τὴν σοφίαν ἀπέκρυπτεν· ὥστε με καὶ αὐτὸν ἀνερωτᾶν ὑπὲρ τοῦ χρησμοῦ, πότερα δεξαίμην ἂν οὕτως, ὥσπερ ἔχω ἔχειν, μήτε τι σοφὸς ὢν τὴν ἐκείνων σοφίαν, μήτε ἀμαθὴς τὴν ἀμαθίαν, ἢ ἀμφότερα ἃ ἐκεῖνοι ἔχουσιν ἔχειν. Ἀπεκρινάμην οὖν ἐμαυτῷ καὶ τῷ χρησμῷ, ὅτι μοι λυσιτελεῖ, ὥσπερ ἔχω ἔχειν.

θ'. Ἐκ ταύτης ἤδη τῆς ἐξετάσεως, ὦ ἄνδρες Ἀθηναῖοι, πολλαὶ μὲν ἀπέχθειαί μοι γεγόνασι, καὶ οἷαι χαλεπώταται καὶ βαρύταται· ὥστε πολλὰς διαβολὰς ἀπ' αὐτῶν γεγονέναι· ὄνομα
2 δὲ τοῦτο λέγεσθαι σοφὸς εἶναι. Οἴονται γάρ με ἑκάστοτε οἱ παρόντες, ταῦτα αὐτὸν εἶναι σοφόν, ἃ ἂν ἄλλον ἐξελέγχω· τὸ δὲ κινδυνεύει, ὦ ἄνδρες Ἀθηναῖοι, τῷ ὄντι ὁ θεὸς σοφὸς εἶναι, καὶ ἐν τῷ χρησμῷ τοῦτο λέγει, ὅτι ἡ ἀνθρωπίνη σοφία
3 ὀλίγου τινὸς ἀξία ἐστὶ καὶ οὐδενός. Καὶ φαίνεται τοῦτ' οὐ λέγειν τὸν Σωκράτην, προσκεχρῆσθαι δὲ τῷ ἐμῷ ὀνόματι, ἐμὲ παράδειγμα ποιούμενος, ὥσπερ ἂν εἴποι, ὅτι οὗτος ὑμῶν, ὦ ἄνθρωποι, σοφώτατος ἐστίν, ὅστις, ὥσπερ Σωκράτης, ἔγνωκεν, ὅτι
4 οὐδενὸς ἄξιός ἐστι τῇ ἀληθείᾳ πρὸς σοφίαν. Ταῦτ' οὖν ἐγὼ μὲν ἔτι καὶ νῦν περιιὼν ἐπίζητῶ καὶ ἐρευνῶ, κατὰ τὸν θεόν, καὶ
5 τῶν ἀστῶν καὶ τῶν ξένων ἄν τινα οἴωμαι σοφὸν εἶναι. Καὶ ἐπειδάν μοι μὴ δοκῇ, τῷ θεῷ βοηθῶν ἐνδείκνυμαι, ὅτι οὐκ ἔστι

ἡ. 2. Καὶ τούτου μὲν) Ἡ γενικὴ κατ' ἔλλειψιν λέγεται προθέτεως τῆς Ἀπό ἢ Ἐκ. — Ἀλλ' ἠπίσταν.) Ὁ ἄλλα κατὰ θεῖον, προκηρθέντος τοῦ Οὐ. Ἔοικε δέ τοι Αἰτιολογικός. — Ταύτῃ) Κατὰ τοῦτο· ἐν ταύτῃ τῇ ἐπιστήμῃ.

3. Μὲ καὶ αὐτὸν) Ἐμὲ αὐτὸν ἀνηρώτων. Ὥστε καὶ αὐτὸν ἀνερωτᾶν ἐμὲ· καὶ ἔστιν ἡ Ποιοτότυπος ἀντὶ τῆς Ἐμαυτὸν συνθέτου. — Τὴν ἐκείνων σοφ.) Κατὰ τὴν ἐκείνων σοφ. τὸ δὲ Τί καὶ αὐτὸ κατ' ἔλλειψιν τῆς Κατὰ οἷον· μήτε κατά τι ὢν σοφός, καθ' ἣν ἐκεῖνοι ἔχουσι σοφίαν.

θ'. Ὄνομα δὲ τοῦτο) Καὶ ὄνομα ταὐτό μοι γέγονε τὸ λέγεσθαι δηλ. σοφὸς εἶναι.

2. Ταῦτα) Κατὰ ταῦτα, καθ' ἃ. — Τὸ δὲ) Τὸ δὲ ἀληθὲς ἐστίν, ὁ θεὸς κινδυνεύει τῷ ὄντι σοφὸς εἶναι. — Καὶ οὐδενός) Καὶ εἰ' οὕτως εἴπω, οὐδενός ἐστιν ἀξία.

3. Τούτου) Χάριν δηλ. ἡ ἕνεκα.

4. Καὶ τῶν ἀστῶν) Οἷον ἐρευνῶ κατὰ τὸν παρὰ τοῦ θεοῦ χρησμόν, ἀντὶ τῶν ἀστῶν ἢ ξένων οἴωμαι σοφὸν εἶναι.

5. Καὶ ἐπειδάν) Ὁπόταν μοι δοκεῖ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σοφός. Καὶ ὑπὸ ταύτης τῆς ἀσχολίας, οὔτε τι τῶν τῆς πόλεως 6
πράξαί μοι σχολὴ γέγονεν ἄξιον λόγου, οὔτε τῶν οἰκείων· ἀλλ'
ἐν πενίᾳ μυρίᾳ εἰμὶ διὰ τὴν τοῦ θεοῦ λατρείαν.

ι. Πρὸς δὲ τούτοις, οἱ νέοι μοι ἐπακολουθοῦντες, οἷς μάλι-
στα σχολὴ ἐστιν, οἱ τῶν πλουσιωτάτων, αὐτόματοι, χαίρουσιν
ἀκούοντες ἐξελεγχομένων τῶν ἀνθρώπων· καὶ αὐτοὶ πολλάκις
ἐμὲ μιμοῦνται, εἶτα ἐπιχειροῦσιν ἄλλους ἐξετάζειν· κἄπειτα,
οἶμαι, εὑρίσκουσι πολλὴν ἀφθονίαν οἰομένων μὲν εἰδέναι τι τῶν
ἀνθρώπων, εἰδότων δὲ ἢ ὀλίγα ἢ οὐδέν. Ἐντεῦθεν οὖν οἱ ὑπ' 2
αὐτῶν ἐξεταζόμενοι ἐμοὶ ὀργίζονται, οὐκ αὐτοῖς· καὶ λέγουσιν,
ὡς Σωκράτης τίς ἐστι μιαρώτατος, καὶ διαφθείρει τοὺς νέους.
Καὶ ἐπειδάν τις αὐτοὺς ἐρωτᾷ, ὅ,τι ποιῶν, καὶ ὅ,τι διδάσκων, 3
ἔχουσι μὲν οὐδὲν εἰπεῖν, ἀλλ' ἀγνοοῦσιν· ἵνα δὲ μὴ δοκῶσιν
ἀπορεῖν, τὰ κατὰ πάντων τῶν φιλοσοφούντων πρόχειρα ταῦτα
λέγουσιν, ὅτι τὰ μετέωρα καὶ τὰ ὑπὸ γῆς ζητεῖ, καὶ θεοὺς
μὴ νομίζει, καὶ τὸν ἥττω λόγον κρείττω ποιεῖ. Τὰ γὰρ ἀλη- 4
θῆ, οἶμαι, οὐκ ἂν ἐθέλοιεν λέγειν, ὅτι κατάδηλοι γίγνονται
προσποιούμενοι μὲν εἰδέναι, εἰδότες δὲ οὐδέν. Ἃ τε οὖν, οἶμαι, 5
φιλότιμοι ὄντες καὶ σφοδροί, καὶ πολλοί, καὶ ξυντεταγμένως
καὶ πιθανῶς λέγοντες περὶ ἐμοῦ, ἐμπεπλήκασιν ὑμῶν τὰ ὦτα,
καὶ πάλαι καὶ νῦν σφοδρῶς διαβάλλοντες. Ἐκ τούτων καὶ Μέ- 6
λιτός μοι ἐπέθετο καὶ Ἄνυτος καὶ Λύκων· Μέλιτος μὲν, ὑπὲρ
τῶν ποιητῶν ἀχθόμενος· Ἄνυτος δὲ, ὑπὲρ τῶν δημιουργῶν καὶ
τῶν πολιτικῶν· Λύκων δὲ, ὑπὲρ τῶν ῥητόρων. Ὥστε, ὅπερ 7
ἐγὼ ἀρχόμενος ἔλεγον, θαυμάζοιμ' ἂν, εἰ οἷός τ' εἴην ἐγὼ ὑμῶν
ταύτην τὴν διαβολὴν ἐξελέσθαι ἐν οὕτως ὀλίγῳ χρόνῳ, οὕτω
πολλὴν γεγενῆσθαι. Ταῦτά ἐστιν ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τἀ- 8
λαθῆ· καὶ ὑμᾶς οὔτε μέγα οὔτε σμικρὸν ἀποκρυψάμενος ἐγὼ λέγω,
οὐδὲ ὑποστειλάμενος· καὶ τοι οἶδα σχεδὸν, ὅτι τοῖς αὐτοῖς ἀπε- 9
χθάνομαι· ὃ καὶ τεκμήριον, ὅτι ἀληθῆ λέγω, καὶ ὅτι αὕτη ἐ-
στὶν ἡ διαβολὴ ἡ ὑμῖν, καὶ τὰ αἴτια ταῦτά ἐστι· καὶ ἐάν τε νῦν, ἐάν

ὅτι οὐκ ἔστι σοφὸς, τότε δείκνυμι ὅτι βοηθῶ τῷ θεῷ, τὸν χρησμὸν ἀληθεύοντα δεικνύων.

ι. Τῶν ἀνθρώπων) Εὑρίσκουσι ἀλλ πολλὴν ἀφθονίαν τῶν ἀνθρώπων οἰομένων εἰδέναι τί· ἢ γοῦν τὸ Τῶν ἀνθρώπων ἔστιν ἀντὶ τῶν ἀνθρωπίνων· ὃ' ἢ τί τῶν πραγμάτων τῶν ἀνθρώπων.

3. Ὅ,τι ποιῶν) Διαφθείρει τοὺς νέους. — Ἀλλ' ἀγνοοῦσιν) Ὁ ἀλλὰ ἀντὶ τοῦ Γαρ. ἤτοι ἐγνοοῦσι γάρ. Ἐλήφθη δὲ ὁ Ἀλλὰ διὰ τὸν προειρηθέντα Μέν. ὃ' ἢ. Πάντως οὐδὲν ἔχουσιν εἰπεῖν· ἐπειδὴ ἀγνοοῦσιν ὅτι ἂν εἴπωσι.

6. Ὑπὲρ τῶν Ποιητῶν) Ποιητὴς γὰρ τραγικὸς ὁ Μέλιτος, ἢ φησὶ Σουίδας· ὥσπερ καὶ Ἄνυτος δημιουργός· ὡς Ξενοφ. Ἀπολ. 29 καὶ ὁ Λύκων δημαγωγός· ὡς Ἀριστ. Β'. λῆ. δημαγωγοὶ δὲ οἱ ῥήτορες.

9. Τοῖς αὐτοῖς) Ἐπὶ τοῖς αὐτοῖς, παρ' ὑμῶν, ἀπεχθ. ἤτοι ἐπὶ τοῖς αὐτοῖς φαίνομαι ὑμῖν ἐπαχθὴς καὶ φορτικός.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

10 τε αὖθις ζητήσητε ταῦτα, οὕτως εὑρήσετε. Περὶ μὲν οὖν ὧν οἱ πρῶτοι μου κατήγοροι κατηγόρουν, αὕτη ἔστω ἱκανὴ ἡ ἀπολογία πρὸς ὑμᾶς.

ιά. Πρὸς δὲ Μέλιτον, τὸν ἀγαθὸν καὶ φιλόπολιν, ὥς φησι, καὶ τοὺς ὑστέρους, μετὰ ταῦτα πειράσομαι ἀπολογήσασθαι.
2 Αὖθις γὰρ δή, ὥσπερ τούτων ἑτέρων ὄντων κατηγόρων, λάβωμεν αὖ τὴν τούτων ἀντωμοσίαν. Ἔχει δὲ ὧδέ πως· Σωκράτη φησὶν ἀδικεῖν, τούς τε νέους διαφθείροντα, καὶ θεοὺς, οὓς
3 ἡ πόλις νομίζει, οὐ νομίζοντα, ἕτερα δὲ δαιμόνια καινά. Τὸ μὲν δὴ ἔγκλημα τοιοῦτόν ἐστι· τούτου δὲ τοῦ ἐγκλήματος ἓν ἕκαστον ἐξετάσωμεν. Φησὶ γὰρ δὴ τοὺς νέους ἀδικεῖν με διαφθείροντα.
4 Ἐγὼ δὲ, ὦ ἄνδρες Ἀθηναῖοι, ἀδικεῖν φημὶ Μέλιτον, ὅτι σπουδῇ χαριεντίζεται, ῥᾳδίως εἰς ἀγῶνας καθιστὰς ἀνθρώπους, περὶ πραγμάτων προσποιούμενος σπουδάζειν καὶ κήδεσθαι, ὧν οὐδὲν πώποτε τούτῳ ἐμέλησεν. Ὡς δὲ τοῦτο οὕτως ἔχει, πειράσομαι καὶ ὑμῖν ἐπιδεῖξαι.

ιβ'. Καί μοι δεῦρο, ὦ Μέλιτε, εἰπὲ, Ἄλλο τί ἢ περὶ πλεί-
2 στου ποιῇ, ὅπως ὡς βέλτιστοι οἱ νεώτεροι ἔσονται; Ἔγωγε. Ἴθι δὴ νῦν εἰπὲ τούτοις, τίς αὐτοὺς βελτίους ποιεῖ; δῆλον γὰρ ὅτι οἶσθα, μέλον γέ σοι. Τὸν μὲν γὰρ διαφθείροντα ἐξευρών, ὡς φῄς, ἐμὲ εἰσάγεις τουτοισί, καὶ κατηγορεῖς· τὸν δὲ δὴ βελτίους ποιοῦν-
3 τα, ἴθι, εἰπὲ, καὶ μήνυσον αὐτοῖς τίς ἐστιν. — Ὁρᾷς, ὦ Μέλιτε, ὅτι σιγᾷς, καὶ οὐκ ἔχεις εἰπεῖν; καί τοι οὐκ αἰσχρόν σοι δοκεῖ εἶναι, καὶ ἱκανὸν τεκμήριον οὗ δὴ ἐγὼ λέγω, ὅτι σοι οὐδὲν μεμέληκεν; Ἀλλ' εἰπὲ, ὦ ἀγαθὲ, τίς αὐτοὺς ἀμείνους ποιεῖ;
4 Οἱ νόμοι. Ἀλλ' οὐ τοῦτο ἐρωτῶ, ὦ βέλτιστε, ἀλλὰ τίς ἄνθρωπος, ὅστις πρῶτον καὶ αὐτὸ τοῦτο οἶδε, τοὺς νόμους; Οὗτοι,
5 ὦ Σώκρατες, οἱ δικασταί. Πῶς λέγεις, ὦ Μέλιτε; οἱ δὲ τοὺς νέους παιδεύειν οἷοί τέ εἰσι καὶ βελτίους ποιεῖν; Μάλιστα. Πότερον ἄ-

---

ιά. 2. Ἀντωμοσ.) Λαέρτιος Β'. μ'. περὶ τῆς Ἀντωμοσίας ταύτης τάδε φησίν. »Ἡ δ' ἀντωμοσία τῆς δίκης τοῦ»τον εἶχε τὸν τρόπον· ἀνάκειται γὰρ »ἔτι καὶ νῦν, φησὶ Φαβωρῖνος, ἐν τῷ »Μητρῴῳ. Τάδε ἐγράφατο καὶ ἀνθω»μολογήσατο Μέλιτος Μελίτου Μιτθεὺς »Σωκράτει Σωφρονίσκου Ἀλωπεκῆθεν. »Ἀδικεῖ Σωκράτης, οὓς μὲν ἡ πόλις νο»μίζει θεοὺς, οὐ νομίζων· ἕτερα δὲ καιν»ὰ δαιμόνια εἰσηγούμενος· ἀδικεῖ δὲ »τοὺς νέους διαφθείρων. Τίμημα θά»νατος.«

ιβ'. Ἄλλο τι ἢ περὶ) Ἄλλο τι περὶ πλείστου ποιῇ, ἢ τοῦτο, ὅπως καὶ τλ. τὸ δὲ Περὶ πλείστου ποιοῦμαι κατὰ περίφρασιν ἀντὶ τοῦ προτιμῶ, ἢ προκρίνω.

2. Τούτοις) Τοῖς δικασταῖς· τὸ δὲ Ἴθι παρακελευσματικόν ἐστιν ἐπίῤῥημα. — Τουτοισί) Ἐν τουτοισί· ἢ παρὰ τουτοισί.

3. Τεκμήριον) Τούτου, ὃ δὴ ἐγὼ λέγω· τὸ δὲ Οὗ, ἀττικῶς ἀντὶ τοῦ Ὃ τὸ γὰρ ἀναφορικὸν Ὅς τὴν πτῶσιν τοῦ ἡγουμένου μιμεῖται, ὅταν αἰτιατικῇ τὸ ῥῆμα, πρὸς ὃ φέρεται, συντάττηται.

4. Τίς ἄνθρωπος) Ποιεῖ αὐτοὺς ἀμείνους.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

παντες; ἢ οἱ μὲν αὐτῶν, οἱ δ' οὔ; Ἅπαντες. Εὖγε, νὴ τὴν Ἥραν, λέγεις, καὶ πολλὴν ἀφθονίαν τῶν ὠφελούντων. Τί δὲ δή; οἶδε οἱ ἀκροαταὶ βελτίους ποιοῦσιν, ἢ οὔ; Καὶ οὗτοι. Τί δὲ οἱ 6
βουλευταί; Καὶ οἱ βουλευταί. Ἀλλ' ἄρα, ὦ Μέλιτε, μὴ οἱ ἐν τῇ ἐκκλησίᾳ ἐκκλησιασταὶ διαφθείρουσι τοὺς νεωτέρους; ἢ κἀκεῖνοι βελτίους ποιοῦσιν ἅπαντες; Καὶ ἐκεῖνοι. Πάντες ἄρα, ὡς 7
ἔοικεν, Ἀθηναῖοι καλοὺς κἀγαθοὺς ποιοῦσι, πλὴν ἐμοῦ· ἐγὼ δὲ μόνος διαφθείρω. Οὕτω λέγεις; Πάνυ σφόδρα ταῦτα λέγω. Πολ- 8
λὴν γέ μου κατέγνωκας δυστυχίαν καὶ μοι ἀπόκρινναι· ἢ καὶ περὶ ἵππους οὕτω σοι δοκεῖ ἔχειν; οἱ μὲν βελτίους ποιοῦντες αὐτοὺς ἅπαντες ἄνθρωποι εἶναι, εἷς δέ τις ὁ διαφθείρων; ἢ τοὐναντίον τούτου πᾶν, εἷς μέν τις ὁ βελτίους γε οἷος τε ὢν ποιεῖν, ἢ πάνυ ὀλίγοι, οἱ ἱππικοί· οἱ δὲ πολλοί, ἐάν περ ξυνῶσι καὶ χρῶνται ἵπποις, διαφθείρουσιν; Οὐχ οὕτως ἔχει, ὦ Μέλιτε, καὶ περὶ 9
ἵππων καὶ τῶν ἄλλων ἁπάντων ζώων; Πάντως δήπου, ἐάν τε σὺ καὶ Ἄνυτος μὴ φῆτε, ἐάν τε φῆτε. Πολλὴ γὰρ ἂν τις εὐδαιμονία εἴη περὶ τοὺς νέους, εἰ εἷς μὲν μόνος αὐτοὺς διαφθείρει, οἱ δὲ ἄλλοι ὠφελοῦσιν. Ἀλλὰ γάρ, ὦ Μέλιτε, ἱκανῶς ἐ- 10
πιδείκνυσαι, ὅτι οὐδεπώποτε ἐφρόντισας τῶν νέων· καὶ σαφῶς ἀποφαίνεις τὴν σαυτοῦ ἀμέλειαν, ὅτι οὐδέν σοι μεμέληκε περὶ ὧν ἐμὲ εἰσάγεις.

ιγ'. Ἔτι δὲ ἡμῖν εἰπὲ ὦ πρὸς Διός Μέλιτε, πότερόν ἐστιν οἰκεῖν ἄμεινον ἐν πολίταις χρηστοῖς, ἢ πονηροῖς; — Ὦ τὰν ἀπόκριναι· οὐδὲν γάρ τοι χαλεπὸν ἐρωτῶ. Οὐχ οἱ μὲν πονηροὶ ἀεὶ κακόν τι ἐργάζονται τοὺς ἀεὶ ἐγγυτάτω ἑαυτῶν ὄντας, οἱ δ' ἀγαθοὶ ἀγαθόν τί; Πάνυ γε. Ἔστιν οὖν, ὅστις βούλεται 2
ὑπὸ τῶν ξυνόντων βλάπτεσθαι μᾶλλον ἢ ὠφελεῖσθαι; — Ἀπόκριναι ὦ γαθέ· καὶ γὰρ ὁ νόμος κελεύει ἀποκρίνεσθαι. Ἐσθ' ὅστις βούλεται βλάπτεσθαι; Οὐ δῆτα. Φέρε δὴ πότερον ἐμὲ εἰ- 3
σάγεις δεῦρο ὡς διαφθείροντα τοὺς νέους, καὶ τούτους πονη-

5. Η οἱ μὲν αὐτῶν, οἱ δ' οὔ) Οἷοι τέ εἰσι παιδεύειν τοὺς νέους. — Νὴ τὴν Ἥραν) Συνήθης ὁ ὅρκος οὗτος Σωκράτους· ὡς ἐστιν εὑρεῖν παρὰ Ξενοφ. Ἀπομν. Α'. ε. 5. Οἰκον. ι'. 1. — Καὶ πολλὴν ἀφθον.) Λέγεις.

8. Ἅπαντες ἄνθρ.) Δοκοῦσι σοι δηλ. ὅτι οἱ μὲν καὶ τλ. — Ἢ τοὐναντίον τούτου πᾶν) Ἢ πᾶν τοὐναντίον τούτου δοκεῖ σοι· ὅτι εἷς μέν ἐστιν ὁ οἷός τε ὢν ποιεῖν βελτίους· ἢ ὅτι εἰσὶ παν- καὶ τλ.

10. Εἰσάγεις) Εἰς δικαστήριον δηλ. ιγ'. Ὦ πρὸς Διὸς Μέλ.) Ὦ Μέλιτε, εἰπὲ ἡμῖν πρὸς Διός. — Ὦ τὰν) Ἡ σύχοις· Ὦ τὰν προσρηματικὴ λέξις· λέγεται δὲ καὶ ἐπὶ εἰρωνείᾳ πολλάκις.

2. Ἔστιν οὖν, ὅστις) Ἔστι λέγω τις, ὅς τις. — Ὁ νόμος κελ.) Δημοσθ. Ἀόγῳ Β. κατὰ Στεφάν. Νόμος. »Τοῖν ἀν»τιδίκοιν ἐπάναγκες εἶναι ἀποκρίνασθαι »ἀλλήλοις τὸ ἐρωτώμενον, μαρτυρεῖν δὲ μή.« — Ἐσθ' ὅστις) Ἔστι δηλ. τις, ὅς τις· πάλιν γὰρ ἐρωτᾷ μὴ ἀποκριθέντα Μέλιτον.

3. Εἰσάγεις δεῦρο) Εἰσάγεις ἐνταῦθα εἰς τὸ δικαστήριον τουτί ὡς ἐλόντα γε,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

4 ροτέρους ποιοῦντα, ἑκόντα ἢ ἄκοντα; Ἑκόντα ἔγωγε. Τί δήποτ', ὦ Μέλιτε, τοσοῦτον σὺ ἐμοῦ σοφώτερος εἶ, τηλικούτου ὄντος τηλικόσδε ὤν, ὥστε εὖ μὲν ἔγνωκας, ὅτι οἱ μὲν κακοὶ κακόν τι ἐργάζονται ἀεὶ τοὺς μάλιστα πλησίον ἑαυτῶν, οἱ δὲ ἀγαθοὶ ἀγαθόν τι· ἐγὼ δὲ δὴ εἰς τοσοῦτον ἀμαθίας ἥκω, ὥστε καὶ τοῦτο ἀγνοῶ, ὅτι ἐάν τινα μοχθηρὸν ποιήσω τῶν ξυνόντων, κινδυνεύσω κακόν τι λαβεῖν ὑπ' αὐτοῦ; ὥστε τοῦτο τοσοῦ-
5 τον κακὸν ἑκὼν ποιῶ, ὡς φῆς σύ; Ταῦτα ἐγώ σοι οὐ πείθο-
6 μαι, ὦ Μέλιτε, οἶμαι δὲ οὐδὲ ἄλλων ἀνθρώπων οὐδένα· ἀλλὰ ἢ οὐ διαφθείρω, ἢ διαφθείρω ἄκων. Ὥστε σύ γε κατ' ἀμφότερα ψεύδῃ. Εἰ δὲ ἄκων διαφθείρω, τῶν τοιούτων καὶ ἀκουσίων ἁμαρτημάτων οὐ δεῦρο νόμος εἰσάγειν ἐστίν, ἀλλ' ἰδίᾳ λαβόντα διδάσκειν καὶ νουθετεῖν. Δῆλον γὰρ ὅτι, ἐὰν μάθω,
7 παύσομαι ὅγε ἄκων ποιῶ. Σὺ δὲ ξυγγενέσθαι μέν μοι καὶ διδάξαι ἔφυγες, καὶ οὐκ ἠθέλησας· δεῦρο δὲ εἰσάγεις, οἷ νόμος ἐ-
8 στὶν εἰσάγειν τοὺς κολάσεως δεομένους, ἀλλ' οὐ μαθήσεως. Ἀλλὰ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο μὲν δῆλον ἤδη ἐστίν, ὃ ἐγὼ ἔλεγον, ὅτι Μελίτῳ τούτῳ οὔτε μέγα οὔτε σμικρὸν πώποτε ἐμέλησεν.

ιδ'. Ὅμως δὲ δὴ λέγε ἡμῖν, πῶς με φῆς διαφθείρειν, ὦ Μέλιτε, τοὺς νεωτέρους· ἢ δῆλον ὅτι κατὰ τὴν γραφήν, ἣν ἐγράψω, θεοὺς διδάσκοντα μὴ νομίζειν, οὓς ἡ πόλις νομίζει, ἕτερα δὲ δαιμόνια καινά; Οὐ ταῦτα λέγεις ὅτι διδάσκων διαφθείρω; Πάνυ μὲν οὖν
2 σφόδρα ταῦτα λέγω. Πρὸς αὐτῶν τοίνυν, ὦ Μέλιτε, τούτων τῶν θεῶν, ὧν νῦν ὁ λόγος ἐστίν, εἰπὲ ἔτι σαφέστερον καὶ ἐμοὶ καὶ τοῖς ἀνδράσι τουτοισί. Ἐγὼ γὰρ οὐ δύναμαι μαθεῖν πότερον λέγεις, διδάσκειν με νομίζειν εἶναι τινὰς θεούς· (καὶ αὐτὸς ἄρα νομίζω εἶναι θεούς, καὶ οὐκ εἰμὶ τὸ παράπαν ἄθεος, οὐδὲ ταύτῃ ἀδικῶ·) οὐ μέντοι οὓς περ γε ἡ πόλις, ἀλλ' ἑτέρους, καὶ τοῦτ' ἔστιν, ὅ μοι ἐγκαλεῖς, ὅτι ἑτέρους· ἢ παντάπασί με φῆς οὔτε αὐτὸν

ἢ ἄκοντα διαφθ. — Ἑκόντα ἔγωγ.) Πάντως δέ σε εἰσάγω ὡς ἑκόντα διαφθ.

4. Τί δήποτε) Κατὰ τί ἄρα. — Τηλικοῦδε ὤν) Νέος δηλ. — Τοὺς μάλιστα πλησ.) Ὄντας τὸ δὲ ἑαυτῶν ὅτι κατὰ ἀντιμετάθεσιν ἢ σύνταξις. — Εἰς τοσοῦτον ἀμαθίας) Ἀντὶ εἰς τοσαύτην ἀμαθίαν· κατὰ μετάληψιν τοῦ ἐπιθέτου εἰς οὐδέτερον, καὶ τοῦ οὐσιαστικοῦ εἰς γενικήν. — Ὥστε τοῦτο τοσοῦτο κακον) Ὁ'ν δηλ.

5. Οὐδένα) Πείθεσθαί σοι.

6 Οὐ δεῦρο νόμ.) Οὐκ ἔστι νόμος ἰσάγειν ἄδε εἰς τὸ δικαστήριον δηλ. — Ἀλλ' ἰδίᾳ) Ἀλλὰ νόμος ἐστὶν ἰδίᾳ λαβ.

7. Οἷ νόμ.) Τὸ Οἷ τοπικὸν ἐστιν ἐπίρρημα τὸ Ὅπου σημαῖνον. Ὅπου δηλ. νόμος ἐστὶ· καὶ τλ.

ιδ'. Ἢ δῆλον ὅτι) Ἐννοεῖται φῆς διαφθείρειν με τοὺς νέους διδάσκοντα καὶ τλ. — Κατὰ τὴν γρ.) Γραφὴ ἡ περὶ δημοσίων ἀδικημάτων κατηγορία· ὅρα Εὐθύφρ. α. 2.

2. Ὧν νῦν) Περὶ ὧν νῦν ὁ λόγος. — Οὐδὲ ταύτῃ ἀδ.) Οὐδὲ κατὰ τοῦτο δηλ. ἀδικῶ, ἀλλ' ἀθῶ, νομίζων θεοὺς οὐχ οὓς ἡ πολ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νομίζειν θεούς, τούς τε ἄλλους ταῦτα διδάσκειν. Ταῦτα λέγω, ὡς τὸ παράπαν οὐ νομίζεις θεούς. Ὦ θαυμάσιε Μέλιτε, ἵνα τί 3
ταῦτα λέγεις; Οὐδὲ ἥλιον, οὐδὲ σελήνην ἄρα νομίζω εἶναι θεούς, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι; Μὰ Δί', ὦ ἄνδρες δικασταί· ἐπεὶ τὸν μὲν ἥλιον, λίθον φησὶν εἶναι, τὴν δὲ σελήνην, γῆν. Ἀναξαγόρου οἴει κατηγορεῖν, ὦ φίλε Μέλιτε· καὶ οὕτω καταφρονεῖς 4
τῶν δε, καὶ οἴει αὐτοὺς ἀπείρους γραμμάτων εἶναι, ὥστε οὐκ εἰδέναι, ὅτι τ' Ἀναξαγόρου βιβλία τοῦ Κλαζομενίου γέμει τούτων τῶν λόγων. Καὶ δὴ καὶ οἱ νέοι ταῦτα παρ' ἐμοῦ μανθάνουσιν, ἃ ἔξεστιν ἐνίοτε, εἰ πάνυ πολλοῦ, δραχμῆς ἐκ τῆς ὀρχήστρας πριαμένοις, Σωκράτους καταγελᾷν, ἐὰν προσποιῆται ἑαυτοῦ εἶναι, ἄλλως τε καὶ οὕτως ἄτοπα ὄντα. Ἀλλ' ὦ πρὸς Διός, οὕτωσί σοι 5
δοκῶ οὐδένα νομίζειν θεὸν εἶναι; Οὐ μέντοι μὰ Δία, οὐδ' ὁπωστιοῦν. Ἄπιστος γ' εἶ, ὦ Μέλιτε, καὶ ταῦτα, ὡς ἐμοὶ δοκεῖς, σαυτῷ. Ἐμοὶ μὲν γὰρ δοκεῖ οὗτοσί, ὦ ἄνδρες Ἀθηναῖοι, πάνυ εἶναι 6
ὕβριστής καὶ ἀκόλαστος, καὶ ἀτεχνῶς τὴν γραφὴν ταύτην ὕβρει τινὶ καὶ ἀκολασίᾳ καὶ νεότητι γράψασθαι. Ἔοικε γὰρ ὥσπερ 7
αἴνιγμα ξυντιθέντι, καὶ διαπειρωμένῳ, «Ἆρα γνώσεται Σωκράτης ὁ σοφὸς δὴ ἐμοῦ χαριεντιζομένου, καὶ ἐναντία ἐμαυτῷ λέγοντος; ἢ ἐξαπατήσω αὐτὸν καὶ τοὺς ἄλλους τοὺς ἀκούοντας;» Οὗτος 8
γὰρ ἐμοὶ φαίνεται τὰ ἐναντία λέγειν αὐτὸς αὑτῷ ἐν τῇ γραφῇ, ὥσπερ ἂν εἰ εἴποι· «Ἀδικεῖ Σωκράτης θεοὺς οὐ νομίζων, ἀλλὰ θεοὺς νομίζων. Καίτοι τοῦτό ἐστι παίζοντος.»

ιέ. Ξυνεπισκέψασθε δή, ὦ ἄνδρες, ᾗ μοι φαίνεται ταῦτα λέγειν. Σὺ δὲ ἡμῖν ἀπόκριναι, ὦ Μέλιτε. Ὑμεῖς δέ, ὅπερ κατ'

---

3. Ἵνα τί ταῦτα) Τὸ Ἵνα, ὥσπερ καὶ τὸ ὅτι, ἐρωτηματικῶς λεγόμενα, πρὸς αἰτιατικὴν φέρονται κατὰ τὴν Διά· δοκεῖ δὲ τι κατ' ἔλλειψιν λέγεσθαι ῥήματος· οἷον ἵνα τί γένηται, λέγεις ταῦτα· ὅπερ ἐστὶν· ἐπὶ τίνι σκοπῷ λέγεις ταῦτα.

4. Τούτων τῶν λόγων) Ἀναξαγόρας ὁ Κλαζομένιος ἔλεγε τὸν Ἥλιον μύδρον διάπυρον, ὡς φησιν Ἀριστοκλεῖων· ὅπερ ἐνταῦθα λίθον λέγει Σωκράτης· καὶ τὴν σελήνην ἔχειν οἰκήσεις λόφους, φαραγγας· ὡς Θεοφράστ. Ἱλλ. παθημ. Θεραπ. δ'. — Εἰ πάνυ πολλοῦ) Ἐὰν ᾖ χρεία πάνυ πολλοῦ πρίασθαι· τοῦτ' ἔστι δραχμῆς. — Ἐκ τῆς Ὀρχήστρας) Τίμαιος Γλωσσ. Πλ. Ὀρχήστρα ἐστὶν τὸ τοῦ θεάτρου μέσον χωρίον, καὶ τόπος ἐπιφανὴς εἰς πανήγυριν ἔνθα Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνες. Καὶ Φώτ. Ἀεξ. Ὀρχήστρα πρῶτον ἐλλήθη ἐν τῇ ἀγορᾷ, εἶτα καὶ τοῦ θεάτρου τὸ κάτω ἡμικύκλιον, οὗ καὶ οἱ χοροὶ ᾖδον, καὶ ὠρχοῦντο εἰς τὴν Ὀρχήστραν. Ἐνταῦθά μοι δοκεῖ ληφθῆναι τὴν λέξιν διὰ τὸ κοινὸν τοῦ πράγματος· ὡς ἂν εἰ ἔλεγεν. Ἔξεστιν αὐτοῖς ὠνήσασθαι τὰ βιβλία ταῦτα, εἰ πάνυ πολὺ δέοι καταβαλεῖν, δραχμῆς, αὐτόθεν πόθεν ἀπὸ τῆς Ὀρχήστρας. — Ἑαυτοῦ εἶναι) Ὅτι εἰσὶν ἰδία ἑαυτοῦ· γεννήματα δηλ. τοῦ ἰδίου αὐτοῦ νοός.

5. Καὶ ταῦτα) Ποιῶν, ἄπιστος εἶ σεαυτῷ.

7. Ἔοικε γὰρ, ὥσπερ) Ὅμοιος γὰρ δοκεῖ τῷ, εἴτις αἴνιγμα ξυνέθετο· καὶ διαπειρᾶται, εἰ ἄρα γνώσεται.

8. Καίτοι τοῦτο) Καίτοι τοῦτο τὸ οὕτως εἰρηκέναι ἰδιόν ἐστιν ἀνθρώπου παίζοντος.

ιέ. Ἦ μοι φαίνεται) Καθ' ὅ,τι μοι φαίνεται· ἐν ᾗ δήλον αἴτια μοι φαίν. καὶ ἐστι τὸ Ἦ ὁμοιωματικόν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀρχὰς ὑμᾶς παρῃτησάμην, μέμνησθέ μοι μὴ θορυβεῖν, ἐὰν ἐν
2 τῷ εἰωθότι τρόπῳ τοὺς λόγους ποιῶμαι. Ἔστιν ὅστις ἀνθρώπων,
ὦ Μέλιτε, ἀνθρώπεια μὲν νομίζει πράγματα εἶναι, ἀνθρώπους
δὲ οὐ νομίζει; — Ἀποκρινέσθω, ὦ ἄνδρες, καὶ μὴ ἄλλα καὶ ἄλ-
3 λα θορυβείτω. Ἔσθ' ὅστις ἵππους μὲν οὐ νομίζει, ἱππικὰ δὲ
πράγματα; ἢ αὐλητὰς μὲν οὐ νομίζει, αὐλητικὰ δὲ πράγματα;
— Οὐκ ἔστιν, ὦ ἄριστε ἀνδρῶν. Εἰ μὴ σὺ βούλει ἀποκρίνασθαι,
4 ἐγώ σοι λέγω, καὶ τοῖς ἄλλοις τουτοισί. Ἀλλὰ τὸ ἐπὶ τούτῳ ἀ-
πόκριναι· ἐσθ' ὅστις δαιμόνια μὲν νομίζει πράγματα εἶναι, δαί-
μονας δὲ οὐ νομίζει; Οὐκ ἔστιν. Ὡς ὤκνησας· ὅτι μόλις ἀπεκρί-
5 νω ὑπὸ τουτωνί ἀναγκαζόμενος. Οὐκοῦν δαιμόνια μέν φῄς με
καὶ νομίζειν καὶ διδάσκειν, εἴτ' οὖν καινὰ εἴτε παλαιά; ἀλλ' οὖν
δαιμόνιά γε νομίζω κατὰ τὸν σὸν λόγον· καὶ ταῦτα καὶ διωμόσω
ἐν τῇ ἀντιγραφῇ. Εἰ δὲ καὶ δαιμόνια νομίζω, καὶ δαίμονας δή-
που πολλὴ ἀνάγκη νομίζειν με ἔστιν. Οὐχ οὕτως ἔχει; — Ἔχει
6 δή. Τίθημι γάρ σε ὁμολογοῦντα, ἐπειδὴ οὐκ ἀποκρίνῃ. Τοὺς δὲ
δαίμονας οὐχὶ ἤτοι θεούς γε ἡγούμεθα εἶναι, ἢ θεῶν παῖδας; φῄς,
ἢ οὔ; Πάνυ γε. Οὐκοῦν εἴπερ δαίμονας ἡγοῦμαι, ὡς σὺ φῄς, εἰ
μὲν θεοί τινές εἰσιν οἱ δαίμονες, τοῦτ' ἂν εἴη ὃ ἐγὼ φημί σε αἰ-
νίττεσθαι καὶ χαριεντίζεσθαι, θεοὺς οὐχ ἡγούμενον φάναι με
7 θεοὺς αὖ ἡγεῖσθαι πάλιν, ἐπειδήπερ γε δαίμονας ἡγοῦμαι· εἰ δ'
αὖ οἱ δαίμονες θεῶν παῖδές εἰσι νόθοι τινές, ἢ ἐκ Νυμφῶν, ἢ ἐκ
τινων ἄλλων, ὧν δὴ καὶ λέγονται, τίς ἂν ἀνθρώπων θεῶν μὲν
παῖδας ἡγοῖτο εἶναι, θεοὺς δὲ μή; ὁμοίως γὰρ ἂν ἄτοπον εἴη,
ὥσπερ ἂν εἴ τις ἵππων μὲν παῖδας ἡγοῖτο ἢ καὶ ὄνων, τοὺς ἡμιό-
8 νους, ἵππους δὲ καὶ ὄνους μὴ ἡγοῖτο εἶναι. Ἀλλ', ὦ Μέλιτε,
οὐκ ἔστιν ὅπως σὺ ταῦτα οὐχὶ ἀποπειρώμενος ἡμῶν ἐγράψω τὴν
γραφὴν ταύτην, ἢ ἀπορῶν, ὅτι ἐγκαλοῖς μοι ἀληθὲς ἀδίκημα·
ὅπως δὲ σύ τινα πείθοις ἂν καὶ σμικρὸν νοῦν ἔχοντα ἀνθρώπων,
ὡς τοῦ αὐτοῦ ἀνδρός ἐστι, καὶ δαιμόνια καὶ θεῖα ἡγεῖσθαι, καὶ
αὖ τοῦ αὐτοῦ, μήτε δαίμονας μήτε θεοὺς μήτε ἥρωας, οὐδεμιᾷ

---

4. Ὡς ὤκνησας) Μόλις δηλ. καὶ ἀρ-γῶς ἀπαριθμῆς.

5. Ἐν τῇ ἀντιγραφῇ) Τὰ ἐν ταῖς δημοσίαις δίκαις τῶν δικαζομένων γράμματα λέγονται Ἀντιγραφή, λέγεται δὲ ἑρμῶν τά τε τοῦ διώκοντος καὶ τὰ τοῦ φεύγοντος Ἀντιγραφή. Ἐνίοτε δὲ ἡ τῶν Σωκράτους ἀπολογία Ἀπομνημονεύματα καὶ Ἀντιγραφὴν τὸ σύνολον λέγει. Δουιδ. Ἀντιγραφεύς.

7. Νόθοι τινές) Νόθοι θεῶν λέγονται παῖδες ὅσοι ἐκ Νυμφῶν ἢ γυναικῶν ἀνθρώπων διὰ θεῶν συνουσίας ἐγένοντο. Τοιοῦτος Διόνυσος ἐκ Διὸς καὶ Σεμέλης, Ἡρακλῆς ἐκ Διὸς καὶ Ἀλκμήνης· καὶ οἱ τοιοῦτοι. — Ὧν δὴ καὶ λέγονται) Ἐξ ὧν δηλονότι λέγονται ὅτι ἐγένοντο θεῶν παῖδες.

8. Οὐκ ἔστιν ὅπως) Πάντως διὰ τοῦτο ἐγράψω τὴν γραφήν, ἵνα ἀπόπειραν ἡμῶν λάβῃς. — Οὐδεμιᾷ μηχανῇ) Οὔτω οὐδεμία δὲ μηχανή ἐστιν οὐδὲ τρόπος καθ' ὃν ἂν δυνηθείης πεῖσαί τινα τῶν ἀνθρώπων, καὶ ἐὰν ᾖ μικρόνους τις, ὡς αὐτοῦ καὶ τὰ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μηχανή ἐστιν. Ἀλλὰ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς μὲν ἐγὼ οὐκ ἀ- 9
δικῶ κατὰ τὴν Μελίτου γραφήν, οὐ πολλῆς μοι δοκεῖ εἶναι ἀπο-
λογίας· ἀλλὰ ἱκανὰ καὶ ταῦτα.

ιϛ'. Ὁ δὲ καὶ ἐν τοῖς ἔμπροσθεν ἔλεγον, ὅτι πολλή μοι ἀ-
πέχθεια γέγονε καὶ πρὸς πολλούς, εὖ ἴστε, ὅτι ἀληθές ἐστι. Καὶ
τοῦτ' ἐστίν, ὃ ἐμὲ αἱρήσει, ἐάν περ αἱρῇ, οὐ Μέλιτος οὐδὲ Ἄνυτος,
ἀλλ' ἡ τῶν πολλῶν διαβολή τε καὶ φθόνος· ἃ δὴ πολλοὺς καὶ ἀ-
γαθοὺς ἄνδρας ἥρηκεν, οἶμαι δὲ καὶ αἱρήσειν. Οὐδὲν δὲ δεινὸν
μὴ ἐν ἐμοὶ στῇ. Ἴσως δ' ἂν οὖν εἴποι τις· «Εἶτ' οὐκ αἰσχύνῃ, ὦ 2
Σώκρατες, τοιοῦτον ἐπιτήδευμα ἐπιτηδεύσας, ἐξ οὗ κινδυνεύεις
νυνὶ ἀποθανεῖν;» ἐγὼ δὲ τούτῳ ἂν δίκαιον λόγον ἀντείποιμι· 3
»Ὅτι οὐ καλῶς λέγεις, ὦ ἄνθρωπε, εἰ οἴει δεῖν κίνδυνον ὑπολογί-
ζεσθαι τοῦ ζῆν ἢ τεθνάναι ἄνδρα, ὅτου τι καὶ σμικρὸν ὄφελός
ἐστιν· ἀλλ' οὐκ ἐκεῖνο μόνον σκοπεῖν, ὅ,τι ἂν πράττῃ, πότερον
δίκαια ἢ ἄδικα πράττει, καὶ ἀνδρὸς ἀγαθοῦ ἔργα ἢ κακοῦ.»
Φαῦλοι γὰρ ἄν, τῷ γε σῷ λόγῳ, εἶεν τῶν ἡμιθέων, ὅσοι ἐν 4
Τροίᾳ τετελευτήκασιν, οἵ τε ἄλλοι καὶ ὁ τῆς Θέτιδος υἱός· ὃς το-
σοῦτον τοῦ κινδύνου κατεφρόνησε, παρὰ τὸ αἰσχρόν τι ὑπομεῖ-
ναι, ὥστε, ἐπειδὴ εἶπεν ἡ μήτηρ αὐτῷ προθυμουμένῳ Ἕκτορα
ἀποκτεῖναι, θεὸς οὖσα, οὑτωσί πως, ὡς ἐγὼ οἶμαι· «Ὦ παῖ, 5
εἰ τιμωρήσεις Πατρόκλῳ τῷ ἑταίρῳ τὸν φόνον, καὶ Ἕκτορα ἀ-
ποκτενεῖς, αὐτὸς ἀποθανῇ.» (αὐτίκα γάρ τοι, φησί, μετ' Ἕκτορα
πότμος ἑτοῖμος·) ὁ δέ, τοῦτ' ἀκούσας, τοῦ μὲν θανάτου καὶ τοῦ
κινδύνου ὠλιγώρησε, πολὺ δὲ μᾶλλον δείσας τὸ ζῆν κακὸς ὤν,
καὶ τοῖς φίλοις μὴ τιμωρεῖν. «Αὐτίκα, φησί, τεθναίην, τὴν δίκην 6
ἐπιθεὶς τῷ ἀδικοῦντι, ἵνα μὴ ἐνθάδε μένων καταγέλαστος παρά
νηυσὶ κορωνίσιν, ἄχθος ἀρούρης.» Μὴ αὐτὸν οἴει φροντίσαι θα-
νάτου, καὶ κινδύνου; Οὕτω γὰρ ἔχει, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ 7

---

9. Ἀπολογίας) Ἔργον δηλ.

ιϛ'. Ἐὰν περ αἱρῇ) Ἐὰν δηλ. τί περιγένηται μου ἐν τῇ δίκῃ· τοῦτο ἔσται καὶ οὐ Μέλ. — Ἃ δή) Διαβολὴ δηλ. καὶ φθόνος. — Οὐδὲν δὲ δεινὸν) Καὶ οὐδεὶς φόβος μὴ στῇ ἐν ἐμοί.

2. Τοιοῦτον ἐπιτήδευμα) Τὸ περιϊέναι δηλ. καὶ ἐξελέγχειν, κἀντεῦθεν ἐπισπᾶσθαι τῶν ἁπάντων τὴν ἀπέχθειαν.

3. Εἰ οἴει) Ἐὰν νομίζῃς ὅτι δεῖ ἡμεῖσθαι κίνδυνον τοῦτο, ἵνα ζῇ ἡ ἀποθάνῃ ὁ ἀνήρ, οὗ ἐν τῆς ζωῆς ἢ τοῦ θανάτου ἔστι καὶ μικρόν τι ὄφελος. Ὅπερ ἐστίν. Οὐδεὶς κινδυνος, ἐάν τι ὄφελος γένηται ἐν τῆς ζωῆς, ἢ τοῦ θανάτου τινὸς ὠφελίμου ἀνδρός. — Ἀλλ' οὐκ ἐκεῖνο) Ἀλλ' οὐκ οἴει δεῖν σκοπεῖν ἐκεῖνο μόνον, ὅ,τι ἂν πράττῃ, ταῦτα πότερον δίκαια ἢ ἄδικα πράττει· ἡ δὲ ἀπόδοσις πρὸς πληθυντικὸν διὰ τὸ σημαινόμενον τοῦ ἀορίστου.

4. Ὁ τῆς Θέτιδος) Ἀχιλλεὺς δηλ. Ταύτης γὰρ καὶ Πηλέως ὁ Ἀχιλλεύς. — Παρὰ τὸ αἰσχρόν) Ἵνα μή τι αἰσχρὸν ὑπομείνῃ· ἡ γὰρ Παρὰ ἐνταῦθα ἀπαγόρευσιν σημαίνει.

5. Πότμος ἑτοῖμος) Ὅμηρ. Ἰλ. Σ. στίχ. 96. — Αὐτίκα) Αὐτόθ. στίχ. 98. — Ἄχθος ἀρούρ.) Αὐτόθ. στίχ. 104.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀληθείᾳ· οὐ ἄν τις ἑαυτὸν τάξῃ, ἡγησάμενος βέλτιστον εἶναι, ἢ ὑπὸ ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ, ὡς ἐμοὶ δοκεῖ, μένοντα κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον, μήτε θάνατον, μήτε ἄλλο τι μηδὲν πρὸ τοῦ αἰσχροῦ.

ιζ. Ἐγὼ οὖν δεινὰ ἂν εἴην εἰργασμένος, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ὅτε μέν με οἱ ἄρχοντες ἔταττον, οὓς ὑμεῖς εἵλεσθε ἄρχειν μου, καὶ ἐν Ποτιδαίᾳ, καὶ ἐν Ἀμφιπόλει, καὶ ἐπὶ Δηλίῳ, τότε μὲν οὗ ἐκεῖνοι ἔταττον, ἔμενον, ὥσπερ καὶ ἄλλος τις, καὶ ἐκινδύνευον ἀποθανεῖν· τοῦ δὲ θεοῦ τάττοντος, ὡς ἐγὼ ᾠήθην τε καὶ ὑπέλαβον, φιλοσοφοῦντά με δεῖν ζῆν, καὶ ἐξετάζοντα ἐμαυτὸν καὶ τοὺς ἄλλους, ἐνταῦθα δὲ φοβηθεὶς ἢ θάνατον, ἢ ἄλλο ὁτιοῦν πρᾶγμα, λείποιμι τὴν τάξιν. Δεινὸν μὲν τἂν εἴη, καὶ ὡς ἀληθῶς τότ' ἄν με δικαίως εἰσάγοι τις εἰς δικαστήριον, ὅτι οὐ νομίζω θεοὺς εἶναι, ἀπειθῶν τῇ μαντείᾳ, καὶ δεδιὼς θάνατον, καὶ οἰόμενος σοφὸς εἶναι, οὐκ ὤν. Τὸ γάρ τοι θάνατον δεδιέναι, ὦ ἄνδρες, οὐδὲν ἄλλο ἐστὶν ἢ δοκεῖν σοφὸν εἶναι, μὴ ὄντα. Δοκεῖν γὰρ εἰδέναι ἐστὶν ἃ οὐκ οἶδεν. Οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον, οὐδ' εἰ τυγχάνει τῷ ἀνθρώπῳ πάντων μέγιστον ὂν τῶν ἀγαθῶν· δεδίασι δ', ὡς εὖ εἰδότες ὅτι μέγιστον τῶν κακῶν ἐστί. Καὶ τοῦτο πῶς οὐκ ἀμαθία ἐστὶν αὕτη ἡ ἐπονείδιστος, ἡ τοῦ οἴεσθαι εἰδέναι, ἃ οὐκ οἶδεν; Ἐγὼ δέ, ὦ ἄνδρες, τούτῳ καὶ ἐνταῦθα ἴσως διαφέρω τῶν πολλῶν ἀνθρώπων· καὶ εἰ δή τῳ σοφώτερός του φαίην εἶναι, τούτῳ ἄν, ὅτι οὐκ εἰδὼς ἱκανῶς περὶ τῶν ἐν Ἅιδου, οὕτω καὶ οἴομαι οὐκ εἰδέναι· τὸ δὲ ἀδικεῖν καὶ τὸ ἀπειθεῖν τῷ βελτίονι καὶ θεῷ καὶ ἀνθρώπῳ, ὅτι κακὸν καὶ αἰσχρόν ἐστιν οἶδα. Πρὸ οὖν τῶν κακῶν ὧν οἶδα ὅτι κακά ἐστιν, ἃ

7. Πρὸ τοῦ αἰσχροῦ) Προτιμᾶσθαι γὰρ δεῖ πάντα κίνδυνον καὶ τὸν θάνατον αὐτὸν, ἢ αἰσχρῶς ζῆν, καὶ μὴ κινδυνεύειν· ἡ δὲ Πρὸ τὸ μᾶλλον σημαίνει.

ιζ. Οἱ ἄρχοντες) Ἐννοεῖ τὸν Καλλίαν, Κλεωνα, καὶ Ἱπποκράτην. Οὗτος δὴ ὁ Ἱπποκράτης ἐστρατήγει εἰς Δήλιον πόλιν Βοιωτίας, Ἀπόλλωνος ἱερὸν, ἔνθα Βοιωτοὶ Ἀθηναίους ἐρυγάδευσαν. Στράβ.. Θ. καὶ Ἀσποκρατ. καὶ Ἡσύχ. ἐν ἐπὶ Δηλίῳ μαχῇ. Οὗτος δὲ αὐτὸς ἦν στρατηγὸς Ἀθηναίων καὶ ἐν Ἀμφιπόλει, πόλει Θρᾴκης ἡ Μακεδονίας πρὸς τὸν Στρυμονα ποταμὸν· ἔνθα Ἀθηναῖοι ἡττήθησαν ὑπὸ Λακεδαιμονίων, ὁ δὲ μετὰ τοῦ στρατεύματος κατέφυγεν εἰς Ποτίδαιαν πόλιν Θρᾴκης πρὸς τὸ Αἰγαῖον πέλαγος· ἦν οὖτω κατέτχον Ἀθηναῖοι, ὥστε ἐνταῦθεν ὁ Πελοποννησιακὸς ἠγέρθη πόλεμος. Ἐν τούταις δὲ ταῖς μάχαις περὶ τῆς ἀνδρείας Σωκράτους συμφώνως λέγουσι πάντες οἱ τοῦ Πελοποννησιακοῦ πολέμου συγγραφεῖς· Ἀσέρτ. Β. κδ'. Ἀθήν. Ε. ιέ. Αἰλιαν. Ποικ. ἱστ. Γ. ιζ'. Πλούταρ. Ἀλκιβ. Πλτ. Συμποσ. λέ. — Οὗ ἐκεῖν.) Ἔνθα οἱ ἄρχοντες ἔταττον.

— Ἐνταῦθα δὲ) Ὁ Δὲ ἀντὶ τοῦ Δή.

4. Καὶ τοῦτο) Καὶ διὰ τοῦτο.

5. Τούτῳ) Ἐν τούτῳ· ἤτοι κατὰ τοῦτο. — Καὶ εἰ δή τῳ) Καὶ Ἐὰν λέγω ὅτι εἰμὶ σοφώτερός τινος κατά τι ἢ ἔντινι κατὰ τοῦτο ὃν λέγομι· ὅτι καὶ τλ.

6. Πρὸ οὖν τῶν κακῶν) Οὐδέποτε φοβήσομαι, ἢ φεύξομαι, προτιμήσας ἃ μὴ οἶδα, εἰ ἀγαθά εἰσιν, ἐκείνων, ἃ οἶδα, ὅτι εἰσὶ κακά. Ἡ μὲν οὖν Πρὸ, τὸ μᾶλλον δηλοῖ, τὸ δέ τοι ὧν ἔθει Ἀττικῶ ὑπεδύθη τὴν πτῶσιν τοῦ ἡγουμένου· καὶ τὸ μὲν Ὅτι ἀκολουθοῦν τῷ Οἶδα, βεβαίωσιν σημαίνει· τὸ δὲ Εἰ ἀμφιβολίαν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὴ οἶδα εἰ ἀγαθὰ ὄντα τυγχάνει, οὐδέποτε φοβήσομαι, οὐδὲ 6
φεύξομαι. Ὥστε οὐδὲ εἰ μὲ νῦν ὑμεῖς ἀφίετε, Ἀνύτῳ ἀπιστή- 7
σαντες, ὃς ἔφη ἢ τὴν ἀρχὴν οὐ δεῖν ἐμὲ δεῦρο εἰσελθεῖν, ἢ ἐπει-
δὴ εἰσῆλθον οὐχ οἷόν τ' εἶναι τὸ μὴ ἀποκτεῖναί με· λέγων πρὸς
ὑμᾶς, ὡς εἰ διαφευξοίμην, ἤδη ἂν ὑμῶν οἱ υἱεῖς ἐπιτηδεύοντες,
ἃ Σωκράτης διδάσκει, πάντες παντάπασι διαφθαρήσοιντο, εἴ
μοι πρὸς ταῦτα εἴποιτε· «Ὦ Σώκρατες, νῦν μὲν Ἀνύτῳ οὐ πει- 8
σόμεθα, ἀλλ' ἀφίεμέν σε, ἐπὶ τούτῳ μέντοι, ἐφ' ᾧτε μηκέτι ἐν
ταύτῃ τῇ ζητήσει διατριβεῖν, μηδὲ φιλοσοφεῖν· ἐὰν δὲ ἁλῷς ἔτι
τοῦτο πράττων, ἀποθανῇ·» εἰ οὖν με, ὅπερ εἶπον, ἐπὶ τούτοις ἀ-
φίοιτε, εἴποιμ' ἂν ὑμῖν· «Ὅτι ἐγὼ ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, ἀσπά- 9
ζομαι μὲν καὶ φιλῶ, πείσομαι δὲ τῷ θεῷ μᾶλλον ἢ ὑμῖν· καὶ
ἕως περ ἂν ἐμπνέω καὶ οἷός τε ὦ, οὐ μὴ παύσομαι φιλοσοφῶν,
καὶ ὑμῖν παρακελευόμενός τε καὶ ἐνδεικνύμενος,» ὅτῳ ἂν ἀεὶ ἐν-
τυγχάνω ὑμῶν, λέγων οἷά περ εἴωθα· «Ὅτι, ὦ ἄριστε ἀνδρῶν, 10
Ἀθηναῖος ὤν, πόλεως τῆς μεγίστης καὶ εὐδοκιμωτάτης εἰς σοφίαν
καὶ ἰσχύν, χρημάτων μὲν οὐκ αἰσχύνῃ ἐπιμελόμενος, ὅπως σοι
ἔσται ὡς πλεῖστα, καὶ δόξης καὶ τιμῆς, φρονήσεως δὲ καὶ ἀλη-
θείας, καὶ τῆς ψυχῆς ὅπως ὡς βελτίστη ἔσται, οὐκ ἐπιμελῇ, οὐδὲ
φροντίζεις;» Καὶ ἐὰν τις ὑμῶν ἀμφισβητήσῃ, καὶ φῇ ἐπιμελεῖ- 11
σθαι, οὐκ εὐθὺς ἀφήσω αὐτὸν, οὐδ' ἄπειμι, ἀλλ' ἐρήσομαι αὐτὸν
καὶ ἐξετάσω καὶ ἐλέγξω· καὶ ἐάν μοι μὴ δοκῇ κεκτῆσθαι ἀρετὴν,
φάναι δὲ, ὀνειδίσω, ὅτι τὰ πλεῖστου ἄξια περὶ ἐλαχίστου ποιεῖται,
τὰ δὲ φαυλότερα, περὶ πλείονος. Ταῦτα καὶ νεωτέρῳ καὶ πρεσβυ- 12
τέρῳ, ὅτῳ ἂν ἐντυγχάνω, ποιήσω, καὶ ξένῳ καὶ ἀστῷ· μᾶλλον
δὲ τοῖς ἀστοῖς, ὅσῳ μοι ἐγγυτέρω ἐστὲ γένει. Ταῦτα γὰρ κε- 13
λεύει ὁ θεός, εὖ ἴστε· καὶ ἐγώ οἶμαι, οὐδέν πω ὑμῖν μεῖζον ἀ-
γαθὸν γενέσθαι ἐν τῇ πόλει ἢ τὴν ἐμὴν τῷ θεῷ ὑπηρεσίαν. Οὐδὲν 14
γὰρ ἄλλο πράττων ἐγὼ περιέρχομαι ἢ πείθων ὑμῶν καὶ νεω-

---

7. Ἢ τὴν ἀρχὴν) Ἢ κατὰ τὴν ἀρχὴν οὐκ ἔδει· ὅπερ ἐστὶν ἡ παντάπασιν οὐκ ἔδει· καὶ τλ.

9. Οἷά περ εἴωθα) Λέγων τοιαῦτα, οἷα εἴωθα λέγειν· τὰ γὰρ ἀναφορικὰ κατ' ἔλλειψιν τῶν ἀναποδοτικῶν λέγεται πολλάκις.

10. Ἀθηναῖος ὤν, πόλεως) Ἤτοι, ὢν ἐξ Ἀθηνῶν πόλεως· ἔστι δὲ ἡ σύνταξις κατὰ τὰς κτητικὰς ἀντωνυμίας· οἷον· Σὸν ἐστὶ τοῦ πάντα εἰδότος· ἐκεῖναί τε γὰρ εἰς γενικὴν ἀναλύονται κτητικῶς· οἷον· Ἰδιόν σου τοῦ εἰδότος· καὶ τὰ ἐθνικὰ δὲ ταῦτα εἰς γενικὴν προσεπόπτωτον· οἷον· Ἀθηναῖος ὁ ἐξ Ἀθηνῶν Πρὸς ἐννοουμένην ἄρα γενικὴν ἡ σύνταξις.

11. Φάναι δὲ) Ὅτι κέκτηται ἀρετὴν· — Περὶ ἐλαχίστου) Περὶ πλείστου ποιῶμαι· ἀντὶ προτιμῶ, ἢ ἀντέχομαι· περὶ ἐλαχίστου δὲ τοὐναντίον ἀντὶ καταφρονῶ, ἢ ἀμελῶ.

12. Ταῦτα καὶ νεωτέρῳ) Τὸ Ποιῶ συντάσσεται καὶ δοτικῇ καὶ αἰτιατικῇ· οἷον ποιῶ σε ταῦτα· καὶ ποιῶ σοι ταῦτα. Καὶ ἔστι ὡς γε δοκεῖ τὸ ῥῆμα περιποιητικῶς συντασσόμενον· καὶ ὅταν πρὸς αἰτιατικὴν προσώπου φέρεται, κατ' ἔλλειψιν προθέσεως τῆς Διὰ λέγεται· ἐν ᾗ ὁμοία τῇ δοτικῇ περιποιητικῶς λεγομένῃ. — Ἐστὶ γένει) Ἀθηναῖοι γάρ, Ἀθηναῖοι ὄντες.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τέρους καὶ πρεσβυτέρους μήτε σωμάτων ἐπιμελεῖσθαι, μήτε χρημάτων πρότερον, μήτε ἄλλου τινὸς οὕτω σφόδρα, ὡς τῆς ψυχῆς, ὅπως ὡς ἀρίστη ἔσται· λέγων ὅτι οὐκ ἐκ χρημάτων ἡ ἀρετὴ γίγνεται, ἀλλ' ἐξ ἀρετῆς τὰ χρήματα, καὶ τἄλλα τἀγαθὰ
15 τοῖς ἀνθρώποις ἅπαντα, καὶ ἰδίᾳ καὶ δημοσίᾳ. Εἰ μὲν οὖν ταῦτα λέγων διαφθείρω τοὺς νέους, ταῦτα ἂν εἴη βλαβερά· εἰ
16 δέ τις μέ φησιν ἄλλα λέγειν ἢ ταῦτα, οὐδὲν λέγει. Πρὸς ταῦτα φαίην ἂν· ὦ ἄνδρες Ἀθηναῖοι, ἢ πείθεσθε Ἀνύτῳ, ἢ μή, καὶ ἢ ἀφίετέ με, ἢ μή· ὡς ἐμοῦ οὐκ ἂν ποιήσοντος ἄλλα, οὐδ' εἰ μέλλω πολλάκις τεθνάναι.

ιή. Μὴ θορυβεῖτε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀλλὰ ἐμμείνατέ μοι οἷς ἐδεήθην ὑμῶν, μὴ θορυβεῖν, ἐφ' οἷς ἂν λέγω, ἀλλ' ἀκούειν.
2 Καὶ γάρ, ὡς ἐγώ οἶμαι, ὀνήσεσθε ἀκούοντες. Μέλλω γὰρ οὖν ἄττα ἐρεῖν ὑμῖν καὶ ἄλλα, ἐφ' οἷς ἴσως βοήσεσθε· ἀλλὰ μηδαμῶς ποιεῖτε τοῦτο. Εὖ γὰρ ἴστε, ἐὰν ἐμὲ ἀποκτείνητε τοιοῦτον ὄντα οἷον ἐγώ λέγω, οὐκ ἐμὲ μείζω βλάψετε ἢ ὑμᾶς αὐτούς.
3 Ἐμὲ μὲν γὰρ οὐδὲν ἂν βλάψειεν οὔτε Μέλιτος, οὔτε Ἄνυτος· οὐδὲ γὰρ ἂν δύναιντο. Οὐ γὰρ οἶμαι θεμιτὸν εἶναι ἀμείνονι ἀνδρὶ
4 ὑπὸ χείρονος βλάπτεσθαι. Ἀποκτείνειε μέν τ' ἂν ἴσως ἢ ἐξελάσειεν ἢ ἀτιμάσειεν· ἀλλὰ ταῦτα οὗτος μὲν ἴσως οἴεται καὶ ἄλλος τίς που μεγάλα κακά· ἐγὼ δὲ οὐκ οἶμαι, ἀλλὰ πολὺ μᾶλλον ποιεῖν ἃ οὗτοσὶ νῦν ποιεῖ, ἄνδρα ἀδίκως ἐπιχειρεῖν ἀποκτιν-
5 νύναι. Νῦν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πολλοῦ δέω ἐγὼ ὑπὲρ ἐμαυτοῦ ἀπολογεῖσθαι, ὥς τις ἂν οἴοιτο, ἀλλ' ὑπὲρ ὑμῶν, μὴ ἐξαμάρτητε
6 περὶ τὴν τοῦ θεοῦ δόσιν ὑμῖν, ἐμοῦ καταψηφισάμενοι. Ἐὰν γὰρ μὲ ἀποκτείνητε, οὐ ῥᾳδίως ἄλλον τοιοῦτον εὑρήσετε, ἀτεχνῶς (εἰ καὶ γελοιότερον εἰπεῖν) προσκείμενον τῇ πόλει ὑπὸ τοῦ θεοῦ, ὥσπερ ἵππῳ μεγάλῳ μὲν καὶ γενναίῳ, ὑπὸ μεγέθους δὲ νωθεστέρῳ, καὶ
7 δεομένῳ ἐγείρεσθαι ὑπὸ μύωπός τινος. Οἷον δή μοι δοκεῖ ὁ θεὸς ἐμὲ τῇ πόλει προστεθεικέναι τοιοῦτον τινά, ὃς ὑμᾶς ἐγείρων καὶ πείθων, καὶ ἀνειδίζων ἕνα ἕκαστον, οὐδὲν παύομαι τὴν ἡμέραν

---

16. Οὐδ' εἰ μέλλω) Το μέλλω δεῖ ἐπὶ ἐνδεχομένων λέγεται· κἀνταῦθα γὰρ ὡς ἀμφιβαλλόμενον τὸ ὑπὸ τῶν δικαστῶν θανεῖν διὰ τοῦ Μέλλω ἐξήνεγκε.

ιή. Ἀλλὰ ἐμμείνατέ μοι) Ἀλλὰ μείνατε, παρακαλῶ, ἐν ἐκείνοις, περὶ ὧν ἐδεήθην ὑμῶν. Το δ' Οἷς ὑπεδύθη τὴν πτῶσιν τοῦ ἀνταποδοτικοῦ προθετικοῦ ὡς τὴν Ἐν προθέτεως ἐν τῷ ῥήματι κειμένης θέσει Ἀττικῷ.

2. Οἷον ἐγὼ λέγω) Ἐμὲ εἶναι.

4. Ἐγὼ δὲ οὐκ οἶμαι) Μεγάλα κακὰ ἀλλ' οἶμαι μέγα κακὸν εἶναι τὸ ποιεῖν ἃ οὗτοσὶ καὶ τλ. — Ἐπιχειρεῖν) Κατ' ἐπεξήγησιν δηλ. τὸ ἐπιχειρεῖν ἀποκτείνειν ἄνδρα ἀδίκως.

5. Περὶ τοῦ Θεοῦ δόσιν) Περὶ τὴν δωρεὰν τοῦ Θεοῦ τὴν ὑμῖν δοθεῖσαν.

6. Εἰ καὶ γελοιότερον) Ἐστὶ δηλ.

7. Οἷον δή μοι) Ἀντὶ τοῦ Οὕτως οὖν μοι δοκεῖ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἕλκειν παντάχοῦ προσκαθίζων. Τοιοῦτος οὖν ἄλλος οὐ ῥᾳδίως ὑμῖν γενήσεται, ὦ ἄνδρες. Ἀλλ' ἐὰν ἐμοὶ πείθησθε, φείσεσθέ μου. 8
Ὑμεῖς δ' ἴσως τάχ' ἂν ἀχθόμενοι, ὥσπερ οἱ νυστάζοντες ἐγειρόμενοι, κρούσαντες ἄν με, πειθόμενοι Ἀνύτῳ, ῥᾳδίως ἂν ἀποκτείναιτε· εἶτα τὸν λοιπὸν χρόνον καθεύδοντες διατελοῖτε ἄν, εἰ μή τινα ἄλλον ὑμῖν ὁ θεὸς ἐπιπέμψειε, κηδόμενος ὑμῶν. Ὅτι δ' 9
ἐγὼ τυγχάνω ὢν τοιοῦτος οἷος ὑπὸ τοῦ θεοῦ τῇ πόλει δεδόσθαι, ἐνθένδε ἂν κατανοήσαιτε. Οὐ γὰρ ἀνθρωπίνῳ ἔοικε τὸ ἐμὲ 10
τῶν μὲν ἐμαυτοῦ ἀπάντων ἠμελῆκέναι, καὶ ἀνέχεσθαι τῶν οἰκείων ἀμελουμένων τοσαῦτα ἤδη ἔτη, τὰ δὲ ὑμέτερον πράττειν ἀεί, ἰδίᾳ ἑκάστῳ προσιόντα, ὥσπερ πατέρα ἢ ἀδελφὸν πρεσβύτερον, πείθοντα ἐπιμελεῖσθαι ἀρετῆς. Καὶ εἰ μέντοι τι ἀπὸ τού- 11
των ἀπέλαυον, καὶ μισθὸν λαμβάνων ταῦτα παρεκελευόμην, εἶχεν ἄν τινα λόγον· νῦν δὲ ὁρᾶτε δὴ καὶ αὐτοί, ὅτι οἱ κατήγοροι τἆλλα πάντα οὕτως ἀναισχύντως κατηγοροῦντες, τοῦτό γε οὐχ οἷοί τε ἐγένοντο ἀπαναισχυντῆσαι, παρασχόμενοι μάρτυρα, ὡς ἐγὼ ποτέ τινα ἢ ἐπραξάμην μισθὸν ἢ ἤτησα. Ἱκανὸν γάρ, οἶ- 12
μαι, ἐγὼ παρέχομαι τὸν μάρτυρα ὡς ἀληθῆ λέγω, τὴν πενίαν.

ιθ'. Ἴσως ἂν οὖν δόξειεν ἄτοπον εἶναι, ὅτι δὴ ἐγὼ ἰδίᾳ μὲν τοῦτα ξυμβουλεύω περιιὼν καὶ πολυπραγμονῶν, δημοσίᾳ δὲ οὐ τολμῶ ἀναβαίνων εἰς τὸ πλῆθος τὸ ὑμέτερον ξυμβουλεύειν τῇ πόλει. Τούτου δὲ αἴτιόν ἐστιν ὃ ὑμεῖς ἐμοῦ πολλάκις ἀκηκόατε πολ- 2
λαχοῦ λέγοντος, ὅτι μοι θεῖόν τι καὶ δαιμόνιον γίγνεται [φωνή]· ὃ δὴ καὶ ἐν τῇ γραφῇ ἐπικωμῳδῶν Μέλητος ἐγράψατο. Ἐμοὶ δὲ 3
τοῦτό ἐστιν ἐκ παιδὸς ἀρξάμενον, φωνή τις γιγνομένη· ἣ ὅταν γένηται, ἀεὶ ἀποτρέπει με τούτου ὃ ἂν μέλλω πράττειν, προτρέπει δὲ οὔποτε. Τοῦτό ἐστιν ὅμοι ἐναντιοῦται, τὰ πολιτικὰ πράτ- 4
τειν· καὶ παγκάλως δέ μοι δοκεῖ ἐναντιοῦσθαι. Εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ πάλαι ἐπεχείρησα πράττειν τὰ πολιτικὰ πράγματα, πάλαι ἂν ἀπολώλειν, καὶ οὔτ' ἂν ὑμᾶς ὠφελήκειν οὐδέν, οὔτ' ἂν ἐμαυτόν. Καί μοι μὴ ἄχθεσθε λέγοντι τἀληθῆ. 5

---

8. Τάχ' ἂν) Ἐνταῦθα κατὰ μετοχήν, καὶ ῥῆμα ἐχρήσατο τῷ ἄν, τὴν δυσχέρειαν τοῦ πράγματος ἐμφαίνοντι, διὰ ταῦτα καὶ κόμμασι, καὶ ὑπερβατοῖς ἐχρήσατο. — Ἂν ἀποκτείναιτε) Πρὸς ὑποπτατικὸν ὁ Ἂν διὰ τὸ μέλλον τοῦ πράγματος.

9. Οἷος . . . δεδόσθαι) Τὸ ἀναφορικὸν Οἷος προηγουμένου τοῦ ἀνταποδοτικοῦ ἐπιτατικῶς πρὸς ὀπαρέμφατον φέρεται κατὰ τὸ Οὕτως, ὥστε.

10. Τὸ δὲ ὑμέτερον) Καὶ τὸ ἐνασχολεῖσθαι ἀεὶ εἰς τὸ ὑμέτερον συμφέρον.

11. Ἀπαναισχυντῆται) Θωμᾶς Μάγιστρ. Ἀπαναισχυντῶ, καὶ ἀπαναιδεύομαι Ἀττικοί, οὐ χωρὶς τῆς προθέσεως.

ιθ'. 2. Ὅτι μοι θεῖον) Ὅτι δὴ μοὶ γίγνεται φωνή τις οὖσα θεῖόν τι καὶ δαιμόνιον πρᾶγμα.

3. Φωνή τις γιγνομένη) Ἐπεξήγησις τοῦ Τοῦτο· ὡς εἰ ἔλεγε. Φωνή τις δηλονότι γιγνομένη μοί ἐστιν, ἥτις καὶ τλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Οὐ γάρ ἐστιν ὅστις ἀνθρώπων σωθήσεται, οὔτε ὑμῖν οὔτε ἄλλῳ οὐδενὶ πλήθει γνησίως ἐναντιούμενος, καὶ διακωλύων πολλὰ ἄδικα καὶ παράνομα ἐν τῇ πόλει γίγνεσθαι· ἀλλ' ἀναγκαῖόν ἐστι τὸν τῷ ὄντι μαχούμενον ὑπὲρ τοῦ δικαίου, καὶ εἰ μέλλει ὀλίγον χρόνον σωθήσεσθαι, ἰδιωτεύειν, ἀλλὰ μὴ δημοσιεύειν.

κ'. Μεγάλα δ' ἔγωγε ὑμῖν τεκμήρια παρέξομαι τούτων, οὐ
2 λόγους, ἀλλ', ὃ ὑμεῖς τιμᾶτε, ἔργα. Ἀκούσατε δή μοι τὰ ξυμβεβηκότα, ἵνα εἰδῆτε ὅτι οὐδ' ἂν ἑνὶ ὑπεικάθοιμι παρὰ τὸ δέον δείσας θάνατον· μὴ ὑπείκων δὲ ἅμα καὶ ἅμ' ἂν ἀπολοίμην. Ἐρῶ
3 δὲ ὑμῖν φορτικὰ μὲν καὶ δικανικά, ἀληθῆ δέ. Ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ἄλλην μὲν ἀρχὴν οὐδεμίαν πώποτε ἦρξα ἐν τῇ πόλει, ἐβούλευσα δέ· καὶ ἔτυχεν ἡμῶν ἡ φυλὴ Ἀντιοχὶς πρυτανεύουσα, ὅτε ὑμεῖς τοὺς δέκα στρατηγοὺς, τοὺς οὐκ ἀνελομένους τοὺς ἐκ τῆς ναυμαχίας, ἐβουλεύσασθε ἀθρόους κρίνειν,
4 παρανόμως, ὡς ἐν τῷ ὑστέρῳ χρόνῳ πᾶσιν ὑμῖν ἔδοξε. Τότ' ἐγὼ μόνος τῶν πρυτάνεων ἠναντιώθην ὑμῖν μηδὲ ποιεῖν παρὰ τοὺς νόμους, καὶ ἐναντία ἐψηφισάμην· καὶ ἑτοίμων ὄντων ἐνδεικνύναι με καὶ ὑπάγειν τῶν ῥητόρων, καὶ ὑμῶν κελευόντων καὶ βοώντων, μετὰ τοῦ νόμου καὶ τοῦ δικαίου ᾤμην μᾶλλόν με δεῖν διακινδυνεύειν, ἢ μεθ' ὑμῶν γενέσθαι μὴ δίκαια βουλευομένων, φο-
5 βηθέντα δεσμὸν ἢ θάνατον. Καὶ ταῦτα μὲν ἦν ἔτι δημοκρατουμένης τῆς πόλεως· ἐπειδὴ δὲ ὀλιγαρχία ἐγένετο, οἱ τριάκοντα αὖ μεταπεμψάμενοί με πέμπτον αὐτὸν εἰς τὴν Θόλον, προσέταξαν

5. Οὐ γάρ ἐστιν ὅς τις) Ἀντὶ οὐδεὶς ἀνθρώπων ἐναντιούμενος ὑμῖν, ἢ ἄλλῳ τινὶ πλήθει, σωθήσεται. — Τῷ ὄντι) Ἐπιρρηματικῶς λαμβάνεται ἀντὶ πάντως. ἔστι δὲ ὁ τοιοῦτος κατ' ἔλλειψιν τῆς Ἐν. Τοιοῦτον ἐστὶ καὶ τὸ παρ' ἡμῖν τῇ ἀληθείᾳ, ἔλλειψιν δηλ. ἔχει τῆς Ἐν. — Μαχούμενον.) Ἀριστολογικῶς ἀντὶ τοῦ, ὅς τις ἂν.

κ'. 2. Μὴ ὑπείκων δὲ) Καὶ ἅμα οὖν μὴ ὑπείκων οὐδενὶ περὶ τὸ δίκαιον, ἅμα ἂν ἀπολοίμην διὰ τοῦτο· τὸ δὲ διπλοῦν ἅμα σύνηθες· καὶ γὰρ Ξενοφῶν Κύρ. Παιδ. Γ'. ἀ. 15. Ὅρα, μὴ ἅμα τε εὖ ποιήσῃς, καὶ ἅμα οὐ φίλον νομίσωσί σε.

3. Ἐβούλευσα δὲ) Εἴς δηλ. ἐγενόμην τῆς βουλῆς τῶν πεντακοσίων· τοῦτο γὰρ δηλοῖ τὸ βουλεύειν· ὡς δηλ. ἐκ τῶν Ξενοφ. Ἀπομν. Α'. ἀ. 8. καὶ Δημοσθ. περὶ Στεφ. Β'. — Καὶ ἔτυχεν) Ὁ Καὶ ἀντὶ τοῦ Γάρ. — Πρυτανεύουσα) Δέκα ἦσαν αἱ φυλαὶ ἐν Ἀθήναις· Πανδιονίς, Λεοντίς, Ἀντιοχίς, Κεκροπίς, Ἐρεχθηΐς, Αἰγηΐς, Ἀκαμαντίς, Ἱπποθωντίς, Αἰαντίς, Οἰνηΐς, ἐξ ἑκάστης τούτων ἐξελέγοντο ἀνὰ πεντήκοντα, καὶ τὸ σύμπαν ἐκαλεῖτο Βουλὴ τῶν πεντακοσίων. Ἐκ τούτων κατὰ μῆνα ἕκαστον προήδρευον ἐν τῷ συνεδρίῳ πεντήκοντα, κλῆρῳ, ἀπὸ μιᾶς φυλῆς. Οὗτοι δὲ ἐκαλοῦντο Πρυτάνεις· ἐπρυτάνευον δὲ ἡμέρας τριάκοντα καὶ πέντε· καὶ ὁ μὲν οὗτος ἐκαλεῖτο Πρυτανεία. — Κρίνειν παρανόμως) Περικλῆς, Διομέδων, Λυσίας Ἀριστοκράτης, Θρασύλος, Εὐφαντιδῆς, Πρωτόμαχος Ἀριστογένης, Κόνων, Καλλικρατίδας, οὗτοι ἦσαν οἱ δέκα στρατηγοί· Οἱ περὶ Λέσβον ναυμαχήσαντες Λακεδαιμονίοις, καὶ διώξαντες τοὺς πολεμίους· ἐπεὶ δὲ διὰ τὸν χειμῶνα μέγαν γενόμενον οὐκ ἠδυνήθησαν ἀνελεῖν τοὺς ναυαγοὺς, βοῶντος τοῦ δήμου κατηγορούντος Καλλιξένους, οἱ Πρυτάνεις, φοβηθέντες ἐψηφίζοντο ἀνελεῖν τοὺς δέκα τούτους στρατηγοὺς· μόνος δὲ Σωκράτης ὁ Σωφρονίσκου, οὐκ ἔφη, ἢ κατὰ νόμους ποιήσειν. Ξενοφ. Ἑλλ. Α'. ζ'. ζ'.

5. Πέμπτον αὐτὸν) Ἰδίωμα καὶ τοῦτο Ἀττικὸν ἀντὶ τετάρτας ἄλλους καὶ ἐμὲ πέμπτον· λέγουσι γὰρ πέμπτον αὐτὸν,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀγαγεῖν ἐκ Σαλαμῖνος Λέοντα τὸν Σαλαμίνιον, ἵνα ἀποθάνοι οἷα δὴ καὶ ἄλλοις ἐκεῖνοι πολλοῖς πολλὰ προσέταττον, βουλόμενοι ὡς πλείστους ἀναπλῆσαι αἰτιῶν. Τότε μέν τοι ἐγὼ οὐ λόγῳ ἀλλ' 6
ἔργῳ αὖ ἀνεδειξάμην, ὅτι ἐμοὶ μὲν θανάτου μέλει (εἰ μὴ ἀγροικότερον ἦν εἰπεῖν) οὐδ' ὁτιοῦν· τοῦ δὲ μηδὲν ἄδικον μηδ' ἀνόσιον ἐργάζεσθαι, τούτου δὲ τὸ πᾶν μέλει. Ἐμὲ γὰρ ἐκείνη ἡ 7
ἀρχὴ οὐκ ἐξέπληξεν οὕτως ἰσχυρὰ οὖσα, ὥστε ἄδικόν τι ἐργασασθαι· ἀλλ' ἐπειδὴ ἐκ τῆς Θόλου ἐξήλθομεν, οἱ μὲν τέτταρες ᾤχοντο εἰς Σαλαμῖνα καὶ ἤγαγον Λέοντα, ἐγὼ δὲ ᾠχόμην ἀπιὼν οἴκαδε. Καὶ ἴσως ἂν διὰ ταῦτα ἀπέθανον, εἰ μὴ ἡ ἀρχὴ 8
διὰ ταχέων κατελύθη. Καὶ τούτων ὑμῖν ἔσονται πολλοὶ μάρτυρες.

κά. Ἆρ' οὖν με οἴεσθε τοσάδε ἔτη διαγενέσθαι, εἰ ἔπραττον τὰ δημόσια, καὶ πράττων ἀξίως ἀνδρὸς ἀγαθοῦ, ἐβοήθουν τοῖς δικαίοις, καί, ὥσπερ χρή, τοῦτο περὶ πλείστου ἐποιούμην; Πολλοῦ γε δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι· οὐδὲ γὰρ ἂν ἄλλος ἀνθρώπων οὐδείς. Ἀλλ' ἐγὼ διὰ παντὸς τοῦ βίου, δημοσίᾳ τε εἰ πού τι ἔπραξα, 2
τοιοῦτος φανοῦμαι, καὶ ἰδίᾳ ὁ αὐτὸς οὗτος, οὐδενὶ πώποτε ξυγχωρήσας οὐδὲν παρὰ τὸ δίκαιον οὔτε ἄλλῳ οὔτε τούτων οὐδενί, οὓς δὴ οἱ διαβάλλοντες ἐμέ φασιν ἐμοὺς μαθητὰς εἶναι. Ἐγὼ 3
δὲ διδάσκαλος μὲν οὐδενὸς πώποτ' ἐγενόμην· εἰ δέ τις ἐμοῦ λέγοντος, καὶ τὰ ἐμαυτοῦ πράττοντος, ἐπιθυμοῖ ἀκούειν, εἴτε νεώτερος, εἴτε πρεσβύτερος, οὐδενὶ πώποτε ἐφθόνησα. Οὐδὲ χρήματα μὲν λαμβάνων διαλέγομαι, μὴ λαμβάνων δέ, οὔ· ἀλλ' ὁμοίως καὶ πλουσίῳ καὶ πένητι παρέχω ἐμαυτὸν ἐρωτᾶν· καὶ ἐάν τις βούληται, ἀποκρινόμενος ἀκούει ὧν ἂν λέγω. Καὶ τούτων ἐγώ, 4
εἴτε τις χρηστὸς γίγνεται, εἴτε μή, οὐκ ἂν δικαίως τὴν αἰτίαν ὑπέχοιμι, ὧν μήτε ὑπεσχόμην μηδενὶ μηδὲν πώποτε μάθημα, μήτε

τον πρῶτον ἐννοῦσι μετὰ καὶ ἄλλων τεσσάρων σὺν αὐτῷ· οὕτως οὖν καὶ ἐπὶ παντὶ ἄλλῳ ἀριθμῷ — Εἰς τὴν Θόλον) Τίμαιος Γλωσσαρ. Πλάτων. Θόλος, οἶκος περιφερής, ἐν ᾧ οἱ Πρυτάνεις συνιστιῶντο Πουλυδ. Θ΄. Ἡ Θόλος, ἐν ᾗ συνεδείπνουν ἑκάστης ἡμέρας πεντήκοντα τῆς τῶν πεντακοσίων βουλῆς.

6. Τούτου δὲ τὸ πᾶν μέλει) Ἐμοὶ δηλ. μέλει περὶ τούτου τοῦ μηδὲν ἄδικον ἐργάζεσθαι κατὰ τὸ πᾶν ἅπασα δηλ. μου ἡ φροντὶς αὕτη ἐστὶ τὸ μηδὲν ἄδικον ἐργάζεσθαι.

8. Καὶ ἴσως ἄν) Φονευθεὶς δηλ. ὑπὸ τῶν τριάκοντα, ἐπειδὴ οὐχ ὑπήκουσα αὐτοῖς.

κά. Περὶ πλείστου ἐποιούμ.) Ἀντὶ προετιμῶν. —Πολλοῦ γε δεῖ) Οἱ Ἀττικοὶ ἀντὶ τοῦ εἰπεῖν οὐδαμῶς λέγουσι πολλοῦ γε καὶ δεῖ. Τοῦτο δὲ λέγεται, προκηρυσσομένης ἐρωτήσεως· Καὶ ἔστιν οἷον· πολλοῦ ἐλλειπές ἐστι τοῦτο γε. Ὅπερ ἐστὶν οὐπότε διεγενόμην τοσά δε ἔτη.

2. Ἐμοὺς μαθητάς) Ὑπαινίττεται ἐνταῦθα μάλιστα τὸν Ἀλκιβιάδην, καὶ Κριτίαν· οἵτινες ἦσαν πάντων Ἀθηναίων μαλιστα βιαιότατοι, καὶ ἀκρατέστατοι, τούτων καὶ ἄλλων ἐλλειμάτων τὴν ἐπιθυμίαν καὶ σπουδὴν εἰς τὴν διδασκαλίαν καὶ συνήθειαν Σωκράτους ἀνέφερον. Ξένοφ. Ἀπομν. Α΄. β΄. 12.

4. Τὴν αἰτίαν ὑπέχοιμι) Οὐκ ἂν δικαίως, κριθείην ὡς αἴτιος. Κατὰ τό δε οὖν τὸ σημαινόμενον λέγεται καὶ, Εὐθύνας ὑπέχειν καὶ δίκας ὑπέχειν ἀντὶ εὐθύνεσθαι καὶ δικάζεσθαι, καὶ λόγον ὑπέχειν ἀντὶ διδόναι λόγον περὶ ἀναλωμάτων, ἢ ἄλλων

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

5 ἐδίδαξα. Εἰ δὲ τίς φησι παρ᾽ ἐμοῦ πώποτε ἢ μαθεῖν ἢ ἀκοῦσαι ἰδίᾳ ὅ,τι μὴ καὶ οἱ ἄλλοι πάντες, εὖ ἴστε ὅτι οὐκ ἀληθῆ λέγει.

κδ᾽. Ἀλλὰ τί δήποτε μετ᾽ ἐμοῦ χαίρουσί τινες πολὺν χρόνον διατρίβοντες; ἀκηκόατε, ὦ ἄνδρες Ἀθηναῖοι· πᾶσαν ὑμῖν τὴν ἀλήθειαν ἐγὼ εἶπον, ὅτι ἀκούοντες χαίρουσιν ἐξεταζομένοις τοῖς οἰο-
2 μένοις μὲν εἶναι σοφοῖς, οὖσι δ᾽ οὔ. Ἔστι γὰρ οὐκ ἄσδεές. Ἐμοὶ δὲ τοῦτο, ὡς ἐγὼ φημι, προστέτακται ὑπὸ τοῦ θεοῦ πράττειν, καὶ ἐκ μαντείων, καὶ ἐξ ἐνυπνίων, καὶ παντὶ τρόπῳ, ᾧπερ τίς ποτε καὶ ἄλλη θεία μοῖρα ἀνθρώπῳ καὶ ὁτιοῦν προσέταξε πράττειν.
3 Ταῦτα, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἀληθῆ ἐστι καὶ εὐεξέλεγκτα. Εἰ γὰρ δὴ ἐγὼ τῶν νεωτέρων τοὺς μὲν διαφθείρω, τοὺς δὲ διέφθαρκα, χρὴν δήπου, εἴτε τινὲς αὐτῶν πρεσβύτεροι γενόμενοι ἔγνωσαν ὅτι νέοις οὖσιν αὐτοῖς ἐγὼ κακὸν πώποτέ τι ξυνεβούλευσα, νυνὶ αὐτοὺς ἀναβαίνοντας ἐμοῦ κατηγορεῖν καὶ τιμωρεῖσθαι· εἰ δὲ μὴ αὐτοὶ ἤθελον, τῶν οἰκείων τινὰς τῶν ἐκείνων, πατέρας καὶ ἀδελφοὺς καὶ ἄλλους τοὺς προσήκοντας, εἴπερ ὑπ᾽ ἐμοῦ κακόν τι
4 ἐπεπόνθεσαν οἱ οἰκεῖοι αὐτῶν, νῦν μεμνῆσθαι καὶ τιμωρεῖσθαι. Πάντως δὲ πάρεισι πολλοὶ αὐτῶν ἐνταυθοῖ, οὓς ἐγὼ ὁρῶ, πρῶτον μὲν Κρίτων οὗτοσί, ἐμὸς ἡλικιώτης καὶ δημότης, Κριτοβούλου τοῦδε πατήρ· ἔπειτα Λυσανίας ὁ Σφήττιος, Αἰσχίνου τούτου πα-
5 τήρ· ἔτι δ᾽ Ἀντιφῶν ὁ Κηφισιεὺς οὗτοσί, Ἐπιγένους πατήρ. Ἄλλοι τοίνυν οὗτοι, ὧν οἱ ἀδελφοὶ ἐν ταύτῃ τῇ διατριβῇ γεγόνασι, Νικόστρατος ὁ Ζωτίδου, ἀδελφὸς Θεοδότου· (καὶ ὁ μὲν Θεόδοτος τετελεύτηκεν, ὥστε οὐκ ἂν ἐκεῖνός γε αὐτοῦ καταδεηθείη·) καὶ Πάραλος ὅδε ὁ Δημοδόκου, οὗ ἦν Θεάγης ἀδελφός· ὅδε τε Ἀδείμαντος ὁ Ἀρίστωνος, οὗ ἀδελφὸς οὗτοσὶ Πλάτων, καὶ Αἰαντόδω-
6 ρος, οὗ Ἀπολλόδωρος ὁ ἀδελφός. Καὶ ἄλλους πολλοὺς ἔγωγ᾽ ἔχω ὑμῖν εἰπεῖν, ὧν τινα ἐχρῆν μάλιστα μὲν ἐν τῷ ἑαυτοῦ λόγῳ παρέχεσθαι Μέλιτον μάρτυρα· εἰ δὲ τότε ἀπελάθετο, νῦν παρα-
7 σχέσθω, (ἐγὼ παραχωρῶ,) καὶ λεγέτω εἴ τι ἔχει τοιοῦτον. Ἀλλὰ τούτου πάν τοὐναντίον, εὑρήσετε, ὦ ἄνδρες, πάντας ἐμοὶ βοηθεῖν ἑτοίμους, τῷ διαφθείροντι, τῷ κακὰ ἐργαζομένῳ τοὺς οἰ-
8 κείους αὐτῶν, ὥς φασι Μέλιτος καὶ Ἄνυτος. Αὐτοὶ μὲν γὰρ οἱ διεφθαρμένοι τάχ᾽ ἂν λόγον ἔχοιεν βοηθοῦντες· οἱ δὲ ἀδιάφθαρ-

---

τινῶν· φράσεις γὰρ τὰ τοιαῦτα Ἕλληνες.

5. Ὅ,τι μὴ) Ἄλλο τι μαθεῖν, ἢ ἀκοῦσαι· ὅ,τι μὴ ἐμαθον, ἢ ἤκουσαν καὶ οἱ ἄλλοι πάντες.

κδ᾽. 2. Προσέταξε πράττειν) Ἡ σύνταξις· ὥ τινι τρόπῳ καὶ ἄλλη τίς ποτε θεία μοῖρα προσέταξέ τινι ἀνθρώπῳ πράττειν, καὶ ὅ,τι δήποτοῦν ἄλλο ἐκτος τούτου, ὁ προσέταξεν ἐμοὶ πράττειν.

3. Ἐπεπόνθεσαν) Ἀττικῶς ἀντὶ ἐπεπόνθεισαν. — Μεμνῆσθαι) Πρὸς τὸ χρῆν ἀναφέρεται τὰ ἀπαρέμφατα ταῦτα.

4. Καὶ δημώτης) Ὁ ἐκ τοῦ αὐτοῦ δήμου ὤν. Δῆμος δὲ ἐκαλεῖτο παρ᾽ Ἀθηναίοις, ὁ παρὰ τοῖς ἄλλοις Ἕλλησιν ἐλέγετο κώμη.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοι, πρεσβύτεροι ἤδη ἄνδρες, οἱ τούτων προσήκοντες, τίνα ἄλλον λόγον ἔχουσι βοηθοῦντες ἐμοί, ἀλλ' ἢ τὸν ὀρθόν τε καὶ δίκαιον, ὃν ξυνίασι Μελίτῳ μὲν ψευδομένῳ, ἐμοὶ δὲ ἀληθῆ λέγοντες; Εἶεν 9
δή, ὦ ἄνδρες· ἃ μὲν ἐγὼ ἔχοιμ' ἂν ἀπολογεῖσθαι, σχεδόν τι ἐστὶ ταῦτα, καὶ ἄλλα ἴσως τοιαῦτα.

κγ'. Τάχα δ' ἄν τις ὑμῶν ἀγανακτήσειεν, ἀναμνησθεὶς ἑαυτοῦ, εἰ ὁ μὲν καὶ ἐλάττω τουτουὶ τοῦ ἀγῶνος ἀγῶνα ἀγωνιζόμενος δεδέηταί τε καὶ ἱκέτευσε τοὺς δικαστὰς μετὰ πολλῶν δακρύων, παιδία τε αὐτοῦ ἀναβιβασάμενος, ἵνα ὅτι μάλιστα ἐλεηθείη, καὶ ἄλλους τῶν οἰκείων καὶ φίλους πολλούς· ἐγὼ δὲ οὐδὲν ἄρα τούτων ποιήσω, καὶ ταῦτα, κινδυνεύων, ὡς ἂν δόξαιμι, τὸν ἔσχατον κίν-
δυνον. Τάχ' ἂν οὖν τις ταῦτα ἐννοήσας, αὐθαδέστερον ἂν πρός 2
με σχοίη, καὶ ὀργισθεὶς αὐτοῖς τούτοις, θοίτο ἂν μετ' ὀργῆς τὴν ψῆφον. Εἰ δή τις ὑμῶν οὕτως ἔχει, (οὐκ ἀξιῶ μὲν ἔγωγε·) 3
εἰ δ' οὖν, ἐπιεικῆ ἄν μοι δοκῶ πρὸς τοῦτον λέγειν, λέγων, ὅτι
«Ἐμοί, ὦ ἄριστε, εἰσὶ μέν πού τινες καὶ οἰκεῖοι.» Καὶ γὰρ τοῦτο 4
αὐτὸ τὸ τοῦ Ὁμήρου, «Οὐδ' ἐγὼ ἀπὸ δρυὸς, οὐδ' ἀπὸ πέτρης πέφυκα, ἀλλ' ἐξ ἀνθρώπων.» Ὥστε καὶ οἰκεῖοί μοι εἰσι, καὶ υἱεῖς γε, 5
ὦ ἄνδρες Ἀθηναῖοι, τρεῖς· εἷς μὲν μειράκιον ἤδη· δύο δὲ παιδία· ἀλλ' ὅμως οὐδένα αὐτῶν δεῦρο ἀναβιβασάμενος, δεήσομαι ὑμῶν ἀποψηφίσασθαι. Τί δὴ οὖν οὐδὲν τούτων ποιήσω; οὐκ αὐ- 6
θαδιαζόμενος, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδ' ὑμᾶς ἀτιμάζων· ἀλλ' εἰ μὲν θαρραλέως ἐγὼ ἔχω πρὸς θάνατον, ἢ μή, ἄλλος λόγος· πρὸς δ' οὖν δόξαν καὶ ἐμοί, καὶ ὑμῖν, καὶ ὅλως τῇ πόλει, οὔ μοι δοκεῖ καλὸν εἶναι ἐμὲ τούτων οὐδὲν ποιεῖν, καὶ τηλικόνδε ὄντα, καὶ τοῦτο τοὔνομα ἔχοντα, εἴτ' οὖν ἀληθὲς εἴτ' οὖν ψεῦδος.
Ἀλλ' οὖν δε δογμένον γέ ἐστι, τὸν Σωκράτην διαφέρειν τινὶ τῶν 7
πολλῶν ἀνθρώπων. Εἰ οὖν ὑμῶν οἱ δοκοῦντες διαφέρειν εἴτε σοφίᾳ, εἴτε ἀνδρείᾳ, εἴτε ἄλλῃ ἡτινιοῦν ἀρετῇ, τοιοῦτοι ἔσονται, αἰ-

---

8. Οἱ τούτων προσήκοντες) Κτητικῶς κατὰ τὰ πρός τι· οὕτω καὶ Θουκυδ. Α'. ρκή. Βασιλέως προσήκοντές τινες.

9 Σχεδόν τι) Τό τι περιττῶς κεῖται ὑποστέλλων τὸ τοῦ σχεδὸν σημαινόμενον.

κγ'. Ἵνα .. ἐλεηθείη) Ἀπὸ παρωχημένου ὁ Ἵνα πρὸς εὐκτικὸν φέρεται. Σημείωσαι δὲ ὅτι, ὅτε τινὲς ἔφευγον δίκην ἐν Ἀθήναις ἀπολογούμενοι, τέλος εἰς εἰς οἶκτον κινήσωσι τοὺς δικαστὰς, ἐδάκρυον, καὶ παῖδας ἀνεβίβαζον, καὶ ἄλλους τῶν οἰκείων καὶ φίλων πολλοὺς ἱκετεύοντας ὑπὲρ αὐτοῦ. — Οὐδὲν ἄρα) Ὁ ἄρα τοῦ Ἔοικε σημαντικός. — Καὶ ταῦτα) Οὐ ποιήσω δηλ.

3. Εἰ δή τις) Ἐὰν τις ὑμῶν τοιαύτην ἔχῃ γνώμην, πάντως οὐ βούλομαι πρὸς αὐτὸν λέγειν τι.

4. Τὸ τοῦ Ὁμ.) Ἰλ. Χ. στίχ. 126.

6. Τί δὴ οὖν) Διὰ τί οὖν; — Αὐθαδιαζόμενος) Φρύνιχ. φησίν. Αὐθαδίζεσθαι λέγε, μὴ ἀναιδεύεσθαι· καὶ Θωμ. Μαγιστρ. Ἀπαυθαδίζομαι κάλλιον, ἢ αὐθαδιάζομαι. Φαβωρῖν. Ἀπαυθαδιάζομαι κάλλιον, ἢ αὐθαδιάζομαι.

7. Εἰ οὖν ὑμῶν) Οἷον· Αἰσχρὸν ἂν εἴη, εἰ οἱ δοκοῦντες ἔσονται τοιοῦτοι, οἷους ἐγώ τινας ἑώρακα, ὅταν κρίνωνται· οἵτινες δοκοῦσι μὲν ὅτι εἰσί τι, ἐργάζονται δὲ θαυμάσια· εἴτ' οἴονται πείσεσθαι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σχρὸν ἂν εἴη· οἷους περ ἐγὼ πολλάκις ἑώρακά τινας, ὅταν κρίνωνται, δοκοῦντας μέν τι εἶναι, θαυμάσια δὲ ἐργαζομένους, ὡς δεινόν τι οἰομένους πείσεσθαι εἰ ἀποθανοῦνται, ὥσπερ ἀθανάτων ἐσομένων ἐὰν ὑμεῖς αὐτοὺς μὴ ἀποκτείνητε. Οἱ ἐμοὶ δοκοῦσιν αἰσχύνην τῇ πόλει περιάπτειν, ὥστ' ἄν τινα καὶ τῶν ξένων ὑπολαβεῖν ὅτι οἱ διαφέροντες Ἀθηναίων εἰς ἀρετήν, οὓς αὐτοὶ ἑαυτῶν ἔν τε ταῖς ἀρχαῖς καὶ ταῖς ἄλλαις τιμαῖς προκρίνουσιν, οὗτοι γυ-
8 ναικῶν οὐδὲν διαφέρουσι. Ταῦτα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, οὔτε ὑμᾶς χρὴ ποιεῖν τοὺς δοκοῦντας καὶ ὁπητιοῦν εἶναι, οὔτ' ἂν ἡμεῖς ποιῶμεν, ὑμᾶς ἐπιτρέπειν· ἀλλὰ τοῦτο αὐτὸ ἐνδείκνυσθε, ὅτι πολὺ μᾶλλον καταψηφιεῖσθε τοῦ τὰ ἐλεεινὰ ταῦτα δράματα εἰσάγοντος, καὶ καταγέλαστον τὴν πόλιν ποιοῦντος, ἢ τοῦ ἡσυχίαν ἄγοντος.

κδ'. Χωρὶς δὲ τῆς δόξης, ὦ ἄνδρες, οὐδὲν δίκαιον δοκεῖ εἶναί μοι δεῖσθαι τοῦ δικαστοῦ, οὐδὲ δεόμενον ἀποφεύγειν, ἀλλὰ δι-
2 δάσκειν καὶ πείθειν. Οὐ γὰρ ἐπὶ τούτῳ κάθηται ὁ δικαστής, ἐπὶ τῷ καταχαρίζεσθαι τὰ δίκαια, ἀλλ' ἐπὶ τῷ κρίνειν ταῦτα· καὶ ὀμώμοκεν οὐ χαριεῖσθαι οἷς ἂν δοκῇ αὐτῷ, ἀλλὰ δικάσειν κατὰ τοὺς νόμους. Οὐκοῦν χρὴ οὔτε ἡμᾶς ἐθίζειν ὑμᾶς ἐπιορκεῖν, οὐθ'
3 ὑμᾶς ἐθίζεσθαι. Οὐδέτεροι γὰρ ἂν ἡμῶν εὐσεβοῖεν. Μὴ οὖν ἀξιοῦτέ με, ὦ ἄνδρες Ἀθηναῖοι, τοιαῦτα δεῖν πρὸς ὑμᾶς πράττειν, ἃ μήτε ἡγοῦμαι καλὰ εἶναι, μήτε δίκαια, μήτε ὅσια, μάλιστα πάντως, νὴ Δία μέν τοι καὶ ἀσεβείας φεύγοντα ὑπὸ Με-
4 λίτου τουτουί. Σαφῶς γὰρ ἂν εἰ πείθοιμι ὑμᾶς καὶ τῷ δεῖσθαι βιαζοίμην ὀμωμοκότας, θεοὺς ἂν διδάσκοιμι μὴ ἡγεῖσθαι ὑμᾶς εἶναι· καὶ ἀτεχνῶς ἀπολογούμενος κατηγοροίην ἂν ἐμαυτοῦ ὡς
5 θεοὺς οὐ νομίζω. Ἀλλὰ πολλοῦ δεῖ οὕτως ἔχειν· νομίζω τε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς οὐδεὶς τῶν ἐμῶν κατηγόρων, καὶ ὑμιν ἐπιτρέπω καὶ τῷ θεῷ, κρίναι περὶ ἐμοῦ ὅπῃ μέλλει ἐμοί τε ἄριστα εἶναι καὶ ὑμῖν.

κε. Τὸ μὲν οὖν μὴ ἀγανακτεῖν, ὦ ἄνδρες Ἀθηναῖοι, ἐπὶ τούτῳ τῷ γεγονότι, ὅτι μου κατεψηφίσασθε, ἄλλα τέ μοι πολλὰ ξυμ-

---

μέγα δεινὸν, εἰ ἀποθ. — Ὥσπερ ἀθανάτων) Ἀπολύτως· τό δε Ὥσπερ ἀντὶ τοῦ Ὡς εἰκαστικόν.

— Ὥστ' ἄν τινα) Ὥστε καὶ ξένος ἄν τις ὑπολάβοι· ὅτι καὶ τλ.

8. Ὑμᾶς ἐπιτρέπειν) Οὔτε χρὴ ἐν' ὑμεῖς ἐπιτρέπητε ἡμᾶς, ἐὰν ποιῶμεν ταῦτα, ὅτα δηλ. αἰσχύνην περιάπτει τῇ πόλει. — Ἡσυχίαν ἄγοντος) Περιφραστικὴ φράσις· ἀντὶ Ἡσυχάζοντος.

κδ'. 2. Καὶ ὀμώμοκ.) Πολυδ. Η'. Ὁ δὲ ὅρκος ἦν τῶν δικαστῶν περὶ μὲν ὧν νόμοι εἰσὶ, κατὰ τοὺς νόμους ψηφιεῖσθαι· περὶ δὲ ὧν μὴ εἰσὶ, σὺν γνώμῃ δικαιοτάτῃ. — Οἷς ἂν δοκῇ) Χαριεῖσθαι δὴν.

3. καὶ ἀσεβείας φεύγοντα) Καὶ ὡς ἀσεβῆ κρινομένον με, ἢ κατηγορούμενον.

5. Νομίζω τε) Ἐγὼ νομίζω θεοὺς εἶναι· ὑπὲρ πάντα κατήγορόν μου, καὶ ὑμῖν ἐπιτρέπω νομίζειν θεοὺς εἶναι, καὶ κρίναι περὶ ἐμοῦ ὅποι τῷ θεῷ μέλει ὡς ἐστὶν ἄριστα ἐμοί τε καὶ ὑμῖν.

κε. Τὸ μὲν οὖν μὴ) Πρὸς μὲν οὖν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θάλλεται, καὶ οὐκ ἀνέλπιστόν μοι γέγονε τὸ γεγονὸς τοῦτο· ἀλλὰ πολὺ μᾶλλον θαυμάζω ἑκατέρων τῶν ψήφων τὸν γεγονότα ἀριθμόν. Οὐ γὰρ ᾤμην ἔγωγε οὕτω παρ' ὀλίγον ἔσεσθαι, ἀλλὰ παρὰ πολύ. Νῦν δέ, ὡς ἔοικεν, εἰ τρεῖς μόναι μετέπεσον τῶν ψήφων, ἀπεπεφεύγειν ἄν. Μέλιτον μὲν οὖν, ὡς ἐμοὶ δοκῶ, καὶ νῦν ἀποπέφευγα, καὶ οὐ μόνον ἀποπέφευγα, ἀλλὰ καὶ παντὶ δῆλον τοῦτό γε, ὅτι εἰ μὴ ἀνέβη Ἄνυτος καὶ Λύκων κατηγορήσοντες ἐμοῦ, κἂν ὤφλε χιλίας δραχμάς, οὐ μεταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων.

κς. Τιμᾶται δ' οὖν μοι ὁ ἀνὴρ θανάτου. Εἶεν. Ἐγὼ δὲ δὴ τίνος ὑμῖν ἀντιτιμήσομαι, ὦ ἄνδρες Ἀθηναῖοι; ἢ δῆλον ὅτι τῆς ἀξίας. Τί οὖν; τί ἄξιός εἰμι παθεῖν ἢ ἀποτίσαι, ὅτι μαθὼν ἐν τῷ βίῳ οὐχ ἡσυχίαν ἦγον, ἀλλ' ἀμελήσας ὧν περ οἱ πολλοί, χρηματισμοῦ τε καὶ οἰκονομίας καὶ στρατηγιῶν καὶ δημηγοριῶν, καὶ τῶν ἄλλων ἀρχῶν καὶ ξυνωμοσιῶν, καὶ στάσεων τῶν ἐν τῇ πόλει γιγνομένων, ἡγησάμενος ἐμαυτὸν τῷ ὄντι ἐπιεικέστερον εἶναι,

τὸ μὴ ἀναγκάζειν. — Ἑκατέρων τῶν ψήφων) Τῶν τε λευκῶν καὶ μελαίνων· Ὅτε γὰρ ἐκρίνετο τις ἐν Ἀθήναις, ἐπὶ ψηφιδίοις ἔγραφον τοὔνομα οἱ μὲν μελαίναις, οἱ δὲ λευκαῖς, καθ' ἣν ἕκαστος ἔτυχεν ἔχων ἤτοι γνώμην πρὸς τὸν κρινόμενον, ἢ κρίσιν πρὸς τὴν αἰτίαν, καὶ ἐτίθουν ἐν δυσὶ καδίσκοις ἐν μέσῳ κειμένοις, οὕτως ἔχουσιν, ὥστε τὸν τιθέντα μὴ δύνασθαι πλέον μιᾶς ἀντιθέναι· ταύτας δ' ἔπειτα ἠρίθμουν οἱ κοιταί· καὶ εἰ μὲν ἴσαι ἦσαν, ὁ φεύγων ἐνίκα· εἰ δὲ πλείους τοῦ διώκοντος, οὗτος ἐνίκα.

2. Εἰ τρεῖς μόναι) Ὅπερ ἐστὶ ἓξ πλείους ἦσαν αἱ καταδικάζουσαι· καὶ γὰρ, τρεῖς εἰ μετέπιπτον εἰς τὸ μέρος τοῦ Σωκράτους, εἶσαν ἂν ἴσαι· καὶ ἐνίκα Σωκράτης. Καὶ γὰρ Εὐριπ. Ἠλέκτρ. στίχ. 1265. φησίν.

Ἴσαι δὲ σ' ἐκσώζουσι μὴ θανεῖν δίκῃ
Ψῆφοι τεθεῖσαι. Λοξίας γὰρ αἰτίαν
Εἰς αὐτὸν οἴσει, μητέρος χρήσας φόνου.
Καὶ τοῖσι λοιποῖς ὅδε νόμος τεθείσεται.
Νικᾶν ἴσαις ψήφοισι τὸν φεύγοντ' ἀεί.

3. Κἂν ὤφλε) Πάντως ἂν ἀπεδίδου χιλίας δραχμάς· καὶ γὰρ νόμος ἦν. Ἐάν τίς τινα φήνας, ἢ γραψάμενος γραφάς, μὴ ἐπεξίῃ, ἢ ἐπεξιὼν, μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψηφων, χιλίας ἀποτίειν· καὶ τὸ λοιπον μὴ φαίνειν, μηδὲ γράφεσθαι· μηδ' ἀπαγειν, μηδ' ἐγγεῖσθαι. Δημοσθ. ἐν Θεοκρίν. — Τὸ πέμπτον μέρος) Ὁ μὲν Λαέρτιος φησὶν Β, 41. Ὅτ' οὖν κατεδικάσθη διακοσίαις ὀγδοήκοντα μιᾷ πλείοσι ψήφοις τῶν ἀπολουσόντων· ὁ δὲ Πλάτων ὅτι εἰ τρεῖς μόναι μετέπεσον ἀπεπεφεύγει ἂν· ἀπέλυον δὲ εἰ ἴσαι ἦσαν, ὡς εἴρηται· φανερὸν ὅτι αἱ πᾶσαι ψῆφοι ἦσαν πεντακόσιαι πεντήκοντα ἕξ. Ἐπεὶ δ' αὖ Σωκράτης φησὶν ὅτι καὶ Ἄνυτος καὶ Λύκων κατηγόρησαν αὐτοῦ, ἕκαστος δὲ τῶν κατηγόρων ὤφειλε τὸ πέμπτον μέρος τῶν ψήφων μεταλαβεῖν, ἵνα μὴ τὰς χιλίας δραχμὰς ἐκτείνῃ· τὸ δὲ πέμπτον τῶν πεντακοσίων πεντήκοντα ἕξ ἐστὶν ἑκατὸν ἕνδεκα· οἱ τρεῖς ἄρα ὤφειλεν ἔχειν ψῆφους τριακοσίας τριάκοντα τρεῖς· ἀλλ' ἕρερον κατὰ Λαέρτιον, διακοσίας ὀγδοήκοντα μίαν, ἀπὸ τούτων ἀφαιρεθήτωσαν αἱ τοῦ Ἀνύτου, καὶ Λύκωνος διακόσιαι εἰκοσιεδύο, καὶ τὸ λοιπὸν πεντήκοντα ἐννέα, εἰσὶν αἱ τοῦ Ἀνύτου ψῆφοι μὴ οὖσαι τὸ πέμπτον μέρος.

κς. Τιμᾶται δ' οὖν μοι ὁ ἀνὴρ θανάτ.) Ἀντὶ, τίμημα ἔθειτο, ἵνα ἀποθάνω. — Ἐγὼ δὴ δὴ τίνος) Ἐγὼ οὖν τί ἀντεδώσω ἡμῖν ἄξιον τούτου τοῦ τιμήματος; ἢ δῆλον ὅτι τῆς ἀξίας ἀντιτιμήσομαι ὑμῖν τιμῆς. Καὶ ἔστιν ὁ Ἠλυτικὸς ἐπακολουθῶν ἐρωτήσει.

2. Τί οὖν) Τί οὖν φατέ; — Τί ἄξιος εἰμι) Ἐπεξήγησις τρόπον τινὰ τοῦ Ἀντιτιμᾶσθαι. — Οὐχ ἡσυχίαν ἦγον) Ἐπειδὴ μαθών τι ἐν τῷ βίῳ οὐχ ἡσύχαζον. — Ὧν περ οἱ πολλοί) Ἀμελοῦσιν· εἰρωνικῶς δὲ τοῦτο, ἀντὶ τοῦ, ὧν περ οἱ πολλοὶ μάλιστα πάντων ἐπιμέλονται·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἢ ὥστε εἰς ταῦτα ἰόντα σώζεσθαι, ἐνταῦθα μὲν οὐκ ἤια εἰ ἐλθὼν μήτε ὑμῖν μήτε ἐμαυτῷ ἔμελλον μηδὲν ὄφελος εἶναι, ἐπὶ δὲ τὸ ἰδίᾳ ἕκαστον ἰὼν εὐεργετεῖν τὴν μεγίστην εὐεργεσίαν, ὡς ἐγώ φημι, ἐνταῦθα ἤια· ἐπιχειρῶν ἕκαστον ὑμῶν πείθειν μὴ πρότερον μήτε τῶν ἐαυτοῦ μηδενὸς ἐπιμελεῖσθαι, πρὶν ἑαυτοῦ ἐπιμεληθείη, ὅπως ὡς βέλτιστος καὶ φρονιμώτατος ἔσοιτο· μήτε τῶν τῆς πόλεως, πρὶν αὐτῆς τῆς πόλεως· τῶν τε ἄλλων οὕτω κατὰ
3 τὸν αὐτὸν τρόπον ἐπιμελεῖσθαι. Τί οὖν εἰμὶ ἄξιος παθεῖν, τοιοῦτος ὤν; Ἀγαθόν τι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ δή γε κατὰ τὴν ἀξίαν τῇ ἀληθείᾳ τιμᾶσθε· καὶ ταῦτά γε, ἀγαθὸν τοιοῦτον ὅ,τι ἂν πρέποι
4 ἐμοί. Τί οὖν πρέπει ἀνδρὶ πένητι, εὐεργέτῃ, δεομένῳ ἄγειν σχολὴν ἐπὶ τῇ ὑμετέρᾳ παρακελεύσει; οὐκ ἔσθ' ὅ,τι μᾶλλον, ὦ ἄνδρες Ἀθηναῖοι, πρέπει οὕτως, ὡς τὸν τοιοῦτον ἄνδρα ἐν Πρυτανείῳ σιτεῖσθαι· πολύ γε μᾶλλον ἢ εἴ τις ὑμῶν ἵππῳ ἢ ξυνωρίδι ἢ ζεύγει
5 νενίκηκεν Ὀλυμπιάσιν. Ὁ μὲν γὰρ ὑμᾶς ποιεῖ εὐδαίμονας δοκεῖν εἶναι, ἐγὼ δὲ εἶναι· καὶ ὁ μὲν τροφῆς οὐδὲν δεῖται, ἐγὼ
6 δὲ δέομαι. Εἰ οὖν δεῖ με κατὰ τὸ δίκαιον τῆς ἀξίας τιμᾶσθαι, τούτου τιμῶμαι, τῆς ἐν Πρυτανείῳ σιτήσεως.

κζ'. Ἴσως οὖν ὑμῖν, καὶ ταυτὶ λέγων, παραπλησίως δοκῶ λέγειν ὥσπερ περὶ τοῦ οἴκτου καὶ τῆς ἀντιβολήσεως, ἀπαυθαδιαζόμενος. Τὸ δὲ οὐκ ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, τοιοῦτον, ἀλλὰ
2 τοιόνδε μᾶλλον. Πέπεισμαι ἐγὼ ἑκὼν εἶναι μηδένα ἀδικεῖν ἀν-

---

τοῦτ' ἔστι χρηματισμοῦ καὶ τλ. — Ἢ ὥστε) Συγκριτικῶς; πρὸς τὸ Ἐπειεικέστερον· λέγονται γὰρ τὰ συγκριτικὰ καὶ μετὰ τοῦ Ἢ καὶ ὥστε πρὸς ἀπαρέμφατον. — Οὐκ ἤια) Ἀμελήσας, ἡγησάμενος οὐκ ἤια. — Οἴ ἐλθών) Τὸ Οἴ τοπικόν ἐστιν ἐπίῤῥημα. — Ἐπὶ δὲ τὸ) Ἰὼν δὲ ἐπὶ τὸ εὐεργετεῖν ἰδίᾳ ἕκαστον τὴν μεγίστην εὐεργεσίαν, καθάπερ ἐγὼ ἀποφαίνομαι.

3. Τί οὖν εἰμὶ) Ἐπανάληψις διὰ τὰ πολλὰ ἐμπεσόντα. — Ἀγαθόν τι) Εἰμὶ ὅλη. ἄξιος παθεῖν, ἐὰν τιμᾶσθαι ἑκάστῳ κατὰ τὴν ἀξίαν ἢ τῆς ἀξίας. — Καὶ ταῦτά γε) Καὶ ταῦτα λέγω, ὅτι εἰμὶ ἄξιος παθεῖν ἀγαθὸν τοιοῦτο οἷον ἀγαθὸν πρέπει ἐμοί.

4. Δεομένῳ σχολ.) Σχολάζειν, ἡσυχάζειν. — ἐν Πρυτανείῳ) Πρυτανεῖον, φησὶ Σουΐδας, Οἰκίσκος ἐστὶ δημόσιος παρὰ τοῖς Ἀθηναίοις, ἔνθα ἐσιτοῦντο δημοσίᾳ· οἱ τῆς τοιαύτης τιμῆς παρ' αὐτοῖς τυχόντες. Περισπούδαστον δὲ ἦν τῆς τοιαυτης ὡσεὰς τυχεῖν· ἐπὶ γὰρ μεγάλοις κατορθώμασι τὴν τοιαύτην ἀπεδίδοντο χάριν. — Ὀλυμπιάσι) Ἐν Ὀλυμπίοις. Ὀλύμπια γὰρ καὶ Ὀλυμπιὰς καλεῖται παρ' Ἕλλησιν ὁ κατὰ τετραετίαν εἰς τιμὴν Διὸς Ὀλυμπίου, ἐν Ὀλυμπιάδι πόλει Πελοποννησιακῇ συντελούμενος ἀγών, διὰ τὸ καθ' ἑκάστην τετραετίαν μίαν ἡμέραν προστίθεσθαι τῷ ἡλιακῷ ἐνιαυτῷ· ἐν τούτῳ τῷ ἀγῶνι, ἅθεον ἔριππον, ἢ ἐπὶ ζεύγους, καὶ ὁ νικήσας ἐλάμβανε τὸ βραβεῖον, τὸ δὲ ἦν στέφανος Ἐλαίας ἀγρίας· καὶ ἐκαλεῖτο Ὀλυμπιονίκης.

5. Ἐγὼ δὲ) Ποιῶ ὑμᾶς εἶναι εὐδαίμονας.

6. Τῆς ἐν Πρυτανείῳ) Ἐπεξήγησις τοῦ, Τούτου.

κζ'. 2. Ἑκὼν εἶναι) Ἀντὶ ἑκουσίως· τὸ δὲ εἶναι παρέλκει· Σημείωσαι δὲ ὅτι Θωμᾶς Μάγιστρος φησί· «τὸ Ἑκὼν «εἶναι οἱ παλαιοὶ μετὰ ἀπαγορεύσεως «τιθέασι· οἷον οὐδεὶς ἑκὼν εἶναι· καὶ τί «τὶς ἂν ἑκὼν εἶναι ποιήσειεν· τὸ γὰρ τί «ἐνταῦθα ἀπαγόρευσιν δηλοῖ.»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὀλίγῳ μεγάλας διαβολὰς ἀπολύεσθαι. Πεπεισμένος δ' ἐγὼ μη- 3
δένα ἀδικεῖν, πολλοῦ δέω ἐμαυτόν γε ἀδικήσειν, καὶ κατ' ἐμαυ-
τοῦ ἐρεῖν αὐτὸς ὡς ἄξιός εἰμι τοῦ κακοῦ, καὶ τιμήσεσθαι τοιού-
του τινὸς ἐμαυτῷ. Τί δεῖσας; ἢ μὴ πάθω τοῦτο, οὗ Μέλιτός 4
μοι τιμᾶται, (ὃ φημὶ οὐκ εἰδέναι οὔτ' εἰ ἀγαθὸν οὔτ' εἰ κακόν
ἐστιν,) ἀντὶ τούτου δὴ ἕλωμαί τι ὧν εὖ οἶδ' ὅτι κακῶν ὄντων,
τούτου τιμησάμενος; Πότερον δεσμοῦ; καὶ τί με δεῖ ζῆν ἐν δεσ- 5
μωτηρίῳ, δουλεύοντα τῇ ἀεὶ καθισταμένῃ ἀρχῇ, τοῖς Ἕνδεκα;
Ἀλλὰ χρημάτων; καὶ δεδέσθαι ἕως ἂν ἐκτίσω; ἀλλὰ ταὐτόν μοι
ἐστίν, ὅπερ δὴ νῦν ἔλεγον· οὐ γὰρ ἔστι μοι χρήματα ὁπόθεν ἐκτίσω.
Ἀλλὰ δὴ φυγῆς τιμήσομαι; ἴσως γὰρ ἄν μοι τούτου τιμήσαιτε. 6
Πολλὴ μέντ' ἄν με φιλοψυχία ἔχοι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ οὕ-
τως ἀλογιστός εἰμι, ὥστε μὴ δύνασθαι λογίζεσθαι, ὅτι ὑμεῖς
μὲν ὄντες πολῖται μου, οὐχ οἷοί τε ἐγένεσθε ἐνεγκεῖν τὰς ἐμὰς
διατριβὰς καὶ τοὺς λόγους, ἀλλ' ὑμῖν βαρύτεραι γεγόνασι καὶ ἐ-
πιφθονώτεραι, ὥστε ζητεῖτε αὐτῶν νυνὶ ἀπαλλαγῆναι, ἄλλοι δὲ
ἄρα αὐτὰς οἴσουσι ῥᾳδίως· πολλοῦ γε δεῖ, ὦ ἄνδρες Ἀθηναῖοι.
Καλὸς οὖν ἄν μοι ὁ βίος εἴη, ἐξελθόντι τηλικῷδε ἀνθρώπῳ, ἄλ- 7
λην ἐξ ἄλλης πόλεως ἀμειβομένῳ καὶ ἐξελαυνομένῳ ζῆν. Εὖ γὰρ 8
οἶδ' ὅτι, ὅπῃ ἂν ἔλθω, λέγοντος ἐμοῦ, ἀκροάσονται οἱ νέοι, ὥσπερ
ἐνθάδε. Κἂν μὲν τούτους ἀπελαύνω, οὗτοί με αὐτοὶ ἐξελῶσι,
πείθοντες τοὺς πρεσβυτέρους· ἐὰν δὲ μὴ ἀπελαύνω, οἱ τούτων
πατέρες τε καὶ οἰκεῖοι, δι' αὐτοὺς τούτους.

καὶ. Ἴσως οὖν ἄν τις εἴποι, »Σιγὴν τε καὶ ἡσυχίαν ἄγων, ὦ
Σώκρατες, οὐχ οἷός τ' ἔσῃ ἡμῖν ἐξελθὼν ζῆν;« Τοῦτο δὴ ἔστι,

---

3. Ἀπολύεσθαι) Ἀπολύεσθαι τοῦ ἐγκλήματος, καὶ ἀπολύεσθαι τὰς διαβολὰς· διάφορις σύνταξις ἐν τῷ αὐτῷ σημαινομένῳ· ἐν μὲν γὰρ τῇ γενικῇ ἐλκεται ἡ Ἐν, ἡ Ἀπὸ· ἐν δὲ τῇ αἰτιατικῇ ἡ Κατά.

4. Τί δεῖσας; ἢ μὴ πάθω) Τί ἄλλο δηλ. φοβηθεὶς, ἀδικῶ ἐμαυτόν, ἢ ἵνα μὴ πάθω τοῦτο, οὗ περὶ Μέλιτος τιμᾶσαί μοι, ὅπερ φημὶ οὔτε ἐὰν ᾖ ἀγαθὸν, οὔτε ἐὰν κακὸν ᾖ· δηλονότι τὸν θάνατον. — Ἀντὶ τούτου δὴ) Ὑπαναλογία· ἀντὶ ἀγαθῆ τούτου τοῦ θανάτου ἕλωμαι ἐγώ τι ἀνεῖναι τῶν ἀπαραιτήτως κακῶν ὄντων· καὶ τούτου τιμήσωμαι ἐμαυτῷ εἰς ἀντὶ ὧν τάττιον τούτου· ὅτι τοῦ θανάτου δεινὸν πυνθάνομαι ἐμαυτῷ καὶ τὸ Δημοσθένους δὲ ὅτι τὸ Ἕλωμαι ἐστὶν αὐτοτάκτου τοῦ οἶδ' ὅτι, κατὰ παρόλειψιν κεῖται βεβαίωσιν τοῦ λόγου ὁλόκλ.

5. Τοῖς Ἕνδεκα) Ὁ μὲν Ἡσύχιος φησὶν οἱ Ἕνδεκα, ἄρχοντες, οἷς παραδίδοντο οἱ θανάτῳ καταδικασθέντες· ὁ δ' Ἑτυμολόγ. Ἕνδεκα, κληρωτοὶ ἄρχοντες ἦσαν οὗτοι, προστάται τοῦ δεσμωτηρίου. Βαρύνος δὲ. Ἀρχὴ δὲ ἐν Ἀθήναις οἱ Ἕνδεκα ἐπιμελούμενοι τῶν ἐν τῷ δεσμωτηρίῳ κατακριτῶν, ἐφ' ὃν ἀνάγοντο οἱ κλέπται, καὶ οἱ ἀνδραποδισταί. — Καὶ δεδέσθαι) Ἐν γὰρ Ἀθήναις ὁ χρήματα ὀφείλων, οὐκ ἀφίεται κατὰ νόμους πρὶν ἐκτίσαι τὰ χρήματα.

6. Ἀλλὰ δὴ) Ἀλλὰ τέλος, τοιοῦτό τι σημαίνει ὁ λόγ.

7. Πολλοῦ γε δεῖ) Οὐδαμῶς. — Τηλικῷδε ἀνθρ.) Τηλικοῦτον ἡλικίαν ἔχοντι.

8. Δι' αὐτοὺς τούτους) Ἐννοεῖται· Ἐξέλωσιν ὡς διαφθείροντα ἀρέτην αὐτοὺς. — Οὐχ οἷός) Οὐχ οἷός τε ἔσῃ ἐξελθὼν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

2 πάντων χαλεπώτατον πεῖσαί τινας ὑμῶν. Ἐάν τε γὰρ λέγω ὅτι τῷ θεῷ ἀπειθεῖν τοῦτ' ἔστι, καὶ διὰ τοῦτ' ἀδύνατον ἡσυχίαν ἄγειν, οὐ πείσεσθέ μοι ὡς εἰρωνευομένῳ· ἐάν τ' αὖθις λέγω ὅτι καὶ τυγχάνει μέγιστον ὂν ἀγαθὸν ἀνθρώπῳ τοῦτο, ἑκάστης ἡμέρας περὶ ἀρετῆς τοὺς λόγους ποιεῖσθαι, καὶ τῶν ἄλλων περὶ ὧν ὑμεῖς ἐμοῦ ἠκούεται διαλεγομένου, καὶ ἐμαυτὸν καὶ ἄλλους ἐξετάζοντος (ὁ δὲ ἀνεξέταστος βίος, οὐ βιωτὸς ἀνθρώπῳ)
3 ταῦτα δ' ἔτι ἧττον πείσεσθέ μοι λέγοντι. Τὰ δὲ ἔχει μὲν οὕτως, ὡς ἐγώ φημι, ὦ ἄνδρες, πεῖθειν δὲ οὐ ῥᾴδια. Καὶ ἐγὼ
4 ἅμ' οὐκ εἴθισμαι ἐμαυτὸν ἀξιοῦν κακοῦ οὐδενός. Εἰ μὲν γὰρ ἦν μοι χρήματα, ἐτιμησάμην ἂν χρημάτων ὅσα ἔμελλον ἐκτίσειν· (οὐδὲν γὰρ ἂν ἐβλάβην· νῦν δὲ οὐ γάρ ἐστιν· εἰ μὴ ἄρα ὅσον ἂν ἐγὼ δυναίμην ἐκτῖσαι, τοσούτου βούλεσθέ μοι τιμῆσαι. Ἴσως δ' ἂν δυναίμην ἐκτῖσαι ὑμῖν που μνᾶς ἀργυρίου· το-
5 σούτου οὖν τιμῶμαι. Πλάτων δὲ ὅδε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ Κρίτων καὶ Κριτόβουλος καὶ Ἀπολλόδωρος κελεύουσί με τριάκοντα μνῶν τιμήσασθαι, αὐτοὶ δ' ἐγγυᾶσθαι. Τιμῶμαι οὖν τοσούτου· ἐγγυηταὶ δ' ὑμῖν ἔσονται τοῦ ἀργυρίου οὗτοι ἀξιόχρεῳ.

κθ'. Οὐ πολλοῦ γ' ἕνεκα χρόνου, ὦ ἄνδρες Ἀθηναῖοι, ὄνομα ἕξετε καὶ αἰτίαν ὑπὸ τῶν βουλομένων τὴν πόλιν λοιδορεῖν, ὡς Σωκράτην ἀπεκτονήκατε, ἄνδρα σοφόν. Φήσουσι γὰρ δή με σοφὸν εἶναι, εἰ καὶ μὴ εἰμί, οἱ βουλόμενοι ὑμῖν ὀνειδίζειν.
2 Εἰ γοῦν περιεμείνατε ὀλίγον χρόνον, ἀπὸ τοῦ αὐτομάτου ἂν ὑμῖν τοῦτο ἐγένετο, ἐμὲ τεθνάναι δή. Ὁρᾶτε γὰρ δὴ εἰς τὴν ἡλικίαν, ὅτι πόρρω ἤδη ἐστὶ τοῦ βίου, θανάτου δὲ ἐγγύς. Λέ-
3 γω δὲ τοῦτο οὐ πρὸς πάντας ὑμᾶς, ἀλλὰ πρὸς τοὺς ἐμοῦ καταψηφισαμένους θάνατον. Λέγω δὲ καὶ τόδε πρὸς τοὺς αὐτοὺς
4 τούτους. Ἴσως με οἴεσθε, ὦ ἄνδρες Ἀθηναῖοι, ἀπορίᾳ λόγων ἁλωκέναι τοιούτων οἷς ἂν ὑμᾶς ἔπεισα, εἰ ᾠμην δεῖν ἅπαντα

τῆς πατρίδος, ἵν' ἡμῖν τοῖς φίλοις ἐπιθυμοῦσί τε ζῶντα ἔχειν.

2. Τυγχάνει . . . ὄν) Φρύνιχος. »Τυγχάνω· καὶ τοῦτο προσεντέον· οἱ γὰρ »ἀκριβεῖς οὕτω λέγουσι· φίλος σοι τυγ»χάνω, ἐχθρός μοι τυγχάνεις· ὅτι δὲ τῷ »ῥήματι τὸ ὦν προστιθέναι· φίλος μοι »τυγχάνεις ὤν· ἐχθρός μοι τυγχάνεις ὤν. »οὕτω γὰρ οἱ ἀρχαῖοι ἐχρήσαντο.« — Καὶ τῶν ἄλλων. Καὶ περὶ τῶν ἄλλων.

3. Ἀξιοῦν. Λέγειν κρίνειν.

5. Ἀξιόχρεω. Ἀττικῶν νομίζεται γὰρ ὁ Ἀξιόχρεως τοῦ ἀξιόχρεω. Ἀμώμητος δὲ φησιν. Ἀξιόχρεώς ἐστιν ὁ ἐπιτῦσαί τι κακόν.

κθ'. Οὐ πολλοῦ γ' ἕν.) Οὐ διὰ πολλὸν χρόνον γέρων γὰρ ὢν οὐκ ἐς μακρὸν βιώσεσθαι καὶ διὰ τοῦτον τὸν μικρὸν χρόνον, καθ' ὃν ἂν ἐγὼ βιώσαιμι, ὑμῖν δώσετε αἰτίαν οἱ βουλόμενοι λοιδορεῖν τὴν πόλιν, λέγοντες ὡς Σωκράτ. καὶ τλ.

2. Ὅτι πόρρω . . . τοῦ β.) Ἤτοι ἀπεμακρύνθη ἡ ἡλικία τοῦ βίου καὶ ἐγγὺς ἐστὶ θανάτου.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ποιεῖν καὶ λέγειν ὥστε ἀπορυγεῖν τὴν δίκην. Πολλοῦ γε δεῖ. Ἀλλ' ἀπορία μὲν ἑάλωκα, οὐ μέν τοι λόγων, ἀλλὰ τόλμης καὶ 5 ἀναισχυντίας, καὶ τοῦ μὴ ἐθέλειν λέγειν πρὸς ὑμᾶς τοιαῦτα, οἷα ὑμῖν μὲν ἥδιστ' ἂν ἦν ἀκούειν, θρηνοῦντός μου καὶ ὀδυρομένου, καὶ ἄλλα ποιοῦντος, καὶ λέγοντος πολλὰ καὶ ἀνάξια ἐμοῦ, ὡς ἐγώ φημι· οἷα δὴ καὶ εἴθισθε ὑμεῖς τῶν ἄλλων ἀκούειν. Ἀλλ' οὔτε τότε ᾠήθην δεῖν ἕνεκα τοῦ κινδύνου πράξαι οὐδὲν 6 ἀνελεύθερον, οὔτε νῦν μοι μεταμέλει οὕτως ἀπολογησαμένῳ, ἀλλὰ πολὺ μᾶλλον αἱροῦμαι ὧδε ἀπολογησάμενος τεθνάναι, ἢ ἐκείνως ζῆν. Οὔτε γὰρ ἐν δίκῃ οὔτ' ἐν πολέμῳ οὔτε ἐμὲ οὔτε 7 ἄλλον οὐδένα δεῖ τοῦτο μηχανᾶσθαι, ὅπως ἀποφεύξεται πᾶν ποιῶν θάνατον. Καὶ γὰρ ἐν ταῖς μάχαις πολλάκις δῆλον γίγνεται 8 ὅτι τό γε ἀποθανεῖν ῥᾴον ἄν τις ἐκφύγοι, καὶ ὅπλα ἀφεὶς καὶ ἐφ' ἱκετείαν τραπεὶς τῶν διωκόντων· καὶ ἄλλαι πολλαὶ μηχαναί εἰσιν ἐν ἑκάστοις τοῖς κινδύνοις, ὥστε διαφεύγειν θάνατον, ἐάν τις τολμᾷ πᾶν ποιεῖν καὶ λέγειν. Ἀλλὰ μὴ οὐ τοῦτ' ἦ χα- 9 λεπόν, ὦ ἄνδρες Ἀθηναῖοι, θάνατον ἐκφυγεῖν, ἀλλὰ πολὺ χαλεπώτερον, πονηρίαν· θᾶττον γὰρ θανάτου θεῖ. Καὶ νῦν ἐγώ 10 μέν, ἅτε βραδὺς ὢν καὶ πρεσβύτης, ὑπὸ τοῦ βραδυτέρου ἑάλων· οἱ δὲ μου κατήγοροι, ἅτε δεινοὶ καὶ ὀξεῖς ὄντες, ὑπὸ τοῦ θᾶττονος, τῆς κακίας. Καὶ νῦν δὴ ἐγώ μεν ἄπειμι ὑφ' ὑμῶν 11 θανάτου δίκην ὀφλών, οὗτοι δὲ, ὑπὸ τῆς ἀληθείας ὠφληκότες μοχθηρίαν καὶ ἀδικίαν. Καὶ ἔγωγε τῷ τιμήματι ἐμμένω, καὶ οὗτοι. Ταῦτα μὲν οὖν που ἴσως οὕτω καὶ ἔδει σχεῖν, καὶ οἶμαι αὐτὰ μετρίως ἔχειν.

λ'. Τὸ δὲ δὴ μετὰ τοῦτο ἐπιθυμῶ ὑμῖν χρησμῳδῆσαι, ὦ καταψηφισάμενοί μου. Καὶ γὰρ εἰμι ἤδη ἐνταῦθα ἐν ᾧ μά- 2 λιστ' ἄνθρωποι χρησμῳδοῦσιν, ὅταν μέλλωσιν ἀποθανεῖσθαι. Φημὶ γὰρ, ὦ ἄνδρες, εἴ με ἀποκτενεῖτε, τιμωρίαν ὑμῖν ἥξειν 3

---

5. Πολλοῦ γε δεῖ) Οὐδαμῶς τούτου ἕνεκα ἑάλωκα.

6. Ἢ ἐκείνως ζῆν) Καθ' ὃν δηλ. τρόπον ὑμεῖς βούλεσθαι ἀπολογισάμενος ζῆν.

7. Ὅπως ἀπορ.) Ὁ τινα τρόπον οὖν πᾶσῃ μηχανῇ ἀποφεύξεται τὸν θανατον.

9. Ἀλλὰ μὴ) Ἀλλὰ μὴ τοῦτο ᾖ, ὅτι οὐκ ἔστι χαλεπὸν τὸ ἐκφυγεῖν θάνατον, ἀλλ' ἔστι χαλεπώτερον τὸ ἐκφυγεῖν πονηρίαν· καὶ γὰρ ἡ πονηρία θᾶττον φεύγει τοῦ θανάτου.

10. Ὑπο τοῦ θᾶττονος) Ἔστι θάσσων, καὶ θᾶττων, ὁ ταχύς· οὐ τὸ οὐδέτερον θᾶττον καὶ ἐπιρρηματικῶς λαμβάνεται· ἐνταῦθα δὲ τοι ονοματικῶς· ὑπὸ τοῦ θᾶττονος δηλ. πράγματος· ὅπερ ἐστὶν ἡ κακία.

11. Θανάτου δίκην ὀφλ.) Ἤτοι ὀφειλων ἀποθανεῖν. — Καὶ οὗτοι) Ἐμμένουσι τῷ τιμήματι. Ὅπερ ἐστὶ καὶ ἐγὼ ἀποθανοῦμαι, καὶ οὗτοι εἰσὶ μοχθηροὶ καὶ ἄδικοι.

λ'. 2. Ἐνταῦθα ἐν ᾧ) Εἰς τοιαύτην πεσόντα, καθ' ὃν. Σημείωσαι δὲ μοι ὅτι Εὐσταθ. Ὁ. Π. Σελ. 1039, 59. φη-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εὐθὺς μετὰ τὸν ἐμὸν θάνατον, πολὺ χαλεπωτέραν, νή Δία, ἢ
4 οἵαν ἐμὲ ἀπεκτείνατε. Νῦν γὰρ τοῦτο ἔργασθε, οἰόμενοι ἀπαλ-
λάξεσθαι τοῦ διδόναι ἔλεγχον τοῦ βίου· τὸ δὲ ὑμῖν πολὺ ἐ-
5 ναντίον ἀποβήσεται, ὡς ἐγὼ φημί. Πλείους ἔσονται ὑμᾶς οἱ ἐ-
λέγχοντες, οὓς νῦν ἐγὼ κατεῖχον, ὑμεῖς δὲ οὐκ ἠσθάνεσθε· καὶ
χαλεπώτεροι ἔσονται ὅσῳ νεώτεροί εἰσι, καὶ ὑμεῖς μᾶλλον ἀ-
6 γανακτήσετε. Εἰ γὰρ οἴεσθε, ἀποκτείναντες ἀνθρώπους, ἐπι-
σχήσειν τοῦ ἐνεδίδειν τινὰ ὑμῖν ὅτι οὐκ ὀρθῶς ζῆτε, οὐ κα-
7 λῶς διανοεῖσθε. Οὐ γὰρ ἔσθ' αὕτη ἡ ἀπαλλαγὴ οὔτε πάνυ δυ-
νατὴ, οὔτε καλή· ἀλλ' ἐκείνη καὶ καλλίστη καὶ ῥᾴστη, μὴ τοὺς
ἄλλους κολούειν, ἀλλ' αὐτὸν παρασκευάζειν, ὅπως ἔσται ὡς
8 βέλτιστος. Ταῦτα μὲν οὖν ὑμῖν τοῖς καταψηφισαμένοις μαντευσάμενος, ἀπαλλάττομαι.

λα. Τοῖς δὲ ἀποψηφισαμένοις ἡδέως ἂν διαλεχθείην ὑπὲρ τοῦ γεγονότος τουτουὶ πράγματος, ἐν ᾧ οἱ ἄρχοντες ἀσχολίαν
2 ἄγουσι, καὶ οὔπω ἔρχομαι οἱ ἐλθόντα με δεῖ τεθνάναι. Ἀλλά
3 μοι, ὦ ἄνδρες Ἀθηναῖοι, παραμείνατε τοσοῦτον χρόνον· οὐδὲν
γὰρ κωλύει διαμυθολογῆσαι πρὸς ἀλλήλους, ἕως ἔξεστιν. Ὑ-
μῖν γὰρ ὡς φίλοις οὖσιν, ἐπιδεῖξαι ἐθέλω τὸ νυνί μοι ξυμβε-
βηκὸς τί ποτ' ἐννοεῖ. Ἐμοί γάρ, ὦ ἄνδρες δικασταί, (ὑμᾶς γὰρ
4 δικαστὰς καλῶν, ὀρθῶς ἂν καλοίην,) θαυμάσιόν τι γέγονεν. Ἡ
γὰρ εἰωθυία μοι μαντικὴ, ἡ τοῦ δαιμονίου, ἐν μὲν τῷ πρόσθεν
χρόνῳ παντὶ πάνυ πυκνὴ ἀεὶ ἦν, καὶ πάνυ ἐπὶ σμικροῖς ἐναντιουμένη, εἴ τι μέλλοιμι μὴ ὀρθῶς πράξειν. Νυνὶ δὲ ξυμβέβη-
κέ μοι, ἅπερ ὁρᾶτε καὶ αὐτοὶ ταυτί, ἅ γε δὴ οἰηθείη ἄν τις,
5 καὶ νομίζεται, ἔσχατα κακῶν εἶναι. Ἐμοὶ δὲ οὔτε ἐξιόντι ἔω-
θεν οἴκοθεν ἠναντιώθη τὸ τοῦ θεοῦ σημεῖον, οὔτε ἡνίκα ἀνέ-
βαινον ἐνταῦθοι ἐπὶ τὸ δικαστήριον, οὔτε ἐν τῷ λόγῳ οὐδενί,
6 μέλλοντί τι ἐρεῖν. Καί τοι ἐν ἄλλοις λόγοις πολλαχοῦ δή με
ἐπέσχε λέγοντα μετιόντ· νυνὶ δὲ οὐδαμοῦ περὶ ταύτην τὴν πρᾶ-
ξιν, οὔτ' ἐν ἔργῳ οὐδενὶ οὔτ' ἐν λόγῳ ἠναντιώθη μοι. Τί οὖν
αἴτιον εἶναι ὑπολαμβάνω; ἐγὼ ὑμῖν ἐρῶ. Κινδυνεύει γάρ μοι τὸ
7 ξυμβεβηκὸς τοῦτο ἀγαθὸν γεγονέναι· καὶ οὐκ ἔσθ' ὅπως ἡμεῖς

αἰν. Ἔστι δὲ δόγμα παλαιὸν, ὡς ἀπαλλαττομένη σώματος ἡ ψυχὴ, καὶ θεία φύσει ἐγγένουσα, ἔχει τι μαντικῆς.

3. Ἡ εἰω.) Ἡ καθ' εἵαν τιμωσέσα.

4. Τὸ τοι.) Τοῦτο δὲ τὸ πάθημα.

7. Οὐ γὰρ ἔσθ' αὕτ.) Καὶ γὰρ αὐτὴ ἡ ἀπαλλαγὴ οὐκ ἐστιν οὔτε πάνυ δ. καὶ τὰ.

κα. 2 Κωλύει.) Ἕκαστον ἀλλ.

4. Ἡ γὰρ εἰωθ.) Ὁ Γὰρ διαμαντικὸς ἐν πλείοσι κεῖται.

5. Ἐν τῷ λόγῳ οὐδενὶ.) Οὐδενὶ κλοιεῖ τοῦ λόγου ἤτοι ἐν ἐναντιώθη ἐν οὐδενὶ μέρει τοῦ λόγου· ἔξωνυμα δὲ ἐμπιπτωτικὸς καὶ ἐστι τὸ Οὐδενὶ, οἷον ἐπίρρημα ἀντὶ τοῦ Οὐδαμῇ.

7. Καὶ οὐκ ἔσθ' ὅπω.) Παντὶ γὰρ τρόπῳ ἠναντιώθη ἂν μοι κατάφασιν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὀρθῶς ὑπολαμβάνομεν, ὅτι οἰόμεθα κακὸν εἶναι τὸ τεθνάναι. Μέγα μοι τεκμήριον τοῦτο γέγονεν. Οὐ γὰρ ἔστ' ὅπως οὐκ ἠ- 8
ναντιώθη ἄν μοι τὸ εἰωθὸς σημεῖον, εἰ μή τι ἔμελλον ἐγὼ ἀγαθὸν πράξειν.

λδ'. Ἐννοήσωμεν δὲ καὶ τῇδε, ὡς πολλὴ ἐλπίς ἐστιν ἀγαθὸν αὐτὸ εἶναι. Δυοῖν γὰρ θάτερον ἐστὶ τὸ τεθνάναι· ἢ γὰρ 2
οἷον μηδὲν εἶναι, μήθ' αἴσθησιν μηδεμίαν μηδενὸς ἔχειν τὸν τεθνεῶτα, ἢ, κατὰ τὰ λεγόμενα, μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκησις τῆς ψυχῆς τοῦ τόπου τοῦ ἐνθένδε εἰς ἄλλον τόπον. Καὶ εἴτε δὴ μηδεμία αἴσθησίς ἐστιν, ἀλλ' οἷον ὕπνος, ἐ- 3
πειδάν τις καθεύδων μήθ' ὄναρ μηδὲν ὁρᾷ, θαυμάσιον κέρδος ἂν εἴη ὁ θάνατος. Ἐγὼ γὰρ ἂν οἶμαι, εἴ τινα ἐκλεξάμενον δέοι 4
ταύτην τὴν νύκτα, ἐν ᾗ οὕτω κατέδαρθεν ὥστε μηδὲ ὄναρ ἰδεῖν, καὶ τὰς ἄλλας νύκτας τε καὶ ἡμέρας τὰς τοῦ βίου τοῦ ἑαυτοῦ ἀντιπαραθέντα ταύτῃ τῇ νυκτί, δέοι σκεψάμενον εἰπεῖν, ὁπόσας ἄμεινον καὶ ἥδιον ἡμέρας καὶ νύκτας ταύτης τῆς νυκτὸς βεβίωκεν ἐν τῷ ἑαυτοῦ βίῳ, οἶμαι ἂν μὴ ὅτι ἰδιώτην τινά, ἀλλὰ τὸν μέγαν βασιλέα, εὐαριθμήτους ἂν εὑρεῖν αὐτὸν ταύτας πρὸς τὰς ἄλλας ἡμέρας καὶ νύκτας. Εἰ οὖν τοιοῦτον 5
ὁ θάνατός ἐστι, κέρδος ἔγωγε λέγω· (καὶ γὰρ οὐδὲν πλείων ὁ πᾶς χρόνος φαίνεται οὕτω δὴ εἶναι ἢ μία νύξ·) εἰ δ' αὖ οἷον ἀποδημῆσαί ἐστιν ὁ θάνατος ἐνθένδε εἰς ἄλλον τόπον, καὶ ἀληθῆ ἐστι τὰ λεγόμενα, ὡς ἄρα ἐκεῖ εἰσὶν ἅπαντες οἱ τεθνεῶτες, τί μεῖζον ἀγαθὸν τούτου εἴη ἄν, ὦ ἄνδρες δικασταί; Εἰ γὰρ τις 6
ἀφικόμενος εἰς ᾅδου, ἀπαλλαγεὶς τουτωνὶ τῶν φασκόντων δικαστῶν εἶναι, εὑρήσει τοὺς ὡς ἀληθῶς δικαστάς, οἵπερ καὶ λέγονται ἐκεῖ δικάζειν, Μίνως τε καὶ Ῥαδάμανθυς καὶ Αἰακὸς καὶ Τριπτόλεμος, καὶ ἄλλοι ὅσοι τῶν ἡμιθέων δίκαιοι ἐγένοντο ἐν τῷ ἑαυτῶν βίῳ, ἆρα φαύλη ἂν ἡ ἀποδημία; ἢ αὖ Ὀρφεῖ ξυγ- 7

γὰρ οἱ δύο ἀρχήσεις πεποίηκεν· οἷον οὐδεὶς γὰρ ἀνὴρ τρόπος, καθ' ὃν οὐκ ἂν ἠναντιώθη, ὅπερ ἐστὶ παντὶ τρόπῳ ἠναντιώθη ἄν.

λδ'. 2. Ἢ γὰρ οἷον) Ἢ γὰρ ἐστὶ τοιοῦτον, οἷον μηδ.

4. Δέοι σκεψ.) Ἐπανέλαβε τὸ Δέοι ὡς ἀπὸ τοῦ ἀπαρεμφάτου πολὺ τοῦ πρώτου ἀφεστῶτος. — Οἶμαι ἄν) Ἤλιον ἐπανέλαβε τὸ Οἶμαι· ὁ δέ τοι Ἂν καὶ ἐν τῷ πρώτῳ Οἶμαι καὶ ἐν τούτῳ, καὶ ὁ πρὸ τοῦ Ὀρφεῖ, εἰς αὐτὸ τὸ Ὀρφεῖ δυνατικῶς ἀναφέρονται κατ' ἐκκλίβειν αὐτὶ ἑνός. Ὁ δὲ νοῦς τοιοῦτος. Εἰ δέοι τινὰ ἐξελεξάμενον νύκτα, ἐν ᾗ ἐκοιμήθη μὴ ἰδὼν ὄναρ, καὶ παραθέντα τὰς τῇ τῇ νυκτὶ τὰς ἄλλας νύκτας καὶ ἡμέρας τοῦ βίου αὐτοῦ, σκεψάμενον εἰδεῖν, ὁπόσας ἡμέρας καὶ νύκτας ἐν τῷ ἑαυτοῦ βίῳ βεβίωκεν ἄμεινον καὶ ἥδιον ταύτας τῆς νυκτός, οἶμαι ὅτι μὴ μόνον ἰδιώτης, ἀλλὰ καὶ οὗτος ὁ μέγας βασιλεὺς Περσῶν (Μέγαν γὰρ βασιλέα ἐκάλουν Ἕλληνες τὸν Περσῶν βασιλέα) εὑρεθήσεται, παραβαλλόμεναι πρὸς τὰς ἄλλας νύκτας καὶ ἡμέρας.

5. Ἔγωγε λέγω) Ὅτι ἐστὶν ὁ θάνατος κέρδος.

6. Μίνως τε καὶ Ῥ.) Ὅτου, φησίν, ἐν ᾅδου εἰσὶ δικασταί.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γενέσθαι καὶ Μουσαίῳ καὶ Ἡσιόδῳ καὶ Ὁμήρῳ, ἐπὶ πόσῳ ἂν
8 τις δέξαιτ' ἂν ὑμῶν; Ἐγὼ μὲν γὰρ πολλάκις ἐθέλω τεθνάναι,
εἰ ταῦτά ἐστιν ἀληθῆ. Ἐπεὶ ἔμοιγε καὶ αὐτῷ θαυμαστὴ ἂν
εἴη ἡ διατριβὴ αὐτόθι, ὁπότε ἐντύχοιμι Παλαμήδει καὶ Αἴαντι
τῷ Τελαμώνος, καὶ εἴ τις ἄλλος τῶν παλαιῶν διὰ κρίσιν ἄ-
δικον τέθνηκεν· ἀντιπαραβάλλοντι τὰ ἐμαυτοῦ πάθη πρὸς τὰ
9 ἐκείνων, ὡς ἐγῶμαι, οὐκ ἂν ἀηδὲς εἴη. Καὶ δὴ καὶ τὸ μέγι-
στον, τοὺς ἐκεῖ ἐξετάζοντα καὶ ἐρευνῶντα, ὥσπερ τοὺς ἐνταῦθα,
διάγειν, τίς αὐτῶν σοφός ἐστι, καὶ τίς εἶεται μέν, ἔστι δ' οὔ.
10 Ἐπὶ πόσῳ δ' ἄν τις, ὦ ἄνδρες δικασταί, δέξαιτο ἐξετάσαι τὸν
ἐπὶ Τροίαν ἀγαγόντα τὴν πολλὴν στρατιάν, ἢ Ὀδυσσέα, ἢ
Σίσυφον; ἢ ἄλλους μυρίους ἄν τις εἴποι καὶ ἄνδρας καὶ γυναῖ-
κας, οἷς διαλέγεσθαι ἐκεῖ καὶ ξυνεῖναι καὶ ἐξετάζειν, ἀμήχα-
11 νον ἂν εἴη εὐδαιμονίας πάντως. Οὐ δήπου τούτου γε ἕνεκα οἱ
ἐκεῖ ἀποκτενοῦσι. Τά τε γὰρ ἄλλα εὐδαιμονέστεροί εἰσιν οἱ ἐ-
κεῖ τῶν ἐνθάδε, καὶ ἤδη τὸν λοιπὸν χρόνον ἀθάνατοί εἰσιν, εἴ-
περ γε τὰ λεγόμενα ἀληθῆ ἐστιν.

λγ'. Ἀλλὰ καὶ ὑμᾶς χρή, ὦ ἄνδρες δικασταί, εὐέλπιδας
εἶναι πρὸς τὸν θάνατον, καὶ ἕν τι τοῦτο διανοεῖσθαι ἀληθές,
ὅτι οὐκ ἔστιν ἀνδρὶ ἀγαθῷ κακὸν οὐδὲν οὔτε ζῶντι οὔτε τε-
λευτήσαντι, οὐδὲ ἀμελεῖται ὑπὸ θεῶν τὰ τούτου πράγματα·
οὐδὲ τὰ ἐμὰ νῦν ἀπὸ τοῦ αὐτομάτου γέγονεν, ἀλλά μοι δῆλόν
ἐστι τοῦτο, ὅτι ἤδη τεθνᾶναι καὶ ἀπηλλάχθαι πραγμάτων βέλ-
2 τιον ἦν μοι. Διὰ ταυτὶ καὶ ἐμὲ οὐδαμοῦ ἀπέτρεψε τὸ σημεῖον,
καὶ ἔγωγε τοῖς καταψηφισαμένοις μου καὶ τῆς κατηγόρους οὐ
πάνυ χαλεπαίνω· καίτοι οὐ ταύτῃ τῇ διανοίᾳ κατεψηφίζοντό
μου καὶ κατηγόρουν, ἀλλ' οἰόμενοι βλάπτειν τι· τοῦτο αὐτοῖς
3 ἄξιον μέμψεσθαι. Τοσόνδε μέντοι αὐτῶν δέομαι· τοὺς υἱεῖς μου,
ἐπειδὰν ἡδῆσωσι, τιμωρήσασθε, ὦ ἄνδρες, ταὐτὰ ταῦτα λυ-

---

8. Παλαμήδη καὶ Αἴαντι) Παλαμήδης μὲν γὰρ Ὀδυσσέως μανίαν προσποιουμένου διὰ τὸν πρὸς Τροίαν πόλεμον, πρὸ τοῦ ἀρότρου θεὶς Τηλέμαχον τὸν υἱόν, ἀνεκάλυψε τὴν ἀλήθειαν· καὶ ἐν τῇ Τροίᾳ πρὸς ἄμυναν Ὀδυσσέως κεύψαντος ἐν τῇ σκηνῇ αὐτοῦ χρήματα, καὶ εἰπόντος ὡς ἔκλεψεν αὐτὰ, ἐλιθοβόλησαν αὐτόν. Ὁ δὲ Τελαμώνιος Αἴας ὑφ' ἑαυτοῦ ἐρωνεύθη, ἐπειδὴ κριθεὶς μετὰ Ὀδυσσέως περὶ τῶν Ὁπλων Ἀχιλλέως οὐκ ἔλαβεν αὐτὸς, κτανόντων τῶν Ἑλλήνων, ἀλλ' Ὀδυσσέως.

10. Τὴν πολλὴν στρατ.) Τῶν Ἑλλήνων. Τὸν Μενέλαον δηλ. ἢ τὸν Ἀγαμέμνονα· διὰ γὰρ Ἑλένην γυναῖκα Μενελάου, ἀδελφοῦ Ἀγαμέμνονος ἀσπασθεῖσαν ὑπὸ Ἀλεξάνδρου τοῦ Πριάμου ἦλθον εἰς Τροίαν οἱ Ἕλληνες. — Ἀμήχανον ἂν εἴη εὐδ.) Μεγίστη ἂν εἴη εὐδαιμονία, κατὰ ἐναλλαγὴν πτώσεως ἀντὶ ἀμήχανος εὐδαιμονία.

11. Τά τε γὰρ ἄλ.) Καὶ κατὰ τὰ ἄλλ. λγ'. 2. Τὸ σημεῖον) Ὅρα λά.

— Τοῖς καταψηφισ.) Τὸ Χαλεπαίνω καὶ δοτικῇ καὶ πρὸς αἰτιατικὴν μετὰ τῆς Πρός.

— Οὐ ταύτῃ διανοίᾳ) Ἐλλείπει ἡ Ἐν.

— Τοῦτο αὐτοῖς) Ἤτοι τοῦτό ἐστιν ἄξιον μέμψεσθαι αὐτοῖς.

3. Ταὐτὰ ταῦτα λυποῦντες) Ἀνεσυν-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ποῦντες ἅπερ ἐγὼ ὑμᾶς ἐλύπουν, ἐὰν ὑμῖν δοκῶσιν ἢ χρημάτων ἢ ἄλλου του πρότερον ἐπιμελεῖσθαι ἢ ἀρετῆς· καὶ ἐὰν δο- 6
κῶσί τι εἶναι, μηδὲν ὄντες, ὀνειδίζετε αὐτοῖς, ὥσπερ ἐγὼ ὑμῖν, ὅτι οὐκ ἐπιμελοῦνται ὧν δεῖ, καὶ οἴονται τι εἶναι, ὄντες οὐδενὸς ἄξιοι. Καὶ ἐὰν ταῦτα ποιῆτε, δίκαια πεπονθὼς ἐγὼ ἔσομαι ὑφ' ὑμῶν αὐτός τε καὶ οἱ υἱεῖς. Ἀλλὰ γὰρ ἤδη ὥρα ἀπιέναι, ἐμοὶ μὲν, ἀποθανουμένῳ, ὑμῖν δὲ, βιωσομένοις. Ὁπότεροι δὲ ἡμῶν ἔρχονται ἐπὶ ἄμεινον πρᾶγμα, ἄδηλον παντὶ πλὴν ἢ τῷ θεῷ.

Γ'. ΚΡΙΤΩΝ, Η ΠΕΡΙ ΔΟΞΗΣ ΑΛΗΘΟΥΣ ΚΑΙ ΔΙΚΑΙΟΥ (*).

Ἠθικός.

α. Τί τηνικάδε ἀφῖξαι, ὦ Κρίτων; ἢ οὐ πρωί ἔτι ἐστί; — Κρ. Πάνυ μὲν οὖν. — Σωκ. Πηνίκα μάλιστα; — Κρ. Ὄρθρος βαθύς. — Σωκ. Θαυμάζω ὅπως ἠθέλησέ σοι ὁ τοῦ δεσμω- 2
τηρίου φύλαξ ὑπακοῦσαι. — Κρ. Ξυνήθης ἤδη μοί ἐστιν, ὦ Σώκρατες, διὰ τὸ πολλάκις δεῦρο φοιτᾶν· καὶ τι καὶ εὐηργέτηται ὑπ' ἐμοῦ. — Σωκ. Ἄρτι δὲ ἥκεις, ἢ πάλαι; — Κρ. Ἐ- 3
πιεικῶς πάλαι. — Σωκ. Εἶτα πῶς οὐκ εὐθὺς ἐπήγειράς με, ἀλλὰ σιγῇ παρεκάθησας; — Κρ. Οὐ μὰ τὸν Δία, ὦ Σώκρατες, οὐδ' ἂν αὐτὸς ἤθελον ἐν τοσαύτῃ ἀγρυπνίᾳ καὶ λύπῃ εἶναι. Ἀλλὰ καὶ σοῦ πάλαι θαυμάζω, αἰσθανόμενος ὡς ἡδέως 4
καθεύδεις· καὶ ἐπιτηδὲς σε οὐκ ἤγειρον, ἵνα ὡς ἥδιστα διάγῃς. Καὶ πολλάκις μὲν δὴ σε καὶ πρότερον ἐν παντὶ τῷ βίῳ εὐδαιμόνισα τοῦ τρόπου, πολὺ δὲ μάλιστα ἐν τῇ νῦν παρεστώσῃ ξυμφορᾷ, ὡς ῥᾳδίως αὐτὴν καὶ πρᾴως φέρεις. — Σωκ. Καὶ 5
γὰρ ἄν, ὦ Κρίτων, πλημμελὲς εἴη ἀγανακτεῖν τηλικοῦτον ὄντα, εἰ δεῖ ἤδη τελευτᾶν. — Κρ. Καὶ ἄλλοι, ὦ Σώκρατες, τηλικοῦτοι ἐν τοιαύταις ξυμφοραῖς ἀλίσκονται· ἀλλ' οὐδὲν αὐτοῖς

τες αὐτοὺς ὁμοίως, καθὼς ἐγὼ ὑμᾶς ἐλύπουν.

(*) Κριτων μεν επιγραφεται ο διαλογος οὗτος· ὅτι Σωκράτη τιμᾷ Κρίτων ὁ διαλεγόμενος· ἠθικὸς δὲ ὡς περὶ δόξης ἀληθοῦς καὶ δικαίου διανοούμενος, ἅπερ ἠθῶν ἐστι· διδασκαλία. Ἐπαινεῖται δὲ παρὰ πολὺ ὑπὸ Κλήμεντος Ἀλεξανδρέως ἐν Στρωματ. Ε'. καὶ παρ' ἄλλοις πολλοῖς.

α. Πάνυ μὲν οὖν) Πρωΐ ἐστι δηλ.

— Πηνίκα μάλιστα) Τὸ παρ' ἡμῖν καὶ Ὥραν τις ὥρα, ἐστί;

— Ὄρθρος) Φρύνιχος φησίν, ὅτι οἱ παλαιοὶ ὄρθρον ἔλεγον τὸ προὐρχομένης ἡμέρας, ἐν ᾧ ἔτι λυχνῶν δυνατόν τις χρῆσθαι.

2. Ὁ τοῦ δεσμωτ. φυ.) Ὁν ἐν Φαιδῶνι. Θαυμάζω καὶ ἐγ.

3. Ἐπιεικῶς πάλ.) Ἱκανῶς δηλ. πάλαι.

— Εἶναι) Σὲ δηλ.

4. Σοῦ πάλαι θαυμ.) Πρὸς γενικὴν ἐν γὰρ εἴδει εἰρωνείας λέγει ταῦτα· εἰρωνευομένοις γὰρ μετὰ γενικῆς τὸ θαυμάζω ἄγει εἰς χρῆσιν.

— Τοῦ τρόπου) Ἵνα δηλ. Σημειοῦσθαι δὲ ἔτι λέγεται· Εὐδαιμονίζω σου τὸ δεῖ κτησιμοῦν καὶ, Εὐδαιμονίζω σε τοῦ ὅτι κοπ. ἐκείνου τοῦ ἔνεκα.

5. Γηλικοῦτ.) Γηλικιακῷ γήρατι δηλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐπιλύεται ἡ ἡλικία τὸ μὴ οὐχὶ ἀγανακτεῖν τῇ παρούσῃ τύχῃ.
6 — Σωκ. Ἔστι ταῦτα. Ἀλλὰ τί δὴ οὕτω προῃεῖ ἀρίζαι; — Κρ. Ἀγγελίαν, ὦ Σώκρατες, φέρων χαλεπὴν, οὐ σοί, ὡς ἐμοὶ φαίνεται, ἀλλ' ἐμοὶ καὶ τοῖς σοῖς ἐπιτηδείοις πᾶσι καὶ χαλεπὴν καὶ βαρεῖαν· ἣν ἐγὼ, ὡς ἐμοὶ δοκῶ, ἐν τοῖς βαρύτατα ἂν ἐ-
7 νέγκαιμι. — Σωκ. Τίνα ταύτην; ἢ τὸ πλοῖον ἀφῖκται ἐκ Δήλου, οὗ δεῖ ἀφικομένου τεθνάναι με; — Κρ. Οὔ τοι δὴ ἀφῖκται, ἀλλὰ δοκεῖ μέν μοι ἥξειν τήμερον, ἐξ ὧν ἀπαγγέλλουσιν
8 ἥκοντές τινες ἀπὸ Σουνίου, καὶ καταλιπόντες ἐκεῖ αὐτό. Δήλον οὖν ἐκ τούτων τῶν ἀγγέλων ὅτι ἥξει τήμερον· καὶ ἀνάγκη δὴ εἰσαύριον ἔσται, ὦ Σώκρατες, τὸν βίον σε τελευτᾶν.

β'. Σωκ. Ἀλλ', ὦ Κρίτων, τύχῃ ἀγαθῇ· εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ ἔστω. Θὺ μέν τοι οἶμαι ἥξειν αὐτὸ τήμερον. —
2 Κρ. Πόθεν τοῦτο τεκμαίρῃ; — Σωκ. Ἐγὼ σοι ἐρῶ. Τῇ γάρ τοι ὑστεραίᾳ δεῖ μοι ἀποθνῄσκειν, ἢ ᾗ ἂν ἔλθοι τὸ πλοῖον. —
3 Κρ. Φασί γέ τοι δὴ οἱ τούτων κύριοι. — Σωκ. Οὐ τοίνυν τῆς ἐπιούσης ἡμέρας οἶμαι αὐτὸ ἥξειν, ἀλλὰ τῆς ἑτέρας. Τεκμαίρομαι δὲ ἔκ τινος ἐνυπνίου, ὃ ἑώρακα ὀλίγον πρότερον ταύτης τῆς νυκτός· καὶ κινδυνεύεις ἐν καιρῷ τινι οὐκ ἐγεῖραί με. —
4 Κρ. Ἦν δὲ δὴ τί τὸ ἐνύπνιον; — Σωκ. Ἐδόκει τίς μοι γυνὴ προσελθοῦσα, καλὴ καὶ εὐειδὴς, λευκὰ ἱμάτια ἔχουσα, καλέσαί με καὶ εἰπεῖν· ὦ Σώκρατες, « Ἡματί κεν τριτάτῳ Φθίην ἐρί-

---

— Τὸ μὴ οὐχὶ) Τὸ Μὴ οὐχὶ ἀντὶ μιᾶς ἀρνήσεως παραδίδοται Ἀττικῶς κατ' ἐπικράτειαν δηλονότι τοῦ Μή.

— Τῇ παρούσῃ τύχῃ) Ἐπὶ τῇ παρούσῃ τύχῃ.

— Ἔστι ταῦτα) Ἀντὶ Εἶεν· ἢ γοῦν Ταῦτα μὲν δὴ οὕτως ἔχέτω· συγκατατιθεμένου ὄχ.

6. Ἐν τοῖς βαρύτατα) Ἐννοεῖται, Ἐνεγκαίμην ἢ φέροιμιν οὕτω καὶ Θουκυδ. Ζ'. α. Ἐν τοῖς χαλεπώτατα ἀνήγον, λέγει· ἐνεσομένου τοῦ, ἀνάγοιμι.

7. Ἐκ Δήλου) Θησεὺς ἀπεὶς ἐκ Κρήτης, ἀθάτα τῷ Ἀπόλλωνι ἑκάστου ἔτους θεωρίαν ἀπαίρειν εἰς Δήλον. Ταύτην τὴν θεωρίαν κατ' ἐνιαυτὸν ἐξ ἐκείνου ἔπεμπον οἱ Ἀθηναῖοι θύσαι καὶ θεοπέσαι τὸν θεόν. Θυσίας τε καὶ ἀγῶνα· οἱ δὲ πεμπόμενοι θύσαι καὶ θεοπέσαι τὸν θεὸν θεωροὶ ἐκέκλητο, καὶ ἡ νῆς θεωρίς· ἣν δὲ νόμος ἀρχομένης τῆς θεωρίας, ἐν τῷ χρόνῳ τούτῳ καθαρεύειν τὴν πόλιν, καὶ δημοσίᾳ μηδένα ἀποκτιννύναι, πρὶν ἂν εἰς Δήλον ἀφίκηται τὸ πλοῖον, κἀκεῖθεν εἰς Ἀθήνας· ἀρχὴ δ' ἔστι τῆς θεωρίας, ἐπειδὰν ὁ ἱερεὺς, θεωρὸς καὶ αὐτὸς καλούμενος, στέψῃ τὴν πρύμναν τοῦ Ἀπόλλωνος. Οὕτως οὖν καὶ Σωκράτης, ἐπειδὴ ἔτυχε τῇ προτεραίᾳ τῆς δίκης τὴν ἀρχὴν τῆς θεωρίας γενέσθαι, πολὺν χρόνον ἦν ἐν τῷ δεσμωτηρίῳ, μέχρι δηλονότι τὸ πλοῖον ἐπέστρεψεν ἐκ Δήλου. Πλατ. Φαιδ. α.

β'. Τύχῃ ἀγαθῇ) Ἀντὶ Γενέσθω· ἢ τοῦ παρ' ἡμῖν ἐν ὥραις καλαῖς.

2. Οἱ τούτων κύρ.) Ἐννοεῖ τοὺς ἑνδεκα· ὡς ἐν Ἀπολογ. κζ'. 6.

3. Τῆς ἐπιούσ.) Θωμᾶς Μάγιστρ. Τῇ ἐπιούσῃ ἐρεῖς, οὐ προσυεῖς τοῦ, Ἡμέρας τῆς ἐπιούσης δὲ ἡμέρας.

— Ὀλίγον πρότ.) Λέγεται δὲ Ὀλίγῳ πρότερον, καὶ ὀλίγον πρότερον· τὸ μὲν, κατ' Ἔλλειψιν τῆς Ἐν, τὸ δὲ, τῆς Κατά.

4. Ἦν δὲ δὴ τί τὸ ἐν.) Τί δὲ ἦν τὸ ἐνύπνιον· ὁ δὲ μεταβατικός, ὁ δὲ ἐμφατικός.

— Ἐδόκει) Ἐπὶ δευτέρας ἀεὶ Ἕλληνες χρῶνται τῷ Δοκεῖν.

— Ἡματί κεν.) Ὅμηρ. Ἰλ. Ι. στίχ. 363.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θωλον ἴκοιο. — Κρ. Ὡς ἄτοπον τὸ ἐνύπνιον, ὦ Σώκρατες; — 5
Σωκ. Ἐναργὲς μὲν οὖν, ὡς γ' ἐμοὶ δοκεῖ, ὦ Κρίτων.

γ'. Κρ. Λίαν γε ὡς ἔοικεν. Ἀλλ', ὦ δαιμόνιε Σώκρατες, ἔτι καὶ νῦν ἐμοὶ πείθου, καὶ σώθητι. Ὡς ἐμοί, ἐὰν σὺ ἀποθάνῃς, οὐδεμία ξυμφορὰ ἔστιν ἄλλη, ἀλλὰ χωρὶς μὲν σοῦ ἐστερῆσθαι, τοιούτου ἐπιτηδείου οἷον ἐγὼ οὐδένα μή ποτε εὑρήσω, ἔτι δὲ καὶ πολλοῖς δόξω, οἱ ἐμὲ καὶ σὲ μὴ σαφῶς ἴσασιν, ὡς οἷός τ' ὢν σε σωζειν, εἰ ἤθελον ἀναλίσκειν χρήματα, ἀμελῆσαι. Καί τοι τίς ἂν αἰσχίων εἴη ταύτης δόξα, ἢ δοκεῖν χρή- 2
ματα περὶ πλείονος ποιεῖσθαι ἢ φίλους; οὐ γὰρ πείσονται οἱ πολλοί, ὡς σὺ αὐτὸς οὐκ ἠθέλησας ἀπιέναι ἐνθένδε, ἡμῶν προθυμουμένων. — Σωκ. Ἀλλὰ τί ἡμῖν, ὦ μακάριε Κρίτων, οὕτω 3
τῆς τῶν πολλῶν δόξης μέλει; οἱ γὰρ ἐπιεικέστατοι, ὧν μάλλον ἄξιον φροντίζειν, ἡγήσονται αὐτὰ οὕτω πεπρᾶχθαι ὥσπερ ἂν πραχθῇ. — Κρ. Ἀλλ' ὁρᾷς δὴ ὅτι ἀνάγκη, ὦ Σώκρατες, καὶ 4
τῆς τῶν πολλῶν δόξης μέλειν. Αὐτὰ δὲ δῆλα τὰ παρόντα νυνί, ὅτι οἷοί τ' εἰσὶν οἱ πολλοὶ οὐ τὰ σμικρότατα τῶν κακῶν ἐξεργάζεσθαι, ἀλλὰ σχεδὸν τὰ μέγιστα, ἐάν τις ἐν αὐτοῖς διαβεβλημένος ᾖ. — Σωκ. Εἰ γὰρ ὤφελον, ὦ Κρίτων, οἷοί τε 5
εἶναι οἱ πολλοὶ τὰ μέγιστα κακὰ ἐξεργάζεσθαι, ἵνα οἷοί τε ἦσαν καὶ ἀγαθὰ τὰ μέγιστα· καὶ καλῶς ἂν εἶχε· νῦν δὲ οὐδέτερα οἷοί τε. Οὔτε γὰρ φρόνιμον οὔτε ἄφρονα δυνατοὶ ποιῆσαι· 6
ποιοῦσι δὲ τοῦτο ὅ,τι ἂν τύχωσι.

δ'. Κρ. Ταῦτα μὲν δὴ οὕτως ἐχέτω. Τάδε δέ, ὦ Σώκρατες, εἰπέ μοι· ὁρά γε μὴ ἐμοῦ προμηθῇ καὶ τῶν ἄλλων ἐπι- 2
τηδείων, μή, ἐὰν σὺ ἐνθένδε ἐξέλθῃς, οἱ συκοφάνται ἡμῖν πράγματα παρέχωσιν, ὡς σὲ ἐνθένδε ἐκκλέψασι, καὶ ἀναγκασθῶμεν ἢ καὶ πᾶσαν τὴν οὐσίαν ἀποβαλεῖν, ἢ συχνὰ χρήματα, ἢ καὶ ἄλλο τι πρὸς τούτοις παθεῖν; εἰ γάρ τι τοιοῦτον φοβῇ, ἔασον αὐτὸ χαίρειν. Ἡμεῖς γάρ που δίκαιοι ἐσμέν, σώσαν- 3
τές σε, κινδυνεύειν τοῦτον τὸν κίνδυνον, καί, ἐὰν δέῃ, ἔτι τούτου μείζω· ἀλλ' ἐμοὶ πείθου, καὶ μὴ ἄλλως ποίει. — Σωκ.

---

5. Ἐναργὲς) Λουκ. Ἐνύπν. φησὶν ὅτι ὁ ὄνειρος ἦν ἐναργὴς οὕτως ὥστε μηδὲν ἀπολειπεσθαι τῆς ἀληθείας.

γ'. Ἄλλη) Αὕτη δηλ. μόνη καὶ μεγίστη ἐμοὶ ξυμφορά ἐστιν, οὐδεμία δηλ. ἐγὼ λογίζομαι ἄλλην συμφορὰν μείζω ταύτης, κατ' ἐμὲ κρίνων.

— Χωρὶς ... ἐστερῆσθ.) Χωρὶς δηλ. τούτου· ὅτι στερήσομαι σοῦ.

2. Περὶ πλείονος ποι.) Προτιμᾶν.

4. Αὐτὰ δὲ δῆλα) Αὐτὰ δηλ. τὰ παρόντα δηλοῦσιν ὅτι κτλ.

— Ἐν αὐτοῖς) Τοῖς πολλοῖς δηλ.

5. Εἰ γὰρ ὤφελον) Ὁ Εἰ εὐκτικὸς ἀντὶ Εἴθε.

— Οἷοί τε) Εἰσὶ δηλ.

δ'. 2. Ἔασον αὐτὸ χαίρειν) Ἰδίωμα ἀντὶ τοῦ καθ' ἡμᾶς, ἄφες αὐτὸ ἐνα χαθῆ.

3. Δίκαιοι ἐσμέν) Ἀττικισμός· ἀντὶ δικαίοι ἐστιν, ἡμᾶς σώσαντας κινδυνεύειν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

4 Καὶ ταῦτα προμηθοῦμαι, ὦ Κρίτων, καὶ ἄλλα πολλά. — Κρ. Μὴ τοίνυν ταῦτα φοβοῦ· καὶ γὰρ οὐδὲ πολὺ τἀργύριόν ἐστιν, ὁ θέλουσι λαβόντες τινὲς σῶσαί σε καὶ ἐξαγαγεῖν ἐνθένδε. Ἔπειτα οὐχ ὁρᾷς τούτους τοὺς συκοφάντας, ὡς εὐτελεῖς, καὶ οὐ-
5 δὲν ἂν δέοι ἐπ' αὐτοὺς πολλοῦ ἀργυρίου; Σοὶ δὲ ὑπάρχει μὲν τὰ ἐμὰ χρήματα, ὡς ἐγῷμαι ἱκανά· ἔπειτα καὶ εἴτι ἐμοῦ κηδόμενος οὐκ οἴει δεῖν ἀναλίσκειν τὰ ἐμά, ξένοι οὗτοι ἐνθάδε ἕτοιμοι ἀναλίσκειν. Εἷς δὲ καὶ κεκόμικεν ἐπ' αὐτὸ τοῦτο ἀργύριον ἱκανόν, Σιμμίας ὁ Θηβαῖος· ἕτοιμος δὲ καὶ Κέβης καὶ
6 ἄλλοι πολλοὶ πάνυ. Ὥστε, ὅπερ λέγω, μήτε ταῦτα φοβούμενος ἀποκάμῃς σῶσαι σαυτόν, μήτε ὃ ἔλεγες ἐν τῷ δικαστηρίῳ, δυσχερές σοι γενέσθω, ὅτι οὐκ ἂν ἔχοις ἐξελθών, ὅτι χρῷο σεαυτῷ· πολλαχοῦ μὲν γὰρ καὶ ἄλλοσε ὅποι ἂν ἀφίκῃ, ἀγαπή-
7 σουσί σε· ἂν δὲ βούλῃ εἰς Θετταλίαν ἰέναι, εἰσὶν ἐμοὶ ἐκεῖ ξένοι, οἵ σε περὶ πολλοῦ ποιήσονται, καὶ ἀσφάλειάν σοι παρέξονται, ὥστε σε μηδένα λυπεῖν τῶν κατὰ Θετταλίαν.

ε. Ἔτι δέ, ὦ Σώκρατες, οὐδὲ δίκαιόν μοι δοκεῖς ἐπιχειρεῖν πράγμα, σαυτὸν προδοῦναι, ἐξὸν σωθῆναι, καὶ τοιαῦτα σπεύδεις περὶ σαυτὸν γενέσθαι ἅπερ ἂν καὶ οἱ ἐχθροί σου σπεύσαιέν
2 τε καὶ ἔσπευσαν, σὲ διαφθεῖραι βουλόμενοι. Πρὸς δὲ τούτοις, καὶ τοὺς υἱεῖς τοὺς σαυτοῦ ἔμοιγε δοκεῖς προδιδόναι, οὓς σοι ἐξὸν καὶ ἐκθρέψαι καὶ ἐκπαιδεῦσαι οἰχήσῃ καταλιπών, καὶ τὸ
3 σὸν μέρος, ὅτι ἂν τύχωσι, τοῦτο πράξουσι. Τεύξονται δέ, ὡς τὸ εἰκός, τοιούτων οἷάπερ εἴωθε γίγνεσθαι ἐν ταῖς ὀρφανίαις περὶ τοὺς ὀρφανούς. Ἢ γὰρ οὐ χρὴν ποιεῖσθαι παῖδας, ἢ ξυνδιαταλαιπωρεῖν καὶ τρέφοντα καὶ παιδεύοντα· σὺ δέ μοι δοκεῖς
4 ῥᾳθυμότατα αἱρεῖσθαι. Χρὴ δέ, ἅπερ ἂν ἀνὴρ ἀγαθὸς καὶ ἀνδρεῖος ἕλοιτο, ταῦτα αἱρεῖσθαι, ῥᾴσκοντά γε δὴ ἀρετῆς διὰ
5 παντὸς τοῦ βίου ἐπιμελεῖσθαι. Ὡς ἔγωγε καὶ ὑπὲρ σοῦ καὶ ὑπὲρ ἡμῶν τῶν σῶν ἐπιτηδείων αἰσχύνομαι, μὴ δόξῃ ἅπαν τὸ πρᾶγμα τὸ περὶ σὲ ἀνανδρίᾳ τινὶ τῇ ἡμετέρᾳ πεπράχθαι· καὶ ἡ εἴσοδος τῆς δίκης εἰς τὸ δικαστήριον ὡς εἰσήλθες, ἐξὸν μὴ εἰσελθεῖν, καὶ αὐτὸς ὁ ἀγὼν τῆς δίκης ὡς ἐγένετο, καὶ τὸ τελευταῖον

---

5. Σιμμίας) Ἐπεξήγησις τοῦ Εἷς.

7. Περὶ πολλοῦ ποιήσ.) Πολὺ περιποιήσονταί σοι.

ε. 2. Τὸ σὸν μέρος) Τὸ παρ' ἡμῖν ὀφεῖλον ὑπὸ μέρους σοῦ.

3. Ἢ ξυνδιαταλαιπωρεῖν) Ἢ χρὴ ποιήσαντα παῖδας, ξυνδιαταλαιπωρεῖν.

4. Φαυλοτάτα γε δὴ) Καὶ μάλιστα εὐφλεγῶν ὅτι ἐπιμελήθης δ' ἅπαντος βίου ἀρετῆς.

5. Εἴσοδος τῆς δίκης) Εἰς τὸ δικαστήριόν ἐστιν, ὅταν ὁ ὑπαίτιος ἄγεται εἰς τὸ δικαστήριον ἀπολογησόμενος.

— Καὶ τὸ τελευταῖον) Καὶ μὴ δόξῃ τὸ τελευταῖον δὴ τοῦτο, ὥσπερ κυριωτάτης τῆς πράξεως πεπραχθαι, τὸ δοκεῖν δὴ ἡμᾶς διαφθεῖρειν καὶ τινὶ ἀνανδρίᾳ τῇ ἡμετέρᾳ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὴ τουτί, ὥσπερ κατάγελως τῆς πράξεως, κακία τινὶ καὶ ἀνανδρίᾳ τῇ ἡμετέρᾳ· διαπεφευγέναι ἡμᾶς δοκεῖν, οἵ τινές σε οὐ διεσώσαμεν, οὐδὲ σὺ σαυτόν, οἷόν τε ὂν καὶ δυνατόν, εἴτι καὶ σμικρὸν ἡμῶν ὄφελος ἦν. Ταῦτ' οὖν, ὦ Σώκρατες, ὅρα μὴ ἅμα τῷ κακῷ καὶ αἰσχρὰ ἥ σοί τε καὶ ἡμῖν· ἀλλὰ βουλεύου· μᾶλλον δὲ οὐδὲ βουλεύεσθαι ἔτι ὥρα, ἀλλὰ βεβουλεῦσθαι. Μία δὲ βουλή. Τῆς γὰρ ἐπιούσης νυκτὸς πάντα ταῦτα δεῖ πεπράχθαι. Εἰ δέ τι περιμενοῦμεν, ἀδύνατον καὶ οὐκέτι οἷόν τε. Ἀλλὰ παντὶ τρόπῳ, ὦ Σώκρατες, πείθου μοι, καὶ μηδαμῶς ἄλλως ποίει.

ς'. Σωκ. Ὦ φίλε Κρίτων, ἡ προθυμία σου πολλοῦ ἀξία, εἰ μετά τινος ὀρθότητος εἴη· εἰ δὲ μή, ὅσῳ μείζων, τοσούτῳ χαλεπωτέρα. Σκοπεῖσθαι οὖν χρὴ ἡμᾶς, εἴτε ταῦτα πρακτέον εἴτε μή· ὡς ἐγὼ οὐ μόνον νῦν, ἀλλὰ καὶ ἀεὶ τοιοῦτος, οἷος τῶν ἐμῶν μηδενὶ ἄλλῳ πείθεσθαι ἢ τῷ λόγῳ, ὃς ἂν μοι λογιζομένῳ βέλτιστος φαίνηται. Τοὺς δὴ λόγους οὓς ἐν τῷ ἔμπροσθεν ἔλεγον, οὐ δύναμαι νῦν ἐκβαλεῖν, ἐπειδή μοι ἥδε ἡ τύχη γέγονεν· ἀλλὰ σχεδόν τι ὅμοιοι φαίνονταί μοι, καὶ τοὺς αὐτοὺς πρεσβεύω καὶ τιμῶ, οὕσπερ καὶ πρότερον. Ὧν ἐὰν μὴ βελτίω ἔχωμεν λέγειν ἐν τῷ παρόντι, εὖ ἴσθι ὅτι οὐ μή σοι ξυγχωρήσω, οὐδ' ἂν πλείω τῶν νῦν παρόντων ἡ τῶν πολλῶν δύναμις, ὥσπερ παῖδας ἡμᾶς μορμολύττηται, δεσμοὺς καὶ θανάτους ἐπιπέμπουσα, καὶ χρημάτων ἀφαιρέσεις. — Κρ. Πῶς οὖν ἂν μετριώτατα σκοποίμεθα αὐτά; — Σωκ. Εἰ πρῶτον μὲν τοῦτον τὸν λόγον ἀναλάβοιμεν, ὃν σὺ λέγεις περὶ τῶν δοξῶν, πότερον καλῶς ἐλέγετο ἑκάστοτε, ἢ οὔ, ὅτι ταῖς μὲν δεῖ τῶν δοξῶν προσέχειν τὸν νοῦν, ταῖς δὲ οὔ·

— Οἷόν τε ὂν καὶ δυνατὸν) Ἐκ παραλλήλου ταὐτοδύναμα γὰρ τὸ Οἷόν τε ὄν, καὶ δυνατόν.

5. βουλεύεσθαι) Ἀλλ' ἔστιν ὥρα τετελεσμένην εἶναι τὴν βουλὴν τοιοῦτό τι δηλοῖ ὁ παρακείμενος· ἐντελῆ δηλονότι ἐνεστῶτα, καὶ ἄστι παρῳχημένον· καίτοι ἐν τελικῷ ὀπαρεμφάτῳ μὴ ἔξον παρακειμένῳ χρῆσθαι· ἀλλ' οὖν ἡ ἀνάγκη τοῦ σημαινομένου, καὶ τοῦ λόγου καὶ τοῦτο εἰσήγαγε.

6. Μία δὲ βουλή) Ἔστω δηλ.

— Ἀδύνατον, καὶ οὐκ ἔτι οἷόν τε) Ἐκ παραλλήλου.

ς'. Ἀξία) Ἐστὶ δηλ.

2. Πρακτέον) Εἴη εἰς διασάφησιν τῆς ἐγκλήσεως.— Οἷος . . . πειθεσθαι) Οἷον τοιοῦτος εἰμι, ὥστε πείθεσθαι· μετὰ μέν τοι τὸ Τοιοῦτος πολλάκις καὶ τὸ Οἷος ἀποστηματικῶς λέγεται.

3. Πρεσβεύω καὶ τιμῶ) Ἐκ παραλλήλου· τὸ γὰρ πρεσβεύειν καὶ τιμᾷν ταὐτὸ δύνανται.

4. Οὐδ' ἂν πλείω . . . μορμολύττηται) Οὐδ' ἂν φοβῇ ἡμᾶς, ὥσπερ παῖδας, πλείω κακὰ οἷον δεσμοὺς καὶ θανάτους ἐπιπέμπουσα ἡ τῶν πολλῶν δύναμις. Ἡ μεταφορὰ ἐκ τῶν μορμολυκείων, εἰτ' οὖν, προσωπείων δ' ὧν ἐκφοβοῦσι τοὺς παῖδας, Εἰλήφθαι δὲ δοκεῖ ἐκ τῶν Ὁμήρου. Ἰλ. Υ. στίχ. 200.

Πηλεΐδη, μή δή μ' ἐπέεσσί γε, νηπύτιον ὡς
Ἔλπεο δειδίξεσθαι.

5. Προσέχειν τὸν νοῦν) Ὅπερ ἡμεῖς μόνον διὰ τοῦ Προσέχειν ἐκφέρομεν· δηλοῖ δὲ ἔχειν τὸν νοῦν πρὸς μὲν ταῖς, πρὸς δὲ ταῖς· εἰτ' οὖν πλησίον μὲν τῶν, πλησίον δὲ τῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἢ πρὶν μὲν ἐμὲ δεῖν ἀποθνήσκειν, καλῶς ἐλέγετο, νῦν δὲ κατά-
δηλος ἄρα ἐγένετο ὅτι ἄλλως ἕνεκα λόγου ἐλέγετο, ἦν δὲ παι-
6 διὰ καὶ φλυαρία ὡς ἀληθῶς. Ἐπιθυμῶ δ' ἔγωγε ἐπισκέψασθαι,
ὦ Κρίτων, καινὴ μετὰ σοῦ, εἴτι μοι ἀλλοιότερος φανεῖται, ἐπειδή
γε ὧδε ἔχω, ἢ ὁ αὐτός, καὶ ἐάσομεν χαίρειν, ἢ πεισόμεθα αὐτῷ.
7 Ἐλέγετο δέ πως, ὡς ἐγῴμαι, ἑκάστοτε ὧδε ὑπὸ τῶν οἰομένων
τι λέγειν, ὥσπερ νῦν δὴ ἐγὼ ἔλεγον· ὅτι τῶν δοξῶν, ἃς οἱ ἄν-
θρωποι δοξάζουσι, δέοι τὰς μὲν περὶ πολλοῦ ποιεῖσθαι, τὰς
8 δὲ μή. Τοῦτο πρὸς θεῶν, ὦ Κρίτων, οὐ δοκεῖ καλῶς σοι λέγε-
σθαι; σὺ γάρ, ὅσα γε τἀνθρώπεια, ἐκτὸς εἰ τοῦ μέλλειν ἀπο-
θνήσκειν αὔριον, καὶ οὐ κάνσε παρακρούει ἡ παροῦσα ξυμφορά.
9 Σκόπει δὴ· οὐχ ἱκανὸς δοκεῖ σοι λέγεσθαι ὅτι οὐ πάσας χρὴ τὰς
δόξας τὰς τῶν ἀνθρώπων τιμᾶν, ἀλλὰ τὰς μέν, τὰς δ' οὔ, οὐδὲ
πάντων, ἀλλὰ τῶν μέν, τῶν δ' οὔ; — τί φῂς; ταῦτα οὐχὶ καλῶς
10 λέγεται; — Κρ. Καλῶς. — Σωκ. Οὐκοῦν τὰς μὲν χρηστὰς
τιμᾶν, τὰς δὲ πονηρὰς μή; — Κρ. Ναί. — Σωκ. Χρηστὰ
δέ, οὐχ αἱ τῶν φρονίμων· πονηραὶ δέ, αἱ τῶν ἀφρόνων; Κρ.
Πῶς δ' οὔ;

ζ'. Σωκ. Φέρε δὴ πῶς αὐτὰ τοιαῦτα ἐλέγετο; Γυμναζόμενος
ἀνὴρ καὶ τοῦτο πράττων, πότερον παντὸς ἀνδρὸς ἐπαίνῳ καὶ
ψόγῳ [καὶ δόξῃ] τὸν νοῦν προσέχει, ἢ ἑνὸς μόνου ἐκείνου ὃς ἂν
2 τυγχάνοι ἰατρὸς ἢ παιδοτρίβης ὤν; — Κρ. Ἑνὸς μόνου. —
Σωκ. Οὐκοῦν φοβεῖσθαι χρὴ τοὺς ψόγους καὶ ἀσπάζεσθαι τοὺς
ἐπαίνους τοὺς τοῦ ἑνὸς ἐκείνου, ἀλλὰ μὴ τοὺς τῶν πολλῶν; —
Κρ. Δῆλα δή. — Σωκ. Ταύτῃ ἄρα αὐτῷ πρακτέον καὶ γυμνα-
στέον καὶ ἐδεστέον γε καὶ ποτέον, ᾗ ἂν τῷ ἑνὶ δοκῇ τῷ ἐπιστάτῃ
3 καὶ ἐπαίοντι, μᾶλλον ἢ ᾗ ξύμπασι τοῖς ἄλλοις. — Κρ. Ἔστι
ταῦτα. — Σωκ. Εἶεν. Ἀπειθήσας δὲ τῷ ἑνί, καὶ ἀτιμάσας αὐ-
τοῦ τὴν δόξαν καὶ τοὺς ἐπαίνους, τιμήσας δὲ τοὺς τῶν πολλῶν
καὶ μηδὲν ἐπαίοντων, ἄρα οὐδὲν κακὸν πείσεται; — Κρ. Πῶς
γὰρ οὔ; — Σωκ. Τί δ' ἔστι τὸ κακὸν τοῦτο; καὶ ποῖ τείνει, καὶ
εἰς τί τῶν τοῦ ἀπειθοῦντος; — Κρ. Δῆλον ὅτι εἰς τὸ σῶμα·

---

5. Ἄλλως) Κατ' ἄλλον τινὰ μάταιον καὶ ἀνωφελῆ λόγον, ἁπλῶς ἵνα γένηται διαλεξις καὶ ὁμιλία.

6. Φανεῖται) Ὁ λόγος δηλ.

— Καὶ ἐάσομεν χαίρειν) Αὐτὸν τὸν λόγον· ἐὰν ἀλλοιότερος φανῇ· ἢ πεισόμεθα αὐτῷ, ἐὰν ὁ αὐτὸς φανῇ.

8. Ὅσα γε τἀνθρώπεια) Καθ' ὅσα ἐστὶ τὰ ἀνθρώπινα κατὰ τὸν δυνατὸν ἢ φαινόμενον τῶν ἐν ἀνθρώποις.

9. Οὐδὲ πάντων) Τῶν ἀνθρώπων.

ζ'. Ἑνὸς καὶ μόνου) Ἀνδρὸς ἐπαίνῳ προσέχει τὸν νοῦν ἢ ψόγῳ.

2. Δῆλα δή) Δῆλα ἐστὶ δὴ ταῦτα. ὅπερ ἐστὶ βεβαιότατα.

— Ταύτῃ ᾗ) Οὕτω δηλ. ὡς.

— Τῷ ἐπιστάτῃ) Ἴσαν γὰρ ἐπιστάται τῶν γυμναζομένων καλούμενοι Παιδοτρίβαι· ἢ γυμνασταὶ οἱ τοῖς γυμναζομένοις ἐπεστάτουν.

3. Καὶ εἰς τί τῶν) Ἔργων τοῦ ἀπειθ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῦτο γὰρ διέλλυσι. — Σωκ. Καλῶς λέγεις. Οὐκοῦν καὶ τἆλλα, 4
ὦ Κρίτων, οὕτως, ἵνα μὴ πάντα διίωμεν καὶ δὴ καὶ περὶ τῶν δι-
καίων καὶ ἀδίκων, καὶ αἰσχρῶν καὶ καλῶν, καὶ ἀγαθῶν καὶ κακῶν,
περὶ ὧν νῦν ἡμῖν ἐστιν ἡ βουλή, πότερον τῇ τῶν πολλῶν δόξῃ δεῖ
ἡμᾶς ἕπεσθαι, καὶ φοβεῖσθαι αὐτήν, ἢ τῇ τοῦ ἑνός, εἴ τίς ἐστιν ἐ-
παΐων, ὃν δεῖ καὶ αἰσχύνεσθαι καὶ φοβεῖσθαι μᾶλλον ἢ ξύμ-
παντας τοὺς ἄλλους; ᾧ εἰ μὴ ἀκολουθήσομεν, διαφθεροῦμεν ἐκεῖνο
καὶ λωβησόμεθα, ὃ τῷ μὲν δικαίῳ βέλτιον ἐγίγνετο, τῷ δὲ ἀ-
δίκῳ ἀπώλλυτο; ἢ οὐδέν ἐστι τοῦτο; — Κρ. Οἶμαι ἔγωγε, ὦ
Σώκρατες.

ἢ. Σωκ. Φέρε δή, ἐὰν τὸ ὑπὸ τοῦ ὑγιεινοῦ μὲν βέλτιον γι-
γνόμενον, ὑπὸ τοῦ νοσώδους δὲ διαφθειρόμενον, διολέσωμεν, πει-
θόμενοι μὴ τῇ τῶν ἐπαΐόντων δόξῃ, ἆρα βιωτὸν ἡμῖν ἐστι διεφ-
θαρμένου αὐτοῦ; ἔστι δέ που τοῦτο σῶμα, ἢ οὐχί; — Κρ. Ναί.
— Σωκ. Ἆρ' οὖν βιωτὸν ἡμῖν ἐστὶ μετὰ μοχθηροῦ καὶ διεφ-
θαρμένου σώματος; — Κρ. Οὐδαμῶς. — Σωκ. Ἀλλὰ μετ' ἐ- 2
κείνου ἆρα ἐστὶν ἡμῖν βιωτὸν διεφθαρμένου, ὃ τὸ ἄδικον μὲν λω-
βᾶται, τὸ δὲ δίκαιον ἀνίκησιν; ἢ φαυλότερον ἡγούμεθα εἶναι
τοῦ σώματος ἐκεῖνο ὅ,τι ποτ' ἐστὶ τῶν ἡμετέρων, περὶ ὃ τε ἀ-
δικία καὶ ἡ δικαιοσύνη ἐστίν; — Κρ. Οὐδαμῶς. — Σωκ. Ἀλ- 3
λὰ τιμιώτερον; — Κρ. Πολύ γε. — Σωκ. Οὐκ ἄρα, ὦ βέλτι-
στε, πάνυ ἡμῖν οὕτω φροντιστέον ὅ,τι ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς,
ἀλλ' ὅ,τι ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων, ὁ εἷς, καὶ αὐτὴ
ἡ ἀλήθεια. Ὡς τε πρῶτον μὲν ταύτῃ οὐκ ὀρθῶς εἰσηγῇ, εἰσηγού- 4
μενος τῆς τῶν πολλῶν δόξης δεῖν ἡμᾶς φροντίζειν περὶ τῶν δι-
καίων καὶ καλῶν καὶ ἀγαθῶν, καὶ τῶν ἐναντίων. Ἀλλὰ μὲν δὴ 5
φαίη γ' ἄν τις οἷοί τε εἰσὶν ἡμᾶς οἱ πολλοὶ ἀποκτεινύναι· δῆλα δὴ
καὶ ταῦτα. — Κρ. Φαίη γὰρ ἄν, ὦ Σώκρατες. — Σωκ. Ἀλη- 6
θῆ λέγεις. Ἀλλ', ὦ θαυμάσιε, οὗτός γε ὁ λόγος ὃν διεληλύθαμεν,
ἔμοιγε δοκεῖ ἔμμονος εἶναι καὶ ὁ πρότερον. Καὶ τόνδε δ' αὖ σκόπει, εἰ ἔτι μένει ἡμῖν, ἢ οὔ, ὅτι οὐ τὸ ζῆν περὶ πλείστου ποιη-
τέον, ἀλλὰ τὸ εὖ ζῆν. — Κρ. Ἀλλὰ μένει. — Σωκ. Τὸ δὲ εὖ καὶ

---

4. Οὕτω) Δεῖ λέγειν, ἢ ἐνοεῖν.
κ. Πειθόμενοι μὴ τῇ) Καθ' ὑπερβατὸν ἀντὶ τοῦ πειθόμενοι τῇ δόξῃ τῶν μὴ ἐπαϊόντων.
2. Μετ' ἐκείνου) Τοῦ μέρους ἡμῶν, ἔστι δὲ τοῦτο ἡ ψυχή.
— Ὁ) Μέρος ἡμῶν.
3. Ὁ εἷς) Ἐκτου Ὁμήρου εἰρηται λεγόντος.
Εἷς θεὸς ἔστω Ζεύς, ὃ τε οὐρανόθεν ἔσκε, ἀνθ' ἑνός.
4. Ταύτῃ) Τῇ ἀληθείᾳ δηλ.
6. Καὶ ὁ πρότερον) Πρεσκιανὸς οὐ. Οἱ Ἀττικοὶ φασὶ λέγουσι. Ὅμοιος ἐστὶ λόγος, καὶ πότερον ἀντὶ οἷος καὶ ὁ πρότερον. Πλάτων Κριτων. Ἀλλ, ὦ θαυμάσιε, οὗτός γε ὁ λόγος, ὃν διεληλύθαμεν, δοκεῖ ἂν ὅμοιος εἶναι, καὶ ὁ πρότερος· ἀντὶ τοῦ οἷος καὶ ὁ πρότερος.
— Καὶ τόνδε δὴ) Τὸν λόγον δηλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καλῶς καὶ δικαίως ὅτι ταὐτόν ἐστι, μένει, ἢ οὐ μένει; — Κρ. Μένει.

Σ'. Σωκ. Οὐκοῦν ἐκ τῶν ὁμολογουμένων τοῦτο σκεπτέον, πότερον δίκαιον ἐμὲ ἐνθένδε πειρᾶσθαι ἐξιέναι, μὴ ἀριέντων Ἀθηναίων, ἢ οὐ δίκαιον· καὶ ἐὰν μὲν φαίνηται δίκαιον, πειρώμεθα·
2 εἰ δὲ μή, ἐῶμεν. Ἃς δὲ σὺ λέγεις τὰς σκέψεις περί τε χρημάτων ἀναλώσεως καὶ δόξης, καὶ παίδων τροφῆς, μὴ ὡς ἀληθῶς ταῦτα, ὦ Κρίτων, σκέμματα ἢ τῶν ῥᾳδίως ἀποκτεννόντων, καὶ ἀναβιωσκομένων γ' ἄν, εἰ οἷοί τε ἦσαν, οὐδενὶ ξυν νῷ, τούτων τῶν πολλῶν· ἡμῖν δὲ (ἐπειδὴ ὁ λόγος οὕτως αἱρεῖ) μὴ οὐδὲν ἄλλο σκεπτέον ἢ ἤ, ὅπερ νῦν δὴ ἐλέγομεν, πότερον δίκαια πράξομεν καὶ χρήματα τελοῦντες τούτοις τοῖς ἐμὲ ἐνθένδε ἐξάξουσι καὶ χάριτας, καὶ αὐτοὶ ἐξάγοντές τε καὶ ἐξαγόμενοι, ἢ τῇ ἀ-
3 ληθείᾳ ἀδικήσομεν πάντα ταῦτα ποιοῦντες· κἂν φαινώμεθα ἄδικα αὐτὰ ἐργαζόμενοι, μὴ οὐ δεῖ ὑπολογίζεσθαι, οὔτ' εἰ ἀποθνήσκειν δεῖ παραμένοντας καὶ ἡσυχίαν ἄγοντας, οὔτε ἄλλο
4 ὁτιοῦν πάσχειν, πρὸ τοῦ ἀδικεῖν. — Κρ. Καλῶς μέν μοι δοκεῖς λέγειν, ὦ Σώκρατες· ὅρα δὲ τί δρῶμεν. — Σωκ. Σκοπῶμεν, ὦ γαθέ, κοινῇ· καὶ εἴπῃ ἔχεις ἀντιλέγειν ἐμοῦ λέγοντος, ἀντίλεγε, καί σοι πείσομαι· εἰ δὲ μή, παῦσαι ἤδη, ὦ μακάριε, πολλάκις μοι λέγων τὸν αὐτὸν λόγον, ὡς χρὴ ἐνθένδε ἀκόντων Ἀθηναίων ἐμὲ ἀπιέναι. Ὡς ἐγὼ περὶ πολλοῦ ποιοῦμαι πείσαί σε
5 ταῦτα πράττειν, ἀλλὰ μὴ ἄκοντος. Ὅρα δὲ δὴ τῆς σκέψεως τὴν ἀρχήν, ἐάν σοι ἱκανῶς λέγηται, καὶ πειρῶ ἀποκρίνασθαι τὸ ἐρωτώμενον, ᾗ ἂν μάλιστα οἴῃ. — Κρ. Ἀλλὰ πειράσομαι.

Σ'. 2. Ἃς δὲ σὺ λέγεις) Οἷον αἱ δὲ σκέψεις, ἃς σὺ λέγεις, μὴ ὧσιν ὡς ἀληθῶς σκέμματα τῶν ῥᾳδίως ἀποκτεννόντων.

— Ταῦτα) Ἐπειδὴ τὸ, Σκέψεις πλαγίως εἰς τὸ λέγεις ἐξέφερεν· ἐπαναλαμβάνει ἐν οὐδετέρῳ γένει πρὸς τὸ σημαινόμενον.

— Τούτων τῶν πολλῶν) Ἐξήγησις τοῦ τῶν ῥᾳδίως ἀποκτεννόντων· ὁμοῦ τουτων τῶν πολλῶν.

— Καὶ χάριτας) Χάριν εἰδέναι, χάριν ἔχειν, χάριν ὁμολογεῖν, χάριν διδόναι, χάριν ἐκτείνειν λέγουσιν Ἕλληνες· χάριν δὲ τελεῖν οὔ. Ἔδει οὖν εἰπεῖν τὸν Πλάτωνα. Καὶ χρήματα τελοῦντες, καὶ χάριτας ποιούμενοι· ὥσπερ ἐν Ἀπολ. σ'. 2. σφίσι ξυνεῖναι χρήματα ἀδοῦντας, καὶ χάριν ποιεῖσθαι· ὁ δέ, πρὸς τὸ ἓν ἔθνος ἀποδοὺς ἄμφω τὰ ὀνόματα· ἐπειδὴ γὰρ λέγεται χάριν ἐκτείνειν· οὐδὲν ξένον καὶ τελεῖν χάριν εἰπεῖν πρὸς ἀποφυγὴν τοῦ προσπῖπτειν ἄλλο ῥῆμα ἰδιάζον πρὸς τὸ χάριν.

3. οὔτε ἄλλο) Ἀπὸ κοινοῦ, Εἰ δεῖ· οὐ γ' οὔτ' εἰ δεῖ ἄλ.

— Πρὸ τοῦ ἀδικεῖν) Ἀντὶ μᾶλλον ἢ ἀδικεῖν· προτίμησιν γὰρ σημαίνει ἡ Πρό.

4. Περὶ πολλοῦ ποιοῦμαι· καὶ τ.) Πολὺ γὰρ ἐγὼ προτιμῶ, ἵνα πείσῃσε ὅπως ταῦτα ποιήσῃς, ἄνερ λέγω· ἀλλὰ μὴ ποιήσῃς, ἄκοντός σου. Σημειωσαι δὲ ὅτι τὸ, Ἄκοντος, ἐν εἴδει ἐπιβήματος λαμβάνεται· οἷον· ἀλλὰ μὴ ἄκοντί ποιήσῃς· ὅθεν καὶ εἰ ἀπολύτως ἐν ταὐτοπρωσωπίᾳ λέγεται· οὐδὲν ξένον.

5. Ὅρα δὲ δή) Ὅρα δέ, ἐὰν ἱκανῶς λέγηται ταῦτα, ὅπερ ἐστὶν ἀρχὴ τῆς σκέψεως. Ἔστι δὲ τὸ ἐν τῷ κεφ. λεγόμενον. — Ἢ ἂν μάλιστα) Ὡς ἂν μάλιστα νομίζῃς καλῶς ἔχειν εἶναι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἱ. Σωκ. Οὐδενὶ τρόπῳ φαμὲν ἑκόντας ἀδικητέον εἶναι· ἢ τινὶ μὲν ἀδικητέον τρόπῳ, τινὶ δὲ οὔ; ἢ οὐδαμῶς τό γε ἀδικεῖν οὔτε ἀγαθὸν οὔτε καλὸν, ὡς πολλάκις ἡμῖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ ὡμολογήθη; ὅπερ καὶ ἄρτι ἐλέγετο. Ἦ πᾶσαι ἡμῖν ἐκεῖναι αἱ πρόσθεν ὁμο- 2
λογίαι ἐν ταῖςδε ταῖς ὀλίγαις ἡμέραις ἐκκεχυμέναι εἰσὶ; καὶ πάλαι, ὦ Κρίτων, ἄρα τηλικοῖδε γέροντες ἄνδρες πρὸς ἀλλήλους σπουδῇ διαλεγόμενοι, ἐλάθομεν ἡμᾶς αὐτοὺς παίδων οὐδὲν διαφέροντες; ἢ παντὸς μᾶλλον οὕτως ἔχει, ὥσπερ τότε ἐλέγετο ἡμῖν, εἴτι φασὶν οἱ πολλοί, εἴτε μή; Καὶ εἴτε δεῖ ἡμᾶς ἔτι τῶνδε 3
χαλεπώτερα πάσχειν, εἴτε καὶ πρᾴοτερα, ὅμως τό γε ἀδικεῖν τῷ ἀδικοῦντι καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει ὂν παντὶ τρόπῳ φαμὲν, ἢ οὔ; — Κρ. Φαμέν. — Σωκ. Οὐδαμῶς ἄρα δεῖ ἀ- 4
δικεῖν; — Κρ. Οὐ δῆτα. — Σωκ. Οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται· ἐπειδή γε οὐδαμῶς δεῖ ἀδικεῖν; — Κρ. Οὐ φαίνεται. — Σωκ. Τί δὲ δή; κακουργεῖν δεῖ, ὦ 5
Κρίτων, ἢ οὔ; — Κρ. Οὐ δεῖ δήπου, ὦ Σώκρατες. — Σωκ. Τί δέ; ἀντικακουργεῖν κακῶς πάσχοντα, ὡς οἱ πολλοί φασι, δίκαιον, ἢ οὐ δίκαιον; — Κρ. Οὐδαμῶς. — Σωκ. Τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους, τοῦ ἀδικεῖν οὐδὲν διαφέρει. — Κρ. Ἀληθῆ 6
λέγεις. — Σωκ. Οὔτε ἄρα ἀνταδικεῖν δεῖ, οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων, οὐδ' ἂν ὁτιοῦν πάσχῃ ὑπ' αὐτῶν. Καὶ ὅρα, ὦ Κρίτων, ταῦτα καθομολογῶν, ὅπως μὴ παρὰ δόξαν ὁμολογεῖς. Οἶδα γὰρ ὅτι ὀλίγοις τισὶ ταῦτα καὶ δοκεῖ καὶ δόξει· οἷς οὖν οὕτω δέδοκται, καὶ οἷς μή, τούτοις οὐκ ἔστι κοινὴ βουλή, ἀλλ' ἀνάγκη τούτους ἀλλήλων καταφρονεῖν, ὁρῶντας τὰ ἀλλήλων βουλεύματα. Σκόπει δὴ οὖν καὶ σὺ εὖ μάλα, πότερον κοινωνεῖς καὶ 7
συνδοκεῖ σοι, καὶ ἀρχώμεθα ἐντεῦθεν βουλευόμενοι, ὡς οὐδέποτε ὀρθῶς ἔχοντος οὔτε τοῦ ἀδικεῖν οὔτε τοῦ ἀνταδικεῖν, οὔτε τὸ κακῶς πάσχοντα ἀμύνεσθαι ἀντιδρῶντα κακῶς· ἢ ἀρίστασαι καὶ οὐ κοινωνεῖς τῆς ἀρχῆς. Ἐμοὶ μὲν γὰρ καὶ πάλαι οὕτω, 8
καὶ νῦν ἔτι δοκεῖ· σοὶ δὲ εἴπῃ ἄλλῃ δεδόκται, λέγε καὶ δίδασκε. Εἰ δὲ ἐμμένεις τοῖς πρόσθεν, τὸ μετὰ τοῦτο ἄκουε. — Κρ. Ἀλλ' 9
ἐμμένω τε καὶ ξυνδοκεῖ μοι· ἀλλὰ λέγε. — Σωκ. Λέγω δή· οὐ τὸ μετὰ τοῦτο, μᾶλλον δὲ ἐρωτῶ· πότερον ἃ ἂν τις ὁμολογήσῃ τῷ, δίκαια ὄντα, ποιητέον ἢ ἐξαπατητέον; — Κρ. Ποιητέον.

ἱ. 2. Ἦ παντὸς μᾶλλον) Ἀντὶ ὑπὲρ πάν ἄλλο μᾶλλον οὕτως ἔχει ὅπερ ἐστὶ πάντως οὕτως ἔχει.

3. Παντὶ τρόπῳ) Ὅπως ἂν θεωρηθῇ πανταχόθεν ἐξεταζόμενον.

7. Ἢ οὐδέποτε) Τὸ Ἢ; εἰκαστικὸν πρὸς μετοχὴν ἐπιφέρουσαν. Σωκράθες δὲ τοῦτο τοιοῦτο γὰρ καὶ τὸ Λουκιαν. Διάλ. νεκρ· Καὶ μὴν οὕτως γνώσκε, ὡς οὐδὲ παυσομένου μου.

8. Εἴπῃ ἄλλῃ) Ἐὰν ἄλλως πως δικαιοσύνῃ.

9. Ἀλλὰ λέγε) Παρακελευματικὸς ὁ Ἀλλά.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ιά. Σωκ. Ἐκ τούτων δὴ ἄθρει. Ἀπιόντες ἐνθένδε ἡμεῖς μὴ πείσαντες τὴν πόλιν, πότερον κακῶς τινας ποιοῦμεν, καὶ ταῦτα, οὓς ἥκιστα δεῖ, ἢ οὔ; καὶ ἐμμένομεν οἷς ὡμολογήσαμεν δικαίοις οὖσιν, ἢ οὔ; — Κρ. Οὐκ ἔχω, ὦ Σώκρατες, ἀποκρίνασθαι
2 πρὸς ὃ ἐρωτᾷς· οὐ γὰρ ἐννοῶ. — Σωκ. Ἀλλ' ὧδε σκόπει. Εἰ μέλλουσιν ἡμῖν ἐνθένδε εἴτε ἀποδιδράσκειν, εἴθ' ὅπως δεῖ ὀνομάσαι τοῦτο, ἐλθόντες οἱ νόμοι καὶ τὸ κοινὸν τῆς πόλεως, ἐπι-
3 στάντες ἔροιντο· »Εἰπέ μοι, ὦ Σώκρατες, τί ἐν νῷ ἔχεις ποιεῖν; ἄλλο τι ἢ τούτῳ τῷ ἔργῳ, ᾧ ἐπιχειρεῖς, διανοῇ τοὺς τε νόμους ἡμᾶς ἀπολέσαι, καὶ ξύμπασαν τὴν πόλιν, τὸ σὸν μέρος; ἢ δοκεῖ σοι οἷόν τ' ἔτι ἐκείνην τὴν πόλιν εἶναι, καὶ μὴ ἀνατετράφθαι, ἐν ᾗ ἂν αἱ γενόμεναι δίκαι μηδὲν ἰσχύσιν, ἀλλ' ὑπὸ ἰδιωτῶν ἄκυροί τε γίγνωνται καὶ διαρβείρωνται;» τί ἐροῦμεν, ὦ
4 Κρίτων, πρὸς ταῦτα καὶ ἄλλα τοιαῦτα; Πολλὰ γὰρ ἄν τις ἔχοι ἄλλως τε καὶ ῥήτωρ, εἰπεῖν ὑπὲρ τούτου τοῦ νόμου ἀπολλυμένου, ὃς τὰς δίκας τὰς δικασθείσας προστάττει κυρίας εἶναι. Ἢ ἐροῦμεν πρὸς αὐτούς· ὅτι ἠδίκει γὰρ ἡμᾶς ἡ πόλις, καὶ οὐκ ὀρθῶς τὴν δίκην ἔκρινε; ταῦτα, ἢ τί ἐροῦμεν; — Κρ. Ταῦτα νή Δία, ὦ Σώκρατες.

ιβ. Σωκ. Τί οὖν; ἂν εἴποιεν οἱ νόμοι· «Ὦ Σώκρατες, ἢ καὶ ταῦτα ὡμολόγητο ἡμῖν τε καὶ σοί, ἢ ἐμμένειν ταῖς δίκαις
2 αἷς ἂν ἡ πόλις δικάζοι;» Εἰ οὖν αὐτῶν θαυμάζοιμεν λεγόντων, ἴσως ἂν εἴποιεν· «Ὅτι, ὦ Σώκρατες, μὴ θαύμαζε τὰ λεγόμενα, ἀλλ' ἀποκρίνου, ἐπειδὴ καὶ εἴωθας χρῆσθαι τῷ ἐ-
3 ρωτᾶν τε καὶ ἀποκρίνεσθαι. Φέρε γὰρ τί ἐγκαλῶν ἡμῖν καὶ τῇ πόλει ἐπιχειρεῖς ἡμᾶς ἀπολλύναι; οὐ πρῶτον μέν σε ἐγεννήσαμεν ἡμεῖς; καὶ δι' ἡμῶν ἔλαβε τὴν μητέρα σου ὁ πατήρ καὶ ἐφύτευσέ σε; Φράσον οὖν, τούτοις ἡμῶν τοῖς νόμοις τοῖς περὶ

ιά. Καὶ ταῦτα.) Ποιοῦμεν, κακὰ εἰ ποιοῦντες, οὓς ἥκιστα δεῖ κακῶς ποιεῖν.

2. Ἐπιστᾷ.) Φερόμενον πρὸς τὸ κοινὸν τῆς πόλεως κατὰ σωμάτων ἔλκει ἐπιστῶν· τὸ γὰρ κοινὸν τῆς πόλεως οἱ πολῖται εἰσίν.

3. Ἄλλο τι.) ἄλλο τι διανοῇ τοῦτο τῷ ἔργῳ, ᾧ ἐπιχειρεῖς, ἢ διανοῇ τοὺς τε νόμ. καὶ ἔστιν ὁ Ἢ τοῦ διανοεῖσθαι. Ἄλλο τι.

— Τὸ σὸν μέρος.) Κατὰ τὸ σὸν μέρος τὸ παρ' ἡμῖν, ὅσον ἀπὸ μέρους σου.

— Ἢ δοκεῖ σοι.) Ἢ, ἐὰν μὴ τοῦτο διανοῇ, ὁποῖόν σοι καὶ τλ. . . τί ἔστιν ὁ Ἢ παρασιωπήσεις πολύγυμνα διαπεφευγότα.

Ἢ Ταῦτα, ἢ τί ἐροῦμεν.) Ταῦτα ἐροῦμεν, ἢ τί ἄλλο ἐροῦμεν.

ιβ. Ἢ καὶ ταῦτα καὶ τλ.) Οὕτω Ἀρά γε καὶ ταῦτα ὡμολόγητο ἡμῖν τοῖς νόμοις, καὶ σοί, τὰ εἰωθότα ἀλλ. ἢ ὡμολόγητο ἐμμένειν ταῖς δ. καὶ τλ. Οἱ γὰρ ἔρχθοι ἐν Ἀθήναις τοιοῦδε ὅρκον ἐπίουσι· »Τοῖς θεσμοῖς τοῖς ἱδρυμένοις πείσομαι, καὶ οἷς τινας ἂν ἄλλους »τὸ πλῆθος ἱδρύσηται ὁμοφρόνως καὶ »ἄν τις ἀναιρῇ τοὺς θεσμούς, ἢ μὴ »πειθῆται, οὐκ ἐπιτρέψω ἀνωφελῶς οὐδὲ καὶ »μόνος καὶ μετὰ πάντων.« Στοβαῖος Πλάτ. Ἠθικ. κεφ. μά.

2. Λύτων θαυμ.) Τὸ θαυμάζω οἱ πατριῶται μὲν συνιστόμενον, τὸ ἀγανοῦ σημαίνει· οἷον θαυμάζω σε τῆς τόλμης· γενικῇ δὲ, τῷ, ἐρωτωμένου κατηγεῖν· οἷον θαυμάζω σου δείνος.

3. Ἐγεννήσ.) Νόμος γὰρ Ἀθήνησιν ἑκατοντοῦτο πολίτην γυναῖκα ἀγαγέσθαι παιδοποιΐας ἕνεκα.

— Τούτοις ἡμῶν.) Τὸ ἡμῶν διαστειλάσθω ἐξ ἡμῶν τῶν νόμων τούτοις τοῖς νόμοις μόρφ τι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοὺς γάμους μέμφῃ τι, ὡς οὐ καλῶς ἔχουσιν;» Οὐ μέμφο-
μαι, φαίην ἄν. «Ἀλλὰ τοῖς περὶ τὴν τοῦ γεννομένου τροφήν 4
τε καὶ παιδείαν, ἐν ᾗ καὶ σὺ ἐπαιδεύθης; ἢ οὐ καλῶς προ-
σέταττον ἡμῶν οἱ ἐπὶ τούτοις τεταγμένοι νόμοι, παραγγέλλον-
τες τῷ πατρὶ τῷ σῷ σε ἐν μουσικῇ καὶ γυμναστικῇ παιδεύειν;»
Καλῶς, φαίην ἄν. «Εἶεν· ἐπειδὴ δὲ ἐγένου τε καὶ ἐξετράφης 5
καὶ ἐπαιδεύθης, ἔχοις ἂν εἰπεῖν πρῶτον μέν, ὡς οὐχὶ ἡμέτε-
ρος ἦσθα καὶ ἔγκονος καὶ δοῦλος, αὐτός τε καὶ οἱ σοὶ πρόγονοι;
Καὶ εἰ τοῦτο οὕτως ἔχει, ἆρ' ἐξ ἴσου οἴει εἶναι σοὶ τὸ δίκαιον 6
καὶ ἡμῖν, καὶ ἅττ' ἂν ἡμεῖς σε ἐπιχειρῶμεν ποιεῖν, ταῦτα
καὶ σὺ ἀντιποιεῖν οἴει δίκαιον εἶναι; Ἦ πρὸς μὲν ἄρα σοι τὸν 7
πατέρα οὐκ ἐξ ἴσου ἦν τὸ δίκαιον, καὶ πρὸς δεσπότην (εἴ σοι
ὧν ἐτύγχανεν,) ὥς τε ἅπερ πάσχεις, ταῦτα καὶ ἀντιποιεῖν, οὔ-
τε κακῶς ἀκούοντα ἀντιλέγειν, οὔτε τυπτόμενον ἀντιτύπτειν,
οὔτε ἄλλα τοιαῦτα πολλά· πρὸς δὲ τὴν πατρίδα ἄρα καὶ τοὺς
νόμους ἐξέσται σοι, ὥστε ἐάν σε ἐπιχειρῶμεν ἡμεῖς ἀπολλύναι,
δίκαιον ἡγούμενοι εἶναι, καὶ σὺ δὲ ἡμᾶς τοὺς νόμους καὶ τὴν
πατρίδα, καθ' ὅσον δύνασαι, ἐπιχειρήσεις ἀνταπολλύναι, καὶ
φήσεις, ταῦτα ποιῶν, δίκαια πράττειν, ὁ τῇ ἀληθείᾳ τῆς ἀρε-
τῆς ἐπιμελούμενος; Ἦ οὕτως εἶ σοφός, ὥστε λέληθέ σε ὅτι 8
μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων τι-
μιώτερόν ἐστι πατρίς, καὶ σεμνότερον καὶ ἁγιώτερον καὶ ἐν
μείζονι μοίρᾳ καὶ παρὰ θεοῖς καὶ παρὰ ἀνθρώποις τοῖς νοῦν
ἔχουσι; καὶ σέβεσθαι δεῖ καὶ μᾶλλον ὑπείκειν καὶ θωπεύειν 9
πατρίδα χαλεπαίνουσαν, ἢ πατέρα, καὶ ἢ πείθειν, ἢ ποιεῖν ἃ
ἂν κελεύῃ, καὶ πάσχειν; ἐάν τι προστάττῃ παθεῖν, ἡσυχίαν ἄ-
γοντα, ἐάν τε τύπτεσθαι, ἐάν τε δεῖσθαι; ἐάν τε εἰς πόλεμον
ἄγῃ τρωθησόμενον ἢ ἀποθανούμενον, ποιητέα ταῦτα, καὶ τὸ
δίκαιον οὕτως ἔχει; καὶ οὐχ ὑπεικτέον, οὐδ' ἀναχωρητέον, οὐδὲ 10
λειπτέον τὴν τάξιν; ἀλλὰ καὶ ἐν πολέμῳ καὶ ἐν δικαστηρίῳ καὶ
πανταχοῦ ποιητέον, ἃ ἂν κελεύῃ ἡ πόλις τε καὶ ἡ πατρίς; ἢ
πείθειν αὐτήν, ἢ τὸ δίκαιον πέφυκε, βιάζεσθαι δὲ οὐχ ὅσιον
οὔτε μητέρα, οὔτε πατέρα, πολὺ δὲ τούτων ἔτι ἧττον τὴν
πατρίδα. Τί φήσομεν πρὸς ταῦτα, ὦ Κρίτων; ἀληθῆ λέγειν
τοὺς νόμους, ἢ οὔ; — Κρ. Ἔμοιγε δοκεῖ.»

ιγ'. Σωκ. «Σκόπει τοίνυν, ὦ Σώκρατες, (φαίεν ἂν ἴσως οἱ

---

9. Καὶ σέβεσθαι δεῖ) Καὶ ὅτι δεῖ σεβ. — Ποιητέα ταῦτα) Ἐστίν; τὸ δὲ Ποιητέα εἰς πληθυντικὸν σχῆμα ἔθει Ἀττικῶ ἀντὶ Ποιητέον ἐστὶ ταῦτα; ἤτοι δεῖ ποιεῖν ταῦτα; οἱ γὰρ Ἀττικοὶ καὶ-ρουσιν ἀεὶ ταῖς καινοτομίαις· τοῦτο δὲ κατὰ μόνον οὐδέτερον γίνεται.

10. Καὶ οὐχ ὑπεικτέον) Τοῖς πολε μίοις δηλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νόμοι) εἰ ἡμεῖς ταῦτα ἀληθῆ λέγομεν, ὅτι οὐ δίκαια ἡμᾶς ἐπι-
2 χειρεῖς δρᾶν, ἃ νῦν ἐπιχειρεῖς. Ἡμεῖς γάρ σε γεννήσαντες, ἐκ-
θρέψαντες, παιδεύσαντες, μεταδόντες ἁπάντων ὧν οἷοί τε ἦμεν
καλῶν σοί τε καὶ τοῖς ἄλλοις πᾶσι πολίταις· ὅμως προαγο-
ρεύομεν τῷ ἐξουσίαν πεποιηκέναι Ἀθηναίων τῷ βουλομένῳ, ἐ-
πειδὰν δοκιμάσῃ καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα, καὶ ἡ-
μᾶς τοὺς νόμους, ᾧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς, ἐξεῖναι λαβόντα
3 τὰ αὑτοῦ ἀπιέναι ὅπῃ ἂν βούληται. Καὶ οὐδεὶς ἡμῶν τῶν νό-
μων ἐμποδὼν ἐστίν, οὐδ' ἀπαγορεύει, ἐάν τέ τις βούληται ὑμῶν
εἰς ἀποικίαν ἰέναι (εἰ μὴ ἀρέσκοιμεν ἡμεῖς τε καὶ ἡ πόλις), ἐάν
τε μετοικεῖν ἄλλοσέ ποι ἐλθών, ἰέναι ἐκεῖσε ὅπῃ ἂν βούληται,
4 ἔχων τὰ αὑτοῦ. Ὃς δ' ἂν ὑμῶν παραμείνῃ, ὁρῶν ὃν τρόπον
ἡμεῖς τάς τε δίκας δικάζομεν, καὶ τἄλλα τὴν πόλιν διοικοῦμεν,
ἤδη φαμὲν τοῦτον ὡμολογηκέναι ἔργῳ ἡμῖν, ἃ ἂν ἡμεῖς κε-
λεύωμεν, ποιήσειν ταῦτα· καὶ τὸν μὴ πειθόμενον, τριχῇ φαμὲν
ἀδικεῖν, ὅτι τε γεννήταις οὖσιν ἡμῖν οὐ πείθεται, καὶ ὅτι τρο-
φεῦσι, καὶ ὅτι ὁμολογήσας ἡμῖν πείθεσθαι, οὔτε πείθεται οὔτε
πείθει ἡμᾶς, εἰ μὴ καλῶς τι ποιοῦμεν· προτιθέντων ἡμῶν,
καὶ οὐκ ἀγρίως ἐπιταττόντων ποιεῖν ἃ ἂν κελεύωμεν, ἀλλὰ ἐ-
φιέντων δυοῖν θάτερα, ἢ πείθειν ἡμᾶς ἢ ποιεῖν, τούτων οὐδέ-
τερα ποιεῖ.

ιδ'. Ταύταις δὴ φαμὲν καὶ σέ, ὦ Σώκρατες, ταῖς αἰτίαις
ἐνέξεσθαι, εἴπερ ποιήσεις ἃ ἐπινοεῖς· καὶ οὐχ ἥκιστα Ἀθηναίων
2 σε, ἀλλ' ἐν τοῖς μάλιστα. «Εἰ οὖν ἐγὼ εἴποιμι, διατί δή, ἴ-
σως ἄν μου δικαίως καθάπτοιντο, λέγοντες ὅτι ἐν τοῖς μάλι-
στα Ἀθηναίων ἐγὼ αὐτοῖς ὡμολογηκὼς τυγχάνω τοῦτον τὸν
3 ὁμολογίαν.» Φαίεν γὰρ ἄν. «Ὅτι, ὦ Σώκρατες, μεγάλα ἡμῖν
τούτων τεκμήρια ἐστιν, ὅτι σοί καὶ ἡμεῖς ἠρέσκομεν καὶ ἡ
4 πόλις. Οὐ γὰρ ἄν ποτε τῶν ἄλλων Ἀθηναίων ἁπάντων διαφερόντως ἐν αὐτῇ ἐπεδήμεις, εἰμή σοι διαφερόντως ἤρεσκε· καὶ

ιγ'. 2. Τῷ ἐξουσίαν) Ὀργανικῶς· οἷον Ὅμως ἐν τῷ πεποιηκέναι ἐξουσίαν τῷ βουλομένῳ τῶν Ἀθηναίων, ἐπειδὰν δοκιμάσῃ καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα, καὶ ἡμᾶς τοὺς νόμους, ποιαγορεύομεν ἐκείνῳ, ᾧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς, ἐξεῖναι λαβεῖν τὰ αὐτοῦ καὶ ἀπιέναι, ὅπῃ ἂν βούληται.

4. Ποιήσειν ταῦτα) Ἀπὸ τοῦ ὡμολογηκέναι οἷον ὡμολογηκέναι ποιήσειν ταῦτα, ἃ ἂν ἡμεῖς κελεύωμεν.

— Γεννήταις) Σχολ. Αὐγουστάνου. Γεννῆται οἱ τοῦ γένους μετέχοντες· καὶ ἀπ' ἀρχῆς ἔχοντες κοινὰ ἱερά· οἱ δὲ, ὁμογλάκτους, φράτορας, συγγενεῖς, τοὺς γεννήτας.

— Ἢ ποιεῖν) Ἃ κελεύομεν δηλ.

ιδ'. Ἀλλ' ἐν τοῖς μαλ.) Ἐννοεῖται ταύταις ταῖς αἰτίαις ἐνεξόμενοις· ὡς καὶ ἐν ἀ. 6.

2. Διὰ τί δή) Φατὲ ἐνέξεσθαί με ταύταις ταῖς αἰτίαις;

— Ἐν τοῖς μάλιστ.) Ἐν τοῖς πρώτοις· πολλάκις γὰρ τὰ ἐπιρρήματα συνάφρα, ἐπιθέτου χώραν ἔχει.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὔτ' ἐπὶ θεωρίαν πώποτε ἐκ τῆς πόλεως ἐξῆλθες, ὅτι μὴ ἅπαξ εἰς Ἰσθμόν, οὔτε ἄλλοσε οὐδαμόσε, εἰμή ποι στρατευσόμενος· οὔτε ἄλλην ἐποιήσω ἀποδημίαν πώποτε, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι· οὐδ' ἐπιθυμία σε ἄλλης πόλεως οὐδ' ἄλλων νόμων ἔλαβεν εἰδέναι· ἀλλὰ ἡμεῖς σοι ἱκανοὶ ἦμεν, καὶ ἡ ἡμετέρα πόλις· οὕτω σφόδρα ἡμᾶς ἤροῦ, καὶ ὡμολόγεις καθ' ἡμᾶς πολιτεύεσθαι, τά τε ἄλλα καὶ παῖδας ἐν αὐτῇ ἐποιήσω, ὡς ἀρεσκούσης σοι τῆς πόλεως. Ἔτι τοίνυν ἐν αὐτῇ τῇ δίκῃ ἐξὴν σοι φυγῆς τιμήσασθαι, εἰ ἐβούλου, καὶ ὅπερ νῦν ἀκούσης τῆς πόλεως ἐπιχειρεῖς, τότε ἐκούσης ποιῆσαι· σὺ δὲ τότε μὲν ἐκαλλωπίζου, ὡς οὐκ ἀγανακτῶν, εἰ δέοι τεθνάναι σε, ἀλλ' ἤροῦ, ὡς ἔφησθα, πρὸ τῆς φυγῆς θάνατον· νῦν δὲ οὔτ' ἐκείνους τοὺς λόγους αἰσχύνῃ, οὔτε ἡμῶν τῶν νόμων ἐντρέπῃ, ἐπιχειρῶν διαφθείραι· πράττεις τε ἅπερ ἂν δοῦλος ὁ φαυλότατος πράξειεν, ἀποδιδράσκειν ἐπιχειρῶν παρὰ τὰς ξυνθήκας τε καὶ τὰς ὁμολογίας, καθ' ἃς ἡμῖν ξυνέθου πολιτεύεσθαι. Πρῶτον μὲν οὖν ἡμῶν τοῦτ' αὐτὸ ἀπόκριναι, εἰ ἀληθῆ λέγομεν, φάσκοντές σε ὡμολογηκέναι πολιτεύεσθαι καθ' ἡμᾶς ἔργῳ, ἀλλ' οὐ λόγῳ ἢ οὐκ ἀληθῆ;» Τί φῶμεν πρὸς ταῦτα, ὦ Κρίτων; ἄλλο τι ἢ ὁμολογῶμεν; — Κρ. Ἀνάγκη, ὦ Σώκρατες. — Σωκ. Ἄλλο τι οὖν, ἂν φαῖεν, ἢ ξυνθήκας τὰς πρὸς ἡμᾶς αὐτοὺς καὶ ὁμολογίας παραβαίνεις; οὐχ ὑπ' ἀνάγκης ὁμολογήσας, οὐδὲ ἀπατηθείς, οὐδὲ ἐν ὀλίγῳ χρόνῳ ἀναγκασθείς βουλεύσασθαι, ἀλλ' ἐν ἔτεσιν ἑβδομήκοντα, ἐν οἷς ἦν σοι ἀπιέναι, εἰμὴ ἠρέσκομεν ἡμεῖς, μηδὲ δίκαια ἐφαίνοντό σοι οἱ ὁμολογίαι εἶναι. Σὺ δὲ οὔτε Λακεδαίμονα προηροῦ, οὔτε Κρήτην, ἃς δὴ ἑκάστοτε φῂς εὐνομεῖσθαι, οὔτε ἄλλην οὐδεμίαν τῶν Ἑλληνίδων πόλεων, οὐδὲ τῶν βαρβαρικῶν· ἀλλ' ἐλάττω ἐξ αὐτῆς ἀπεδήμησας, ἢ οἱ χωλοί τε καὶ τυφλοὶ καὶ οἱ ἄλλοι ἀνάπηροι. Οὕτω σοι διαφερόντως τῶν ἄλλων Ἀθηναίων ἤρεσκεν ἡ πόλις τε καὶ ἡμεῖς οἱ νόμοι δηλονότι. Τίνι γὰρ ἂν πόλις ἀρέσκοι ἄνευ νόμων; νῦν

4. Εἰς Ἰσθμόν) Ἔνθα ἀγῶν γίγνεται τὰ Ἴσθμια.

— Εἰ μή ποι) Ἔξω ὅπου ἐξῆλθες στρατευόμενος· οἷον ἐν Ποτιδαίᾳ καὶ ἐν Ἀμφιπόλει, καὶ ἐπὶ Δηλίῳ ὡς ἐν Ἀπολ. εξ'.

6. Τιμήσασθαι) Ὡς ἐν Ἀπολ. κζ'.

— Ἐκαλλωπίζου) Αὐχῶν ἐπὶ τούτῳ ὅρα ἐν Ἀπολ. κθ'. 6.

— Ἐντρέπῃ) Ἐντρέπομαι γὰρ σημαίνει καὶ τὸ φροντίζω· ὅθεν καὶ γενικῇ.

7. Τί φῶμεν) Ὅταν ἐν διαπορήσει ἡ ἐρώτησις πρὸς ὑποτακτικὸν κατ' ἔλλειψιν τοῦ Βουλεῖ, καὶ Ἵνα τί ἢ βούλει ἵνα τί φῶμεν.

8. Ἄλλο τί) Ἀντὶ Ἄλλο τι ποιεῖς, ἢ παραβαίνεις;

9. Ἀλλ' ἐλάττω) Ὅπερ ἐστὶ μᾶλλον ἂν οἱ χωλοὶ ἀπεδήμησαν ἐξ αὐτῆς καὶ οἱ τυφλοὶ καὶ οἱ ἄλλοι ἀνάπηροι, ἢ σύ. Σημείωσαι δὲ ὅτι πηρὸς καλεῖται ὁ κατά τι μέρος τοῦ σώματος βεβλαμμένος· ἀνάπηρος δέ, ὁ πᾶν τὸ σῶμα πεπηρωμένος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲ δή οὐκ ἐμμένεις τοῖς ὡμολογημένοις· ἐμμενεῖς δέ, ἐὰν ἡμῖν γε πείθῃ, ὦ Σώκρατες· καὶ οὐ καταγέλαστός γε ἔσῃ, ἐκ τῆς πόλεως ἐξελθών.

ιέ. Σκόπει γὰρ δή, ταῦτα παραβάς, καὶ ἐξαμαρτών τι τούτων, τί ἀγαθὸν ἐργάσῃ σαυτόν, ἢ τοὺς ἐπιτηδείους τοὺς σαυτοῦ. Ὅτι μὲν γὰρ κινδυνεύσουσί γέ σου οἱ ἐπιτήδειοι καὶ αὐτοὶ φεύγειν, καὶ στερηθῆναι τῆς πόλεως, ἢ τὴν οὐσίαν ἀπολέσαι, σχε-
2 δόν τι δῆλον. Αὐτὸς δὲ πρῶτον μὲν ἐὰν εἰς τῶν ἐγγύτατά τινα πόλεων ἔλθῃς, ἢ Θήβαζε, ἢ Μεγάραδε (εὐνομοῦνται γὰρ ἀμφότεραι), πολέμιος ἥξεις, ὦ Σώκρατες, τῇ τούτων πολιτείᾳ· καὶ ὅσοι περ κήδονται τῶν αὐτῶν πόλεων, ὑποβλέψονταί σε, διαφθορέα ἡγούμενοι τῶν νόμων· καὶ βεβαιώσεις τοῖς δικασταῖς τὴν δόξαν, ὥστε δοκεῖν ὀρθῶς τὴν δίκην δικάσαι· ὃς τις γὰρ νόμων διαφθορεύς ἐστι, σφόδρα που δοξειεν ἂν νέων γε καὶ ἀνοήτων
3 ἀνθρώπων διαφθορεὺς εἶναι. Πότερον οὖν φεύξῃ τάς τε εὐνομουμένας πόλεις καὶ τῶν ἀνδρῶν τοὺς κοσμιωτάτους; καὶ τοῦτο ποιοῦντι ἆρα ἄξιόν ἐστί σοι ζῆν; ἢ πλησιάσεις τούτοις, καὶ ἀναισχυντήσεις διαλεγόμενός τινας λόγους, ὦ Σώκρατες, οἵους περ ἐνθάδε, ὡς ἡ ἀρετὴ καὶ ἡ δικαιοσύνη πλείστου ἄξιον τοῖς ἀνθρώποις, καὶ τὰ νόμιμα καὶ οἱ νόμοι; καὶ οὐκ εἴη ἄσχημον
4 ἂν φανῆσθαι τὸ τοῦ Σωκράτους πρᾶγμα; οἴεσθαί γε χρή. Ἀλλ' ἐκ μὲν τούτων τῶν πόλεων ἀπιόντες, ἥξεις δὲ εἰς Θετταλίαν πα-
5 ρὰ τοὺς ξένους τοῦ Κρίτωνος. Ἐκεῖ γὰρ δὴ πλείστη ἀταξία καὶ ἀκολασία· καὶ ἴσως ἂν ἡδέως σου ἀκούοιεν, ὡς γελοίως ἐκ τοῦ δεσμωτηρίου ἀπεδιδράσκες σκευήν τέ τινα περιβέμενος, ἢ διφθέραν λαβών, ἢ ἄλλα οἷα δὴ εἰώθασιν ἐνσκευάζεσθαι οἱ ἀπο-
6 διδράσκοντες, καὶ τὸ σχῆμα τὸ σαυτοῦ μεταλλάξας. Ὅτι δὲ γέρων ἀνὴρ σμικροῦ χρόνου τῷ βίῳ λοιπὸν ὄντος, ὡς τὸ εἰκός, ἐτόλμησας οὕτω γλίσχρως ἐπιθυμεῖν ζῆν, νόμους τοὺς μεγίστους
7 παραβάς, οὐδεὶς ὃς ἐρεῖ· Ἴσως, ἂν μή τινα λυπῇς· εἰ δὲ μή, ἀκούσῃ, ὦ Σώκρατες, πολλὰ καὶ ἀνάξια σαυτοῦ. Ὑπεροχόμενος

ιέ. 2. Εἰς τῶν ἐγγύτ.) Εἰς τινα τῶν πόλεων, ὅσαι ἐγγύτατά εἰσι τῶν Ἀθηνῶν.

— Θήβαζε, ἢ Μεγάραδε) Τῇ αἰτιατικῇ ἐπιτιθέμενος ὁ Δὲ ἀντὶ τῆς Εἰς κεῖται· οἷον. Θήβαζδε, Μεγάραδε· ἀντὶ εἰς Θήβας, εἰς Μέγαρα· τὸ δὲ Θήβαζε, ἀντὶ Θήβας δε· τὸ γὰρ Ζ ἐκ τοῦ σδ.

— Τὴν δίκην δικ.) Ὡς ἐπιβατικῶς.

3. Διαλεγόμ. τιν. λόγ. ἢ οὕς) Ἀντὶ Διαλεγόμενός τινας ἄλλους λόγους, ἢ οὕσπερ· καὶ οὐχὶ δηλ. οὕς περ διελέγου ἐν Ἀθήναις ὅτα ἡ ἀρ. καὶ τλ.

— Τὸ τοῦ Σωκράτους πρᾶγμα) Ὁ Σωκράτης αὐτός· ἢ γοῦν ἡ τοῦ Σωκράτους ὑπόληψις.

— Οἴεσθαί γε) Ὁ Γὰ ἀντὶ τοῦ Ἀλλά. Ἀλλ' οἴεσθαι χρὴ ὅτι φανεῖται ἄσχημον τὸ τοῦ Σωκράτους πρᾶγμα.

6 Λοιποῦ ὄντος) Ὅρα. Ἀπολ. κθ'. 2.

— Οὐδεὶς, ὃς ἐρεῖ) Κατ' ἐρώτησιν ἀποφατικὴν ὁν κατάφασιν δηλοῖ· οἷον. Πᾶς δέ τις ἐρεῖ· ὅτι γέρων ὢν καὶ τλ.

7. Ἴσως) Ἴσως οὐδεὶς ἐρεῖ, ἐὰν μὴ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θὴ πάντας ἀνθρώπους βιώσῃ καὶ δουλεύων. Τί ποιῶν; ἢ εὐω- 8
χούμενος ἐν Θετταλίᾳ, ὥσπερ ἐπὶ δεῖπνον ἀποδεδημηκώς εἰς
Θετταλίαν; λόγοι δὲ ἐκεῖνοι οἱ περὶ δικαιοσύνης καὶ τῆς ἄλλης
ἀρετῆς ποῦ ἡμῖν ἔσονται; Ἀλλὰ δὴ τῶν παίδων ἕνεκα βούλει 9
ζῆν, ἵνα αὐτοὺς ἐκθρέψῃς καὶ παιδεύσῃς; τί δέ; εἰς Θετταλίαν
αὐτοὺς ἀγαγὼν θρέψεις τε καὶ παιδεύσεις, ξένους ποιήσας, ἵνα καὶ
τοῦτό σου ἀπολαύσωσιν; ἢ τοῦτο μὲν οὔ, αὐτοῦ δὲ τρεφόμενοι, σοῦ
ζῶντος, βέλτιον θρέψονται καὶ παιδεύσονται, μὴ ξυνόντος σοῦ αὐ-
τοῖς; Οἱ γὰρ ἐπιτήδειοι οἱ σοὶ ἐπιμελήσονται αὐτῶν. Πότερον ἐὰν 10
μὲν εἰς Θετταλίαν ἀποδημήσῃς, ἐπιμελήσονται, ἐὰν δὲ εἰς ᾅδου ἀ-
ποδημήσῃς, οὐχὶ ἐπιμελήσονται, εἴπερ γέ τι ὄφελος αὐτῶν ἐστὶ
τῶν σοὶ φασκόντων ἐπιτηδείων εἶναι; οἴεσθαί γε χρή.

ιϛ'. Ἀλλ', ὦ Σώκρατες, πειθόμενος ἡμῖν ταῖς σοῖς τροφεῦσι,
μήτε παῖδας περὶ πλείονος ποιοῦ, μήτε τὸ ζῆν, μήτε ἄλλο μη-
δέν, πρὸ τοῦ δικαίου· ἵνα εἰς ᾅδου ἐλθὼν ἔχῃς ταῦτα πάντα
ἀπολογήσασθαι τοῖς ἐκεῖ ἄρχουσιν. Οὔτε γὰρ ἐνθάδε σοι φαί- 2
νεται ταῦτα πράττοντι ἄμεινον εἶναι, οὐδὲ δικαιότερον, οὐδὲ ὁ-
σιώτερον, οὐδὲ ἄλλῳ τῶν σῶν οὐδενί· οὔτε ἐκεῖσε ἀφικομένῳ ἄ-
μεινον ἔσται. Ἀλλὰ νῦν μὲν ἠδικημένος ἄπει, ἐὰν ἀπίῃς οὐχ 3
ὑφ' ἡμῶν τῶν νόμων, ἀλλ' ὑπ' ἀνθρώπων· ἐὰν δὲ ἐξέλθῃς οὕτως
αἰσχρῶς ἀνταδικήσας τε καὶ ἀντικακουργήσας, τὰς σαυτοῦ ὁμο-
λογίας τε καὶ ξυνθήκας τὰς πρὸς ἡμᾶς παραβάς, καὶ κακὰ ἐρ-
γασάμενος τούτους, οὓς ἥκιστα ἔδει, σαυτόν τε καὶ φίλους καὶ
πατρίδα καὶ ἡμᾶς· ἡμεῖς τέ σοι χαλεπαινοῦμεν ζῶντι, καὶ ἐκεῖ
οἱ ἡμέτεροι ἀδελφοί, οἱ ἐν ᾅδου νόμοι, οὐκ εὐμενῶς σε ὑποδέξον-
ται, εἰδότες ὅτι καὶ ἡμᾶς ἐπεχείρησας ἀπολέσαι, τὸ σὸν μέρος.
Ἀλλὰ μή σε πείσῃ Κρίτων ποιεῖν ἃ λέγει, μᾶλλον ἢ ἡμεῖς. » 4

τινα λυπῇς· εἰ δὲ μὴ ποιεῖς τοῦτο, ἀλλὰ λυπεῖς· ἀκούτῃ καὶ τλ.

— Ὑπερχ.) Ὑπέρχομαι· τὸ ὑπὸ κάτω τινὸς ἔρχομαι· καὶ ἀπὸ τούτου κοπάνῳ· ἔθεν καὶ ὁ Σχολ. Ἀριστοφ. ἐν Ἱππ. στίχ. 269. Οὕτω ὑπέρχεται· ὡς ὑπέρχεται τὸν δῆμον ὑποτρέχων, καὶ κολακεύων.

— Βιώτει) οἷον· Βιώτει ὑπερχόμενος καὶ δουλεύων πάντας ἀνθρώπους.

8. Τί ποιῶν;) Καὶ διὰ τί ταῦτα; ἵνα τί καταβιώσῃς μέγας; ἢ ἵνα εὐωχῇ ἐν Θετταλίᾳ· καὶ κατὰ λέξιν. Τί ποιῶν βιώῃς ὑπερχόμενος καὶ δουλεύων, οὐδὲν ἄλλο ἢ εὐωχούμενος.

10. Πότερον γέ τι ὄφελος;) Ἤδη τινες ὧν ἄνθρωποι εὔχονται οἱ φάσκοντες σοὶ ἐπιτήδειοι εἶναι.

— Οἴεσθαι χρή) Ὅτι καὶ ἐὰν εἰς Ἅιδου ἀποδημήσῃς, ἐπιμελήσονται τῶν παίδων σου.

ιϛ'. Ἀλλ', ὦ Σώκ.) Μεταθατικῶς ὁ Ἀλλά.

— Περὶ πλείονος ποιοῦ) Ἠσσήμα.

— Τοῖς ἐκεῖ ἄρχουσιν) Ὅρα Ἀπολλ. 7.

3. Ἐὰν ἀπίῃς) Ἠδικημένος δηλ.

— Σαυτόν τε καὶ φιλ.) Ἐπεξήγησις τοῦ τούτους, οὓς ἥκιστα ἔδει κακὰ ἐργασθαι.

— Οἱ ἐν Ἅιδου νόμοι) Οὗτοι γάρ εἰσιν οἱ ἀδελφοὶ τῶν ἐπὶ γῆς νόμων.

— Τὸ σὸν μέρος) Κατὰ τὸ σὸν μέρος· ἔστω ὑπὸ μέρους σου.

4. Μᾶλλον ἢ ἡμεῖς) Ἀλλὰ μή σε πείσῃ Κρίτων ποιεῖν ἐκεῖνα, ἃ λέγει, μᾶλλον ἢ ἡμεῖς πείθομέν σε ποιεῖν, ἃ λέγομεν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ιζ. Ταῦτα, ὦ φίλε ἑταῖρε Κρίτων, εὖ ἴσθι ὅτι ἐγὼ δοκῶ ἀκούειν, ὥς περ οἱ κορυβαντιῶντες τῶν αὐλῶν δοκοῦσιν ἀκούειν· καὶ ἐν ἐμοὶ αὕτη ἡ ἠχὴ τούτων τῶν λόγων βομβεῖ, καὶ ποιεῖ μὴ δύ-
2 νασθαι τῶν ἄλλων ἀκούειν. Ἀλλὰ ἴσθι, ὅσα γε τὰ νῦν ἐμοὶ δοκοῦντα, ἐάν τι λέγῃς παρὰ ταῦτα, μάτην ἐρεῖς. Ὅμως μέντοι
3 εἴ τι οἴει πλέον ποιήσειν, λέγε. — Κρ. Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔχω λέγειν. — Σωκρ. Ἔα τοίνυν, ὦ Κρίτων· καὶ πράττωμεν ταύτῃ, ἐπειδὴ ταύτῃ ὁ θεὸς ὑφηγεῖται.

Δ'. ΑΛΚΙΒΙΑΔΗΣ ΔΕΥΤΕΡΟΣ, Η ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ (*).

α. Ὦ Ἀλκιβιάδη, ἆρά γε πρὸς τὸν θεὸν προσευξόμενος πορεύῃ; — Ἀλκ. Πάνυ μὲν οὖν, ὦ Σώκρατες. — Σωκρ. Φαίνῃ γέ τι ἐσκυθρωπακέναι τε καὶ εἰς γῆν βλέπειν, ὡς τις συννοούμενος. —
2 Ἀλκ. Καὶ τί ἂν τις συννοοῖτο, ὦ Σώκρατες. — Σωκρ. Τὴν μεγίστην, ὦ Ἀλκιβιάδη, σύννοιαν, ὡς γέ μοι δοκεῖ. Ἐπεί, φέρε πρὸς Διός, οὐκ οἴει τοὺς θεοὺς, ἃ τυγχάνομεν εὐχόμενοι καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ἐνίοτε τούτων τὰ μὲν διδόναι, τὰ δ' οὔ; καὶ ἔστιν οἷς μὲν αὐτῶν, ἔστι δὲ οἷς οὔ; — Ἀλκ. Πάνυ μὲν οὖν. — Σωκρ.
3 Οὐκοῦν δοκεῖ σοι πολλῆς προμηθείας γε προσδεῖσθαι, ὅπως μὴ λάσῃ τις αὐτὸν εὐχόμενος μεγάλα κακὰ, δοκῶν δ' ἀγαθὰ; εἰ δὲ θεοὶ τύχοιεν ἐν ταύτῃ ὄντες τῇ ἕξει ἐν ᾗ διδάσκουσι αὐτοὶ ἅ τις
4 εὐχόμενος τυγχάνει; Ὥσπερ τὸν Οἰδίπουν αὐτίκα φασὶν εὔξασθαι χαλκῷ διελέσθαι τοὺς υἱεῖς τὰ πατρῷα· ἐξὸν αὐτῷ τῶν

ιζ'. Οἱ κορυβαντιῶντες) Τίμαιος Γλωσσῶν. Πλατ. Κορυβαντιᾶν, παραμαίνεσθαι, καὶ ἐνθουσιαστικῶς κινεῖσθαι· ἀπὸ μεταφορᾶς δὲ ἔστι τῶν Κορυβάντων· οὗτοι δὲ ἦσαν ἱερεῖς τῆς Ῥέας ἐν Φρυγίᾳ, οἵτινες ὀργούντο ἐνθεοι γενόμενοι. Σράβ. Γ'. ἐντεῦθεν κορυβαντιᾶν ἐστὶ τὸ νοσεῖν, καὶ κορυβαντικτυπὸς, ἡ κατὰ φαντασίαν νόσος ἐλέγετο· ὅταν τὰ ὦτα ἐδόκουν ἀντηχεῖν τῷ τῶν αὐλῶν ἤχῳ· ἥτις νόσος ἐνομίζετο ἀπὸ τῶν Κορυβάντων ἔχειν τὴν ἀρχήν.

— Ἡ ἠχὴ) Ἀττικῶς ἀντὶ ἦχος.

2. Ὅμως μέντοι) Ἐκ παραλλήλου τὰ μόρια.

3. Οὐκ ἔχω λέγειν) Τὸ Ἔχω πρὸς ἀπαρέμφατον φερόμενον τὸ Δύναμαι σημαίνει.

— Ταύτῃ) Ἀντὶ Οὕτως· οὕτω γὰρ ὁ θεὸς ὑφηγεῖται.

(*) Κεῖται ὁ διάλογος οὗτος Ἀλκιβιάδης Δεύτερος· ἔτι καὶ ἕτερον συνέγραψε Πλάτων διάλογον Πρώτον Ἀλκιβιάδην καλέσας· ἐνθα περὶ φύσεως διαλαμβάνει ἀνθρώπου, τὸν Σωκράτην μετὰ Ἀλκιβιάδου ὑποτιθεὶς διαλεγόμενον. Ὁ δὲ παρὸν Δεύτερος Ἀλκιβιάδης περὶ προσευχῆς καὶ θείων πραγμάτων διαλογιζόμενον τὸν Σωκράτην μετὰ Ἀλκιβιάδου ὑποτιθεὶς διαλεγόμενον περὶ τούτων· ἔνθα ποιεῖ Σωκράτης Ἀλκιβιάδην θείων πραγμάτων εὐμαθέστερον.

α. Ὡς τις συννοούμενος) Ὡς τις σκεπτόμενος καί τι κατὰ νοῦν ἀναπολῶν.

2. Καὶ ἔστιν οἷς μὲν) Ἔστιν οἷς ἀντ' Ἐνίοις· οἷον· Καὶ ἐνίοις μὲν τῶν ἀνθρώπων διδόναι, ἐνίοις δὲ οὐ διδόναι.

4. Αὐτίκα) Ὡς ἐπὶ παραδείγματος εἰπεῖν.

— Διελέσθαι, τοὺς υἱεῖς) Λάϊος ἐξ Ἰοκάστης ἔτυχεν υἱόν, καὶ ἐπεὶ χρησμὸς ἦν ὑπὸ τούτου φονευθῆναι, διατρήσας τὰ σφυρὰ ἐκτίθησιν εἰς Κιθαιρῶνα· ἔνθα εὑρόντες βουκόλοι Πολύβου βασιλέως Κορινθίων, ἤνεγκαν Περιβοίᾳ τῇ γυναικὶ αὐτοῦ· ἡ δὲ, ἀνελοῦσα ὑποβάλλεται, καὶ θεραπεύσασα τὰ σφυρὰ, Οἰδίπουν καλεῖ. Οὗτος τελειωθεὶς μανθάνει παρὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

παρόντων κακῶν ἀποτροπήν τινα εὔξασθαι, ἕτερα πρὸς τοῖς ὑπάρχουσι κατηράτο. Τοιγαροῦν ταῦτά τε ἐξετελέσθη, καὶ ἐκ 5
τούτων ἄλλα πολλὰ καὶ δεινά· ἃ τί δεῖ καθ' ἕκαστα λέγειν; —
Ἀλκ. Ἀλλὰ σύ μέν, ὦ Σώκρατες, μαινόμενον ἄνθρωπον εἴρηκας. Ἐπεί τίς ἄν σοι δοκῇ τολμῆσαι ὑγιαίνων τοιαῦτα εὔξασθαι;

β'. Σωκρ. Τὸ μαίνεσθαι ἄρά γε ὑπεναντίον σοι δοκεῖ τῷ σωφρονεῖν; — Ἀλκ. Πάνυ μέν οὖν. — Σωκρ. Ἄφρονες δὲ καὶ φρόνιμοι δοκοῦσιν ἄνθρωποι εἶναι τινές σοι; — Ἀλκ. Εἶναι μέν 2
τοι. — Σωκ. Φέρε δή, ἐπισκεψώμεθα τίνες ποτ' εἰσὶν οὗτοι; Ὅ τι μὲν γάρ εἰσί τινες, ὡμολόγηται, ἄφρονές τε καὶ φρόνιμοι, καὶ μαινόμενοι ἕτεροι. — Ἀλκ. Ὡμολόγηται γάρ. — Σωκ. 3
Ἔ τι δὲ ὑγιαίνοντες εἰσί τινές; — Ἀλκ. Εἰσίν. — Σωκ. Οὐκοῦν καὶ ἀσθενοῦντες ἕτεροι; — Ἀλκ. Πάνυ γε. — Σωκ. Οὐκοῦν οὐχ οἱ αὐτοί. — Ἀλκ. Οὐ γάρ. — Σωκ. Ἆρ' οὖν καὶ ἕτεροί τινές εἰσιν οἱ μηδ' ἕτερα τούτων πεπόνθασιν; — Ἀλκ. Οὐ δῆτα. — 4
Σωκ. Ἀνάγκη γάρ ἐστιν ἄνθρωπον ὄντα νοσεῖν, ἢ μὴ νοσεῖν. — Ἀλκ. Ἔμοιγε δοκεῖ. — Σωκ. Τί δέ; περὶ φρονήσεως καὶ ἀφροσύνης ἆρά γε τὴν αὐτὴν ἔχεις γνώμην; — Ἀλκ. Πῶς λέγεις; —
Σωκ. Δοκεῖ σοι οἷόν τε εἶναι ἢ φρόνιμον, ἢ ἄφρονα; ἢ ἔστι τί διὰ 5
μέσου τρίτον πάθος, ὃ ἐποίει τὸν ἄνθρωπον μήτε φρόνιμον, μήτε ἄφρονα; — Ἀλκ. Οὐ δῆτα. — Σωκρ. Ἀνάγκη ἄρα ἐστὶ τὸ 6
ἕτερον τούτων πεπονθέναι. — Ἀλκ. Ἔμοιγε δοκεῖ. — Σωκ. Οὐκοῦν μέμνησαι ὁμολογήσας ὑπεναντίον εἶναι μανίαν φρονήσει; —
Ἀλκ. Ἔγωγε. — Σωκ. Οὐκοῦν καὶ μηδὲν εἶναι διὰ μέσου 7

τοῦ χρήσιμοῦ ὡς τὸν πατέρα φονεύσει, καὶ τὴν μητέρα γαμήσει. Λιπὼν οὖν τὴν Κόρινθον, δεῖσι τοῦ τοιούτου, καὶ κατὰ τὴν Φωκίδα συναντήσας Λάϊον, καὶ ἐρίσας ἐν τῇ ὁδῷ, κτείνει αὐτόν. Κἀντεῦθεν ἐλθὼν εἰς Θήβας, καὶ λύσας τὸ τῆς Σφιγγὸς αἴνιγμα, κατὰ τὸ κήρυγμα λαμβάνει τὴν βασιλείαν, καὶ Ἰοκάστην γαμεῖ· ἐξ ἧς ἔσχεν Ἐτεοκλέα καὶ Πολυνείκην. Φανέντων δὲ ὕστερον τῶν λανθανόντων, Οἰδίπους τυφλώσας τὰς ὄψεις, ἐκ Θηβῶν ἀλαύνετο, ἀρὰς τοῖς παισὶ Σέμνος χαλκῷ διελέσθαι τὰ πατρῷα. Τῶν δ' υἱῶν συνθέντων πρὸς ἀλλήλους περὶ βασιλείας τὸν ἕτερον παρ' ἐνιαυτὸν ἄρχειν. Ἐτεοκλῆς ἄρξας πρῶτος, οὐκ ἐβούλετο παραδοῦναι τὴν ἀρχήν. Πολυνείκης δὲ φυγαδευθεὶς ἦλθεν εἰς Ἄργος, κἀκεῖθεν σὺν ἡγεμόσιν ἑπτὰ (ἦταν δὲ οὗτοι Ἄδραστος, Ἀμφιάρεως, Καπανεύς, Ἱπομέδων, Ἀργεῖοι, Πολυνείκης, Θηβαῖος Τυδεύς, Αἰτωλός καὶ Παρθενοπαῖος, Ἀρκάς) ἔρχεται εἰς Θήβας, καὶ μάχης γενομένης τῆς κληθείσης Ἑπτὰ ἐπὶ Θήβας, καὶ πολλῶν ἑκατέρωθεν πεσόντων, τέλος ἐγνώσθη Ἐτεοκλέα καὶ Πολυνείκην μονομαχήσαι· οἱ δὲ μονομαχήσαντες ἔκτειναν ἀλλήλους, καὶ ἡ εὐχὴ τοῦ πατρὸς ἐπληρώθη. Ἀλλὰ καὶ μετὰ τοῦτο πάλιν κρατερὰ ἐγένετο μάχη, καὶ πολλοὶ ἔπεσον. Μετὰ δὲ ἔτη δέκα οἱ τῶν ἀπολωλεκότων παῖδες Ἐπίγονοι κληθέντες στρατεύουσιν ἐπὶ Θήβας τιμωρησόμενοι τὸν θάνατον τῶν πατέρων, καὶ τότε τείχη Θηβῶν καθαιροῦσι, καὶ τὴν λείαν ἀθροίζουσιν. Ἀπολλόδ. Γ'. ἑ. . . . ᾳ'.

β'. 3. Οὐκοῦν οὐχ οἱ αὐτοί) Ἐννοεῖται Εἰσὶ καὶ ὑγιαίνοντες καὶ ἀσθενοῦντες.

— Οὐ δῆτα) Οὐ γὰρ δήπου εἰσὶν ἄνθρωποι μὴ ὑγιαίνοντες, ἢ μὴ ἀσθενοῦντες· ἀλλ' ἤτοι ὑγιαίνοντες εἰσιν, ἢ ἀσθενοῦντες.

6. Πεπονθέναι) Ἤτοι ἄφρονα εἶναι, ἢ φρόνιμον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τρίτον πάθος, ὁ ποιεῖ τὸν ἄνθρωπον μήτε φρόνιμον μήτε ἄφρονα
8 εἶναι; — Ἀλκ. Ὡμολόγησα γάρ. — Σωκ. Καὶ μὴν δύο γε ὑπεναντία ἑνὶ πράγματι πῶς ἂν εἴη; — Ἀλκ. Οὐδαμῶς. — Σωκ. Ἀφροσύνη ἄρα καὶ μανία κινδυνεύει ταὐτὸν εἶναι. —
9 Ἀλκ. Φαίνεται. — Σωκ. Πάντας οὖν ἂν φρόντες, ὦ Ἀλκιβιάδη, τοὺς ἄφρονας μαίνεσθαι, ὀρθῶς ἂν φαίημεν. — Ἀλκ. Ναί. — Σωκ. Αὐτίκα, τῶν σῶν ἡλικιωτῶν εἴ τινες τυγχάνουσιν ἄφρονες ὄντες, ὥσπερ εἰσί, καὶ τῶν ἔτι πρεσβυτέρων. Ἐπεί φέρε πρὸς Διός, οὐκ οἴει τῶν ἐν τῇ πόλει ὀλίγους μὲν εἶναι τοὺς φρονίμους, ἄφρονας δὲ τοὺς πολλούς; οὐς δὴ σὺ μαινομένους κακεῖς; —
10 Ἀλκ. Ἔγωγε. — Σωκ. Οἴῃ ἂν οὖν χαίροντας ἡμᾶς εἶναι μετὰ τοσούτων μαινομένων πολιτευομένους; καὶ οὐκ ἂν πταιομένους, καὶ βαλλομένους, καὶ ἅπερ εἰώθασιν οἱ μαινόμενοι διαπράττεσθαι, πάλαι δίκην δεδωκέναι; ἀλλ' ἄρα, ὦ μακάριε, μὴ οὐχ οὕτω ταῦτ' ἔχει.

γ. Ἀλκ. Πῶς ἂν οὖν ποτ' ἔχοι, ὦ Σώκρατες; κινδυνεύει γὰρ οὐχ οὕτως ἔχειν ὥσπερ φήθην. — Σωκ. Οὐδ' ἐμοὶ δοκεῖ. Ἀλλὰ τῇδέ πῃ ἀθρητέον. — Ἀλκ. Ἦ ποτε λέγεις; — Σωκ. Ἐγὼ δή
2 σοι γε ἐρῶ. Ὑπολαμβάνομέν γέ τινας εἶναι νοσοῦντας· ἢ οὔ; — Ἀλκ. Πάνυ μὲν οὖν. — Σωκ. Ἆρ' οὖν δοκεῖ σοι ἀναγκαῖον εἶναι τὸν νοσοῦντα ποδαγρᾶν, ἢ πυρέττειν, ἢ ὀφθαλμιᾶν; ἢ οὐκ ἂν δοκῇ σοι, καὶ μηδὲν τούτων πεπονθώς, ἑτέραν νοσεῖν νόσον; πολλαί γάρ δή που γέ εἰσι καὶ οὐχ αὗται μόναι. — Ἀλκ. Ἔμοιγε δο-
3 κοῦσιν. — Σωκ. Ὀφθαλμία οὖν σοι δοκεῖ, πᾶσα νόσος εἶναι; — Ἀλκ. Ναί. — Σωκ. Ἆρ' οὖν καὶ πᾶσα νόσος, ὀφθαλμία; — Ἀλκ. Οὐ δῆτα ἔμοιγε· ἀπορῶ μέντοι γε πῶς λέγω. — Σωκ.
4 Ἀλλ' ἐὰν ἔμοιγε προσέχῃς τὸν νοῦν, σύν τε δύο σκεπτομένω, σχεδὸν εὑρήσομεν. — Ἀλκ. Ἀλλὰ προσέχω, ὦ Σώκρατες, εἰς δύνα-
5 μιν τήν ἐμήν. — Σωκ. Οὐκοῦν ὡμολογήθη ἡμῖν ὀφθαλμία μὲν πᾶσα, νόσος εἶναι, νόσος μέντοι οὐκ εἶναι πᾶσα, ὀφθαλμία; —
6 Ἀλκ. Ὡμολογήθη. — Σωκ. Καὶ ὀρθῶς γε μοὶ δοκεῖ ὁμολογηθῆναι· καὶ γὰρ οἱ πυρέττοντες πάντες νοσοῦσιν, οὐ μέντοι οἱ νο-

---

9. Αὐτίκα) Ὡς ἐπὶ παραδείγματος. Εἴτινες τῶν σῶν ἡλικιωτῶν εἰσιν ἄφρονες, ὥσπερ καὶ εἰσί· καὶ εἴ τινες τῶν πρεσβυτέρων ἔτι εἰσὶν ἄφρονες, πάντας ἂν ὀρθῶς φαίημεν, τούτους μαίνεσθαι. Ἐννοεῖται γὰρ ἡ ἀνωτέρω περίοδος πρὸς ἀπόδοσιν.

10. Οἴῃ ἂν) Οἴει οὖν ὅτι ἡμεῖς εἴημεν ἐν χαρᾷ μετὰ καὶ τλ. — Δίκην δεδωκ.) Κολασθῆναι καὶ οἴει ὅτι οὐ πταίομενοι καὶ τλ. πάλαι ἂν ἐκολάσθημεν.

γ. Ἀλλὰ τῇδέ πῃ ἀθρητέον) Ἀλλὰ τόνδε πως τὸν τρόπον δεῖ παρατηρεῖν, καὶ σκέπτεσθαι.

3. δῆτα ἔμοιγε) Πάντως οὐ δοκεῖ μοι οὕτως ἔχειν.

4. Σύν τε δύο) Ἐκ τῶν Ὁμήρ. Ἰλ. Κ. στίχ. 224. εἴληπται ἡ φράσις αὕτη· σημαίνει δὲ τὸ ἐὰν σκεφθῶμεν ὁμοῦ οἱ δύο.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σοῦντες πάντες πυρέττουσιν, οὐδὲ ποδαγριῶσιν, οὐδέ γε ὀφθαλμιῶσιν, οἶμαι· ἀλλὰ νόσος μὲν πᾶν τὸ τοιοῦτόν ἐστι, διαφέρειν δή φασιν οὓς δὴ καλοῦμεν ἰατροὺς τὴν ἀπεργασίαν αὐτῶν. Οὐ γὰρ πᾶσαι, οὔτε ὁμοῖαι, οὔτε ὁμοίως διαπράττονται, ἀλλὰ κατὰ τὴν αὐτῆς δύναμιν ἑκάστη· νόσοι μέντοι πᾶσαί εἰσιν. Ὥσπερ δημιουργοὺς τινας ὑπολαμβάνομεν· ἢ οὔ; — Ἀλκ. Πάνυ μέν οὖν. — Σωκ. Οὐκοῦν τοὺς σκυτοτόμους, καὶ τέκτονας, καὶ ἀνδριαντοποιοὺς, καὶ ἑτέρους μυριοπλήθεις, οὓς τί δεῖ καθ' ἕκαστα λέγειν; ἔχουσι δ' οὖν διειληφότες δημιουργίας μέρη, καὶ πάντες οὗτοι εἰσὶ δημιουργοί· οὐ μέντοι εἰσὶ τέκτονές γε, οὐδὲ σκυτοτόμοι, οὐδὲ ἀνδριαντοποιοί· οἱ σύμπαντες εἰσὶ δημιουργοί. — Ἀλκ. Οὐ δῆτα. — Σωκ. Οὕτω μὲν οὖν καὶ τὴν ἀφροσύνην διειληφότες εἰσὶ· καὶ τοὺς μὲν πλεῖστον μέρος αὐτῆς ἔχοντας, μαινομένους καλοῦμεν· τοὺς δ' ἐλάττον ἔλαττον, ἠλιθίους τε καὶ ἐμβροντήτους. Οἱ δὲ ἐν εὐρημοτάτοις ὀνόμασι βουλόμενοι κατονομάζειν, οἱ μέν, μεγαλοψύχους, οἱ δέ, εὐήθεις· ἕτεροι δὲ ἀκάκους, καὶ ἀπείρους, καὶ ἐννεούς. Εὑρήσεις δὲ καὶ ἕτερα πολλὰ ἀναζητῶν ὀνόματα. Πάντα δὲ ταῦτα ἀφροσύνη ἐστί· διαφέρει δέ, ὥσπερ τέχνη τέχνης ἡμῖν κατεφαίνετο, καὶ νόσος νόσου. Ἢ πῶς σοὶ δοκεῖ; — Ἀλκ. Ἐμοὶ μὲν οὕτω.

Δ'. Σωκ. Οὐκοῦν ἀπ' ἐκείνου πάλιν ἐπανέλθωμεν. Ἦν γὰρ δήπου ἐν ἀρχῇ τοῦ λόγου σκεπτέον εἶναι τοὺς ἄφρονάς τε καὶ φρονίμους, τίνες ποτ' εἰσίν· ὡμολόγητο γὰρ εἶναί τινας· ἢ γὰρ οὔ; — Ἀλκ. Ναὶ ὡμολόγηται. — Σωκ. Ἆρ' οὖν τούτους φρονίμους ὑπολαμβάνεις, οἳ ἂν εἰδῶσιν ἅττα δεῖ πράττειν καὶ λέγειν; — Ἀλκ. Ἔγωγε. — Σωκ. Ἄφρονας δὲ ποτέρους; ἆρά γε τοὺς μηδ' ἕτερα τούτων εἰδότας; — Ἀλκ. Τούτους. — Σωκ. Οὐκοῦν οἵγε μὴ εἰδότες μηδ' ἕτερα τούτων, λήσουσιν αὐτοὺς καὶ λέγοντας καὶ πράττοντας ἅττα μὴ δεῖ; — Ἀλκ. Φαίνεται. — Σωκρ. Τούτων μέντοι ἔλεγον, ὦ Ἀλκιβιάδη, καὶ τὸν Οἰδίπουν εἶναι τῶν ἀνθρώπων. Εὑρήσεις δὲ καὶ τῶν νῦν ἔτι

---

6. Τὴν ἀπεργασίαν αὐτῶν) Ἐκ πρώτου εἰς τὸ διοφέρει.

7. Ὥσπερ δημιουργοὺς) Γενικὸν ὄνομα τὸ δημιουργὸς ὡς παρακατιόντι δηλοῦται· οἷον νόσοι δὲ πᾶσαί εἰσιν, ὥσπερ ὑπολαμβάνομεν, ὅτι εἰσὶ καὶ δημιουργοί τινες· ἢ οὐχ οὕτως ἔχει;

8. Οὐκοῦν) Ἐννοεῖται ὑπολαμβάνομεν δημιουργούς τινας.

— Ἔχουσι, δ' οὖν) Ἔχουσι γάρ.

— Οὐ δῆτα) Εἰσὶν οἱ σύμπαντες τέκτονες, ἢ σκυτοτόμοι, ἢ ἀνδριαντοποιοί.

11. Ἐμοὶ μὲν οὕτω) Δοκεῖ.

Δ'. Οὐκοῦν ἀπ' ἐκείν.) Εἰ τ' οὖν ἐπανελθόντες ἀρξώμεθα ἀπ' ἐκείνου.

— Ἢ γὰρ οὔ;) Ἆρά γε οὐχ ὡμολόγηται.

2. Τούτους) Ὑπολαμβάνω· ἐννοεῖται ἀπὸ κοινοῦ.

4. Εἶναι τῶν ἀνθρ.) Ἐννοεῖται ἐξῆθεν. Ἔναι· μετὰ γὰρ τὰ ὑπαρκτικὰ ἡ γενικὴ τοιοῦτό τι ἔχει ἐννοούμενον διαιρετικῶς λεγομένη.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πολλοὺς οὐκ ὀργῇ κεχρημένους, ὥσπερ ἐκεῖνον, οὐδ' οἰομένους κακὰ σφίσιν εὔχεσθαι, ἀλλ' ἀγαθά. Ἐκεῖνος μέν, ὥσπερ οὐδ' ηὔχετο, οὐδ' ᾤετο· ἕτεροι δέ τινές εἰσιν, οἳ τἀναντία τούτων πε-
5 πόνθασιν. Ἐγὼ μὴν γὰρ οἶμαί σε, εἴ σοι ἐμφανὴς γενόμενος ὁ θεὸς πρὸς ὃν τυγχάνεις παρεόμενος, ἐρωτήσειε, πρὶν ὁτιοῦν εὔξασθαί σε, εἰ ἐξαρκέσει σοὶ τύραννον γενέσθαι τῆς Ἀθηναίων πόλεως· εἰ δὲ τοῦτο ῥᾴδιον ἡγήσαιο, καὶ μὴ μέγα τι προσθείη,
6 καὶ πάντων τῶν Ἑλλήνων· εἰ δέ σε ὁρῴη ἔτι ἔλαττον δοκοῦντα ἔχειν, εἰ μὴ καὶ πάσης Εὐρώπης ὑποσταίη σοι, καὶ τοῦτο μὴ μόνον ὑποσταίη, αὐθημερὸν σοῦ βουλομένου ὡς πάντας αἰσθέσθαι ὅτι Ἀλκιβιάδης ὁ Κλεινίου τύραννός ἐστιν· αὐτὸν οἶμαι ἂν σε ἀπιέναι περιχαρῆ γενόμενον, ὡς τῶν μεγίστων ἀγαθῶν κεκυρηκότα. — Ἀλκ. Ἐγὼ μέν οἶμαι, ὦ Σώκρατες, κἂν ἄλλον ὀντινοῦν, εἴπερ τοιαῦτα συμβαίη αὐτῷ. — Σωκ. Ἀλλὰ
7 μέν τοι ἀντί γε τῆς σῆς ψυχῆς οὐδ' ἂν τὴν πάντων Ἑλλήνων καὶ Βαρβάρων χώραν τε καὶ τυραννίδα βουληθείης σοὶ γενέσθαι. — Ἀλκ. Οὐκ οἶμαι ἔγωγε. Πῶς γὰρ ἄν; μηδὲν γέ τι μέλλων αὐτοῖς χρῆσθαι. — Σωκ. Τί δ' εἰ μέλλεις κακῶς τε καὶ βλαβερῶς χρῆσθαι; οὐδ' ἂν οὕτως; — Ἀλκ. Οὐ δῆτα.

ε. Σωκ. Ὁρᾷς οὖν ὡς οὐκ ἀσφαλὲς οὔτε τὰ διδόμενα εἰκῇ δέχεσθαί σε, οὔτε αὐτὸν εὔχεσθαι γενέσθαι· εἰ γέ τις βλάπτεσθαι μέλλει διὰ ταῦτα, ἢ τοπαράπαν τοῦ βίου ἀπαλλαγῆναι.
2 Πολλοὺς δ' ἂν ἔχοιμεν εἰπεῖν, ὅσοι τυραννίδος ἐπιθυμήσαντες ἤδη, καὶ σπουδάσαντες τοῦτ' αὐτοῖς παραγενέσθαι, ὡς ἀγαθόν τι πράξοντες, διὰ τὴν τυραννίδα ἐπιβουλευθέντες τὸν βίον
3 ἀφῃρέθησαν. Οἶμαι δέ σε οὐκ ἀνήκοον εἶναι ἔνιά γε χθιζά τε καὶ πρωϊζὰ γεγενημένα· ὅτε Ἀρχέλαον τὸν Μακεδόνων τύραννον τὰ παιδικά, ἐρασθέντα τῆς τυραννίδος οὐδὲν ἧττον ἢ περ ἐκεῖνος τῶν παιδικῶν, ἀπέκτεινε τὸν ἐραστήν, ὡς τύραννός τε καὶ εὐδαίμων ἀνὴρ ἐπόμενος. Κατασχὼν δὲ τρεῖς ἢ τέτταρας ἡμέρας τὴν τυραννίδα, πάλιν αὐτὸς ἐπιβουλευθεὶς ὑφ' ἑ-

---

— Ὥσπερ ἐκεῖνον) Τὸν Οἰδίπουν· ὀργῇ γὰρ χρώμενος πρὸς τοὺς υἱοὺς κατηύξατο αὐτῶν.

— Οὐδ' ᾤετο) Ὅτι εὔχεται ἀγαθά.

6. Ἔλαττον δοκοῦντα ἔχ.) Ὅτι οὔ σοι δοκεῖ ἱκανὸν καὶ τοῦτο.

— Εἰ μὴ καί) Ἐὰν μή σοι ὑποσχεθῇ καὶ πάσης τῆς Εὐρώπης τύραννον γενέσθαι.

— Καὶ τοῦτο μὴ μόνον ὑπ.) Οὐ γὰρ ἐξαρκέσει σοι ἐὰν τοῦτο μόνον ὑποσχεθῇ, ἐπειδὴ σὺ βούλει, ὡς πάντας ἀνθρώπους αἰσθέσθαι τοῦτο· ὅτι δηλ. Ἀλκιβιάδης ὁ Κλ. καὶ τλ.

— Κἂν ἄλλον) Καὶ ἄλλον ἂν ὀντινοῦν ἀπιέναι, περιχαρῆ γενόμενον.

ε. 3. Χθιζὰ καὶ πρωϊζά) Σύνηθες τοῦτο παρὰ τοῖς Ἀττικοῖς· καὶ ἔστιν ὅμοιον τῷ παρ' ἡμῖν. Χθεσινὰ καὶ προχθεσινά. Τὸν γὰρ Ἀρχέλαον εἷς τῶν ἐρωμένων αὐτοῦ ἐπιθυμήσας τύραννος γενέσθαι κατέκτεινεν αὐτόν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τέρων τινῶν ἐτελεύτησεν. Ὁρᾶς δὴ καὶ τῶν ἡμετέρων πολιτῶν 4
(ταῦτα γὰρ οὐκ ἄλλων ἀκηκόαμεν, ἀλλ' αὐτοὶ παρόντες οἴδαμεν) ὅσοι στρατηγίας ἐπιθυμήσαντες ἤδη, καὶ τυχόντες αὐτῆς, οἱ μὲν, ἔτι καὶ νῦν φυγάδες τῆς δε τῆς πόλεως εἰσιν, οἱ δὲ τὸν βίον ἐτελεύτησαν· οἱ δὲ ἄριστα δοκοῦντες αὐτῶν πράτ- 5
τειν, διὰ πολλῶν κινδύνων ἐλθόντες καὶ φόβων, οὐ μόνον ἐν ταύτῃ τῇ στρατηγίᾳ, ἀλλ' ἐπεὶ εἰς τὴν ἑαυτῶν κατῆλθον, ὑπὸ τῶν συκοφαντῶν πολιορκούμενοι πολιορκίαν οὐδὲν ἐλάττω τῆς ὑπὸ τῶν πολεμίων διετέλεσαν· ὥστε ἐνίους αὐτῶν εὔχεσθαι ἀστρατηγήτους εἶναι μᾶλλον ἢ ἐστρατηγηκέναι. Εἰ μὲν οὖν ἦ- 6
σαν οἱ κίνδυνοί τε καὶ πόνοι φέροντες εἰς ὠφέλειαν, εἶχεν ἄν τινα λόγον· νῦν δὲ καὶ πολὺ τοὐναντίον. Εὑρήσεις δὲ καὶ περὶ τέκνων τὸν αὐτὸν τρόπον, εὐξαμένους τινὰς ἤδη γενέσθαι, καὶ γενομένων εἰς ξυμφορᾶς τε καὶ λύπας τὰς μεγίστας καταστάντας. Οἱ μὲν γὰρ, μοχθηρῶν διὰ τέλους ὄντων τῶν τέ- 7
κνων, ὅλον τὸν βίον λυπούμενοι διήγαγον· τοὺς δέ, χρηστῶν μὲν γενομένων, συμφοραῖς δὲ χρησαμένων, ὥστε στερηθῆναι, καὶ τούτους οὐδὲν εἰς ἐλάττονας δυστυχίας καθεστηκότας ἤπερ ἐκείνους· καὶ βουλομένους ἂν ἀγένητα μᾶλλον εἶναι ἢ γενέσθαι. Ἀλλ' ὅμως τούτων τε καὶ ἑτέρων πολλῶν ὁμοιοτρόπων 8
τούτοις οὕτω σφόδρα καταδήλων ὄντων, σπάνιον εὑρεῖν ὅστις ἂν ἢ διδομένων ἀπόσχοιτο, ἢ μέλλων δι' εὐχῆς τεύξεσθαι, παύσαιτο ἂν εὐχόμενος. Οἱ δὲ πολλοὶ οὔτε ἂν τυραννίδος διδομένης ἀπόσχοιντο ἄν, οὔτε στρατηγίας, οὐδ' ἑτέρων πολλῶν, ἃ 9
παρόντα βλάπτει μᾶλλον ἢ ὠφελεῖ· ἀλλὰ κἂν εὔξαιντο ἂν γενέσθαι, εἴτ' μὴ παρόντα τυγχάνει. Ὀλίγον δὲ ἐπισχόντες, ἐνίοτε παλινῳδοῦσιν, ἀνευχόμενοι ἅττ' ἂν τὸ πρῶτον εὔξωνται. Ἐγὼ 10
μὲν οὖν ἀπορῶ μὴ ὡς ἀληθῶς μάτην θεοὺς ἄνθρωποι αἰτιῶνται, ἐξ ἐκείνων φάμενοι κακὰ σφίσιν εἶναι· οἱ δὲ καὶ αὐτοὶ σφῆσιν εἴτε ἀτασθαλίαισιν, εἴτε ἀφροσύναις χρὴ εἰπεῖν, ὑπὲρ μόρον ἄλγε ἔχουσι.

---

4. Ὁρᾶς δή) Ἐν γὰρ Ἀθήναις δημοκρατουμέναις πολλὰ τοιαῦτα συνεχῶς ἐγίγνετο τῶν στρατηγούντων γὰρ τοὺς μὲν ἐφυγάδευον, τοὺς δὲ ἀπέκτεινον· ἔστι δὲ οὓς καὶ εἰς εἰρκτὴν ἐνέβαλλον. Ταῦτα δὲ ἐποιοῦν, φασὶ, δέει τῆς τυραννίδος.

5. Ἀστρατηγήτους εἶν.) Μὴ γενέσθαι στρατηγούς. Τὰ εἰς στος ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παθητικοῦ παρακειμένου παθητικῶς λαμβάνεται· ἔστι δὲ ὅτε συνθέτως καὶ ἐνεργητικῶς· ὥσπερ τὸ ἀστρατήγητος.

6. Εὐξαμένους γεν.) Ηὔξαντο γὰρ πολλοὶ τῶν ἡμερόνων γενέσθαι αὐτοῖς τέκνα· εἶτα κατέστησαν εἰς μεγίστας συμφορὰς καὶ λύπας.

7. Οἱ μὲν γὰρ) Ἐπεξήγησις τοῦ εἰρημένου.

— Ἀγένητα μᾶλ) Μᾶλλον ἂν ὠφέλει αὐτοὺς εἰμὶ ἐγένοντο ἢ γεννηθέντα.

9. Ἀλλὰ κἂν εὔξ.) Ἀλλὰ καὶ εὔξαιτο ἂν γενέσθαι ἂν αὐτοῖς ταῦτα.

— Ἀνευχόμεν.) Ἀποβάλλοντες δι' εὐχῆς, ὅσα πρότερον ηὔχοντο.

10. Ὑπὲρ μόρον) Ὑπὲρ τὸ καθῆ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

11 Κινδυνεύεις γ' ἄν, ὦ Ἀλκιβιάδη, φρόνιμός τις εἶναι ἐκεῖνος ὁ ποιητής, ὃς (δοκεῖ μοι) φίλοις ἀνοήτοις τισὶ χρησάμενος, ὁρῶν αὐτοὺς καὶ πράττοντας καὶ εὐχομένους ἅπερ οὐ βέλτιον ἦν, ἐκείνοις δὲ ἐδόκει, κοινῇ ὑπὲρ ἁπάντων αὐτῶν εὐχὴν ποιήσασθαι. Λέγεις δέ πως ὧδέ,

Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ [φησὶ] καὶ εὐχομένοις καὶ ἀνεύκτοις
Ἀμμι δίδου, τὰ δὲ δεινὰ καὶ εὐχομένοις ἀπαλέξειν κελεύει.

12 Ἐμοὶ μὲν οὖν καλῶς δοκεῖ καὶ ἀσφαλῶς λέγειν ὁ ποιητής· σὺ δ' εἴ τι ἐν νῷ ἔχεις πρὸς ταῦτα, μὴ σιώπα.

ϛ'. Ἀλκ. Χαλεπόν, ὦ Σώκρατες, ἐστὶν ἀντιλέγειν πρὸς τὰ καλῶς εἰρημένα· ἐκεῖνο δ' οὖν ἐννοῶ, ὅσων κακῶν αἰτία ἡ ἄγνοια τοῖς ἀνθρώποις· ὁπότε, ὡς ἔοικε, λελήθαμεν ἡμᾶς αὐτοὺς διὰ ταύτην καὶ πράττοντας, καὶ, τό γε ἔσχατον, εὐχόμενοι ἡμῖν αὐτοῖς τὰ κάκιστα. Ὅπερ οὖν οὐδεὶς οἰηθείη, ἀλλὰ τοῦτό γε πᾶς ἂν οἴοιτο ἱκανὸς εἶναι, αὐτὸς αὑτῷ τὰ βέλτιστα εὔξασθαι, ἀλλ' οὐ τὰ κάκιστα. Τοῦτο μὲν γὰρ ὡς ἀληθῶς κατάρᾳ τινὶ ἀλλ' οὐκ εὐχῇ ὅμοιον ἂν εἴη. — Σωκ. Ἀλλ' ἴσως, ὦ βέλτιστε, φαίη ἄν τις ἀνὴρ ὃς ἐμοῦ τε καὶ σοῦ σοφώτερος ὢν τυγχάνει, οὐκ ὀρθῶς ἡμᾶς λέγειν, οὕτως εἰκῇ ψέγοντας ἄγνοιαν· εἴ γε μὴ προσδείημεν τήν ἔστιν ὧν τε ἄγνοιαν, καὶ ἔστιν οἷς, καὶ ἔχουσί πως, ἀγαθόν, ὥσπερ ἐκείνοις κακόν. — Ἀλκ. Πῶς λέγεις; ἔστι γάρ ὁτιοῦν πρᾶγμα ὁτῳδὴ ὁπωσοῦν ἔχοντι ἄμεινον ἀγνοεῖν ἢ γιγνώσκειν; — Σωκ. Ἔμοι γε δοκεῖ· σοὶ δ' οὔ; — Ἀλκ. Οὐ μέν τοι μὰ Δία. — Σωκ. Ἀλλὰ μὴν οὐδ' ἐκεῖνο σοῦ καταγνώσομαι, ἐθέλειν ἄν σε πρὸς τὴν ἑαυτοῦ μητέρα διαπεπράχθαι ἅπερ Ὀρέστην φασὶ καὶ τὸν Ἀλκμαίωνα, καὶ εἰ

κου. Ἔστι δὲ ἐκ τῶν παρ' Ὁμήρου ἐν οἷς τὸν Δία ὑποτίθησι τοῖς ἄλλοις θεοῖς ἔστιν ὅτε λέγειν. Ὀδυσ. Α'. στίχ. 32.

Ὦ πόποι! οἷον δὴ νῦν θεοὺς βροτοὶ αἰτιόωνται.
Ἐξ ἡμέων γάρ φασι κάκ' ἔμμεναι· οἱ δὲ καὶ αὐτοὶ
Σφῇσιν ἀτασθαλίῃσιν ὑπὲρ μόρον ἄλγε' ἔχουσιν.

— Λέγει δὲ πως ὧδε) Ὁμήρ. ἐν ἀκροσπασματ. στίχ. 161.

ϛ'. Ἡ ἄγνοια τοῖς ἀνθρ.) Ἐννοεῖται, γίγνεται· ἢ ἔστι.

— Ὁπότε) Αἰτιολογικώτερον τὸ Ὁρᾶτε λαμβάνεται, γρονικὸν ὄν.

2. Ὅπερ οὖν οὐδ.) Ὃ δὴ οὐδ' ἂν εἰς νοῦν ἔλθοι τινὶ· ἀλλὰ τοὐναντίον μάλιστα ἕκαστος οἰηθείη ἄν, ὅτι κατὰ τοῦτό ἐστιν ἱκανός τι, αὐτὸς ἑαυτῷ καὶ τλ. Τὸ δὲ Αὐτὸς κατ' ὀνομαστικὴν διὰ τὸ πανταπροσωπεῖν τοῦ εὔξασθαι, καὶ τοῦ οἴοιτο.

3. Τήν ἔστιν ὧν, καὶ ἔστιν οἷς) Ὅτι ἡ ἐνίων ὅλ. ἄγνοια καὶ ἐνίοις καί πως διακειμένοις ἐστὶν ἀγαθόν· ὥσπερ ἐκείνοις κακόν.

— Ἔστι γάρ καὶ τλ.) Ἔστιν ὁποιῳδηποτοῦν ὁπως δηποτοῦν διακειμένῳ μᾶλλον ἀγνοεῖν, ἢ γιγνώσκειν ὁποιουδηποτοῦν πρᾶγμα. Οἷον· Ἔστι κατὰ τὴν διάθεσιν ἑκάστου καὶ ἡ ἄγνοια, καὶ γνῶσις βελτίων ἢ χείρων ἑκάστου πράγματος.

4. Ἅπερ Ὀρέστ.) Κλυταιμνήστρα γυνὴ Ἀγαμέμνονος ἐν τῇ αὐτοῦ ἀπουσίᾳ κατὰ τὴν Τροίας πολιορκίαν ἠράσθη Αἰγίσθου τοῦ Θυέστου. Οὗτος βουλόμενος αὐτὴν ἀγαγέσθαι γυναῖκα συμφώνους αὐτῇ ἐμήνυσεν Ἀγαμέμνονα ἐπα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δή τινες ἄλλοι ἐκείνοις τυγχάνουσι ταὐτὰ διαπεπραγμένοι. — Ἀλκ. Εὐφήμει πρὸς Διός, ὦ Σώκρατες. — Σωκ. Οὗτοι τὸν λέ- 5
γοντα, ὦ Ἀλκιβιάδη, ὡς οὐκ ἂν ἐθέλοις σοὶ ταῦτα πεπράχθαι, εὐφημεῖν δεῖ σε κελεύειν, ἀλλὰ μᾶλλον πολὺ εἴ τις τὰ ἐναντία λέγοι· ἐπειδὴ οὕτω σοὶ δοκεῖ σφόδρα δεινὸν εἶναι τὸ πρᾶγμα, ὥστ' οὐδὲ ῥητέον εἶναι οὕτως εἰκῆ. Δοκῇς δ' ἂν τὸν Ὀρέστην, 6
εἰ ἐτύγχανε φρόνιμος ὤν, καὶ εἰδὼς ὅ,τι βέλτιστον ἦν αὐτῷ πράττειν, τολμῆσαι ἄν τι τούτων διαπράξασθαι; — Ἀλκ. Οὐ δῆτα. — Σωκ. Οὐδέ γε ἄλλον οἶμαι οὐδένα. — Ἀλκ. Οὐ μέν τοι. 7
— Σωκ. Κακὸν ἄρα, ὡς ἔοικεν, ἐστὶν ἡ τοῦ βελτίστου ἄγνοια, καὶ τὸ ἀγνοεῖν τὸ βέλτιστον. — Ἀλκ. Ἔμοιγε δοκεῖ. — Σωκ. Οὐκοῦν καὶ ἐκείνῳ καὶ τοῖς ἄλλοις ἅπασι; — Ἀλκ. Φημί.

ζ'. Σωκ. Ἔτι τοίνυν καὶ τόδε ἐπισκεψώμεθα· εἴσοι αὐτίκα μάλα παραστάτῃ, οἰηθέντι βέλτιον εἶναι, Περικλέα, τὸν σεαυτοῦ ἐπίτροπόν τε καὶ φίλον, ἐγχειρίδιον λαβόντα, ἐλθόντα ἐπὶ τὰς θύρας, εἰπεῖν εἰ ἔνδον ἐστί, βουλόμενον ἀποκτεῖναι αὐτὸν ἐκεῖνον, ἄλλον δὲ μηδένα· οἱ δὲ φαίεν ἔνδον εἶναι. Καὶ οὐ λέγω ἐθέλειν ἄν σε τούτων τι πράττειν· ἀλλ' εἰ, οἶμαι, δόξει σ' ὅπερ οὐδὲν κωλύει δή που τῷ γε ἀγνοοῦντι τὸ βέλτιστον, παραστῆναι ποτὲ δόξαν ὥστε οἰηθῆναι καὶ τὸ κάκιστον ποτὲ 2

κελθόντα οἴκαδε μετὰ τὴν Τροίας ἅλωσιν καὶ κατέτυχε τὴν ἀρχήν. Ὀρέστης δὲ ὁ Ἀγαμέμνονος καὶ Κλυταιμνήστρας τελευτώσης ἐμνάσατο τῷ πατρὶ καὶ τὴν μητέρα καὶ Αἴγισθον κτείνας πιασθεὶς ὑπὸ Ἠλέκτρας τῆς ἀδελφῆς Σοφοκλ. Ἠλέκτρ. Ἀλκμαίων δὲ καὶ αὐτὸς ἐφόνευσε τὴν ἑαυτοῦ μητέρα κατ' ἐπιταγὴν τοῦ πατρός. Κρυθεὶς γὰρ ὁ πατὴρ αὐτοῦ Ἀμφιάραος, ἵνα μὴ στρατεύσηται κατὰ Θηβῶν μετὰ Πολυνείκους τοῦ Οἰδίποδος, ἐπειδὴ αὕτη χρυσοῦν λαβοῦσα δῶρον, ἔδειξεν ἔνθα ἐκρύβη, ἀνάγκην ἔχων στρατεύεσθαι, τοῖς παισὶν ἐντολὰς ἔδωκε τελευτωθεὶς κτεῖναι τὴν μητέρα, καὶ ἐπὶ Θήβας στρατεύειν· αὐτὸς δὲ σὺν τοῖς λοιποῖς [illegible]τα Ἀδραστου ἐστράτευσεν εἰς Θήβας καὶ ἐν τῇ μάχῃ κινεχθῆ ἡ γῆ, καὶ κατ[illegible]πιεν αὐτὸν αὐτοῖς ἵπποις καὶ ἅρματι. Μετὰ δὲ τὴν τῶν Θηβῶν ἅλωσιν αἰσθόμενος Ἀλκμαίων καὶ ἐπ' αὐτὸν ὁδοιπορεῖν Ἐριφύλην τὴν μητέρα, μᾶλλον ἠγανάκτησε, καὶ κρήσαντος Ἀπόλλωνος αὐτῷ, τὴν μητέρα κτείνει. Ἀπολλόδ. Γ'.

— Εὐφήμει πρὸς Διός.) Ἤτοι λέγε καλῶς· μὴ οὕτω λέγε.

5 Ὡς οὐκ ἂν ἐθέλ.) Οὐ δεῖ σε κελεύειν εὐφημεῖν τὸν λέγοντα· ἐπειδὴ οὐδ' ἂν ἐθέλοιας· καὶ τλ.

— Ἄλλα μᾶλλον πολὺ) Εὐφημεῖν δεῖ σε κελευειν εἴτις καὶ τλ.

6. Δοκῇς δ' ἂν) Καὶ οἶει ὅτι ὁ Ὀρέστης ἐτόλμητεν ἂν καὶ τλ. οὗτο Ἀν πρὸς ἓν ῥῆμα φέρονται συνηκτικῶς ἔθει Ἀττικῷ.

ζ'. Εἴσοι αὐτίκ. μάλ.) Εἴσοι, φέρε, ἐπέλθομ τὸ ἑξῆς δηλ.

— Ἐπίτροπον καὶ φίλ.) Μετὰ γὰρ τὸν θάνατον τοῦ πατρος Ἀλκιβιάδης νέος ἔτι ὢν ὑπὸ ἐπίτροπον ἦν Περικλέα, οὗ ἐν τῇ οἰκίᾳ καὶ ἐτράφη· διδαχθεὶς ὑπὸ Σωκράτους.

— Εἴ σοι αὐτικ. καὶ τλ.) Ἐπειδὴ ἡ σύνταξις διὰ τὴν σύμπτωσιν τῶν αἰτιατικῶν περιενοκημένη δοκεῖ, ἐκφραστέον ὧδε. Εἴ σοι, ὡς ἐπὶ παρασκεύματος, διὰ τὸ οἰηθῆναί σε βέλτιον εἶναι, παρασταίη τις δόξα λαβεῖν ἐγχειρίδιον, καὶ ἐλθεῖν ἐπὶ τὰς θύρας, καὶ ἐρωτῆσαι, εἰ ἔνδον ἐστὶ Περικλῆς ὁ σὸς ἐπίτροπός τε καὶ φίλος, ἐπειδὴ τούτον αὐτὸν βούλει ἀποκτεῖναι, καὶ μηδένα ἄλλον· οἱ δὲ ἐρωτηθέντες εἴποιεν ὅτι ἐστὶν ἔνδον. Καὶ ἐνταῦθα μὲν καταλείπει ἀτελῆ τὸν λόγον, παρακατιὼν δὲ ἐπαναλαμβάνει.

2. Παραστῆναι ποτὲ δόξ.) Ἐκ τούτων

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

βέλτιστον εἶναι. Ἦ οὐκ ἂν δοκῇ σοι; — Ἀλκ. Πάνυ μὲν οὖν. —
3 Σωκ. Εἰ οὖν παρελθὼν εἶσω, καὶ ἰδὼν αὐτὸν ἐκεῖνον, ἀγνοήσαις τε καὶ οἰηθείης ἂν ἄλλον εἶναί τινα, ἄρ' ἔτι ἂν αὐτὸν τολμήσαις ἀποκτεῖναι; — Ἀλκ. Οὐ μὰ τὸν Δία οὐκ ἄν μοι δοκῶ. — Σωκ. Οὐ γὰρ δή που τὸν ἐντυχόντα, ἀλλ' αὐτὸν ἐκεῖνον
4 ὃν ἠβούλου. Ἦ γάρ; — Ἀλκ. Ναί. — Σωκ. Οὐκοῦν καὶ εἰ πολλάκις ἐγχειρεῖς, αἰεὶ δὲ ἀγνοεῖς τὸν Περικλέα, ὁπότε μέλλεις τοῦτο πράττειν, οὔποτε ἂν ἐπίθοιο αὐτῷ. — Ἀλκ. Οὐ δῆτα. —
5 Σωκ. Τί δέ; τὸν Ὀρέστην δοκῇς ἄν ποτε τῇ μητρὶ ἐπιθέσθαι, εἴ γε ὡσαύτως ἠγνόησεν; — Ἀλκ. Οὐκ οἶμαι ἔγω γε. — Σωκ. Οὐ γὰρ δή που οὐδ' ἐκεῖνος τὴν προστυχοῦσαν γυναῖκα, οὐδὲ τὴν ὁτουοῦν μητέρα διενοεῖτο ἀποκτεῖναι, ἀλλὰ τὴν αὐτὸς αὑ-
6 τοῦ. — Ἀλκ. Ἔστι ταῦτα. — Σωκ. Ἀγνοεῖν ἄρα τά γε τοιαῦτα βέλτιον τοῖς οὕτω διακειμένοις, καὶ τοιαύτας δόξας ἔχουσι. — Ἀλκ. Φαίνεται. — Σωκ. Ὁρᾷς οὖν ὅτι ἡ ἔστιν ὧν γε ἄγνοια, καὶ ἔστιν οἷς, καὶ ἔχουσί πως, ἀγαθόν, ἀλλ' οὐ κακόν, ὥσπερ ἄρτι σοὶ ἐδόκει; — Ἀλκ. Ἔοικεν.

ἡ. Σωκ. Ἔτι τοίνυν εἰ βούλει τὸ μετὰ τοῦτο ἐπισκοπεῖν, ἄτοπον ὄν, ἴσως ἄν σοι δόξειεν εἶναι. — Ἀλκ. Τί μάλιστα, ὦ Σώκρατες; — Σωκ. Ὅτι, ὡς ἔπος εἰπεῖν, κινδυνεύει τό γε τῶν ἄλλων ἐπιστημῶν κτῆμα, εἴ τις ἄνευ τοῦ βελτίστου κεκτημένος, ᾖ, ὀλιγάκις μὲν ὠφελεῖν, βλάπτειν δὲ τὰ πλείω τὸν ἔχοντα αὐτά.
2 Σκόπει δὲ ὧδε· ἆρ' οὐκ ἀναγκαῖόν σοι δοκεῖ εἶναι, ὅταν τί μέλλωμεν ἤτοι πράττειν ἢ λέγειν, οἰηθῆναι δεῖν πρῶτον ἡμᾶς εἰδέναι, ἢ τῷ ὄντι εἰδέναι τοῦτο ὃ ἂν προχειροτέρως μέλλω-
3 μέν τι ἢ λέγειν ἢ πράττειν; — Ἀλκ. Ἔμοιγε δοκεῖ. — Σωκ. Οὐκοῦν οἱ ῥήτορες αὐτίκα, ἤτοι εἰδότες συμβουλεύειν, ἢ οἰηθέντες εἰδέναι, συμβουλεύουσιν ἡμῖν ἑκάστοτε· οἱ μέν, περὶ πολέμου τε καὶ εἰρήνης, οἱ δέ, περὶ τειχῶν οἰκοδομίας, ἢ καὶ λιμένων κατασκευῆς. Ἑνὶ δὲ λόγῳ, ὅσα δή ποτε ἡ πόλις πράττει πρὸς ἄλλην πόλιν, ἢ αὐτὴ καθ' αὑτήν, ἀπὸ τῆς τῶν ῥητόρων
4 συμβουλῆς πάντα γίγνεται; — Ἀλκ. Ἀληθῆ λέγεις. — Σωκ. Ὅρα τοίνυν καὶ τὰ ἐπὶ τούτοις, ἂν δυνηθῶ. Καλεῖς γὰρ δή που φρο-

---

οὖν ἔχομεν ἐννοεῖν καὶ ἐν τῷ Παρασταίῃ τὸ Δόξα. Ἔστι δὲ τὸ παραστῆναι ποτ. καὶ τλ. ἐπεξήγησις τοῦ Ὅπερ.

3. Αὐτὸν ἐκεῖνον) Τὸν Περικλέα.

5. Ἀλλὰ τὴν αὐτὸς αὑτοῦ) Ἀλλ' αὐτὸς διενοεῖτο ἀποκτεῖναι τὴν ἑαυτοῦ μητέρα χαριέντως δὲ οὕτως ἐξήνεγκε τὴν φράσιν.

ἡ. Ἴσως ἄν σοι δόξειεν εἶν.) Τοιοῦτον ἄτοπον δηλ. — Τί μάλιστα) Ἐπισκοπεῖν χρή. — Ἄνευ τοῦ βελτίστου) Τῆς φρονήσεως δηλ.

— Τὸν ἔχοντα αὐτά) Τὰ κτήματα.

3. Οἱ ῥήτορες αὐτίκα) Παραδείγματος χάριν.

4. Καὶ τὰ ἐπὶ τούτοις) Καὶ τὰ παρακολουθοῦντα τούτοις.

— Ἂν δυνηθῶ) Ἐξηγήσασθαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νίμους τε καὶ ἄφρονας; — Ἀλκ. Ἔγωγε. Σωκ.—Οὐκοῦν τοὺς μὲν πολλοὺς ἄφρονας· τοὺς δ' ὀλίγους, φρονίμους; — Ἀλκ. Οὕτω. — Σωκ. Οὐκοῦν πρός τι ἀποβλέπων, ἀμφοτέρους; — Ἀλκ. 5 Ναί. — Σωκ. Ἆρ' οὖν τὸν τοιοῦτον συμβουλεύειν εἰδότα, χωρὶς τοῦ πότερον βέλτιον, καὶ ὅτε βέλτιον, φρόνιμον καλεῖς; — Ἀλκ. Οὐ δῆτα. — Σωκ. Οὐδέ γε, οἶμαι, ὅστις τὸ πολεμεῖν αὐτὸ οἶδε, χωρὶς τοῦ ὁπότε βέλτιον, καὶ τοσοῦτον χρόνον ὅσον βέλτιον. Ἢ γάρ; — Ἀλκ. Ναί. — Σωκ. Οὐκοῦν, οὐδὲ εἴτις τινὰ ἀποκτιν- 6 νύναι οἶδεν, οὐδὲ χρήματα ἀφαιρεῖσθαι, καὶ φυγάδα ποιεῖν τῆς πατρίδος, χωρὶς τοῦ ὁπότε βέλτιον, καὶ ὅντινα βέλτιον. — 7 Ἀλκ. Οὐ μέν τοι. — Σωκ. Ὅστις ἄρα τί τῶν τοιούτων οἶδεν, ἐὰν μὲν παρέπηται ἡ τοῦ βελτίστου ἐπιστήμη· αὕτη δ' ἦν ἡ αὐτὴ δή που ἥπερ καὶ ἡ τοῦ ὠφελίμου. Ἢ γάρ; — Ἀλκ. Ναί. — Σωκ. Φρόνιμόν γε αὐτὸν φήσομεν, καὶ ἀποχρῶντα ξύμβουλον καὶ αὐτὸν αὐτῷ καὶ τῇ πόλει· τὸν δὲ μὴ ποιοῦντα, τἀναντία τούτων. Ἢ πῶς δοκεῖ; — Ἀλκ. Ἐμοὶ μὲν οὕτω.

Θ'. Σωκ. Τί δ' εἴ τις ἱππεύειν ἢ τοξεύειν οἶδεν; ἢ αὖ παλαίειν, ἢ πυκτεύειν; ἤ τι τῆς ἄλλης ἀγωνίας, ἢ καὶ ἄλλο τι τῶν τοιούτων ὅσα τέχνῃ οἴδαμεν, τί καλεῖς ὃς ἂν εἰδῇ τὸ κατὰ ταύτην τὴν τέχνην βέλτιον γιγνόμενον; ἆρ' οὐ τὸν κατὰ τὴν ἱππικήν, ἱππικόν; — Ἀλκ. Ἔγωγε. — Σωκ. Τὸν δέ γε, οἶμαι, κατὰ τὴν 2 πυκτικήν, πυκτικόν· τὸν δὲ κατ' αὐλητικήν, αὐλητικόν; καὶ κατ' ἄλλα δή που ἀνάλογον τούτοις· ἢ ἄλλως πως; — Ἀλκ. Οὐκ· 3 ἀλλ' οὕτω. — Σωκ. Δοκεῖ οὖν σοι ἀναγκαῖον εἶναι τὸν περὶ τούτων τι ἐπιστήμονα ὄντα, ἄρα καὶ ἄνδρα φρόνιμον εἶναι; ἢ πολλοῦ φήσομεν ἐνδεῖν; — Ἀλκ. Πολλοῦ μέντοι, νὴ Δία. —Σωκ. 4 Ποίαν οὖν οἴει πολιτείαν εἶναι τοξοτῶν τε ἀγαθῶν καὶ αὐλητῶν, ἔτι δὲ καὶ ἀθλητῶν τε καὶ τῶν ἄλλων τεχνητῶν; ἀναμεμιγμένων δ' ἐν τοιούτοις οἷς ἄρτι εἰρήκαμεν, τῶν τε αὐτὸ τὸ πολεμεῖν εἰδότων καὶ αὐτὸ τὸ ἀποκτιννύναι; πρὸς δέ, καὶ ἀνδρῶν πολιτικῶν, πολιτικὸν φύσημα φυσώντων; ἀπάντων δὲ τούτων ὄντων ἄνευ τῆς τοῦ βελτίστου ἐπιστήμης, καὶ τοῦ εἰδότος ὁπότε βέλτιον ἑνὶ ἑκάστῳ τούτων χρῆσθαι, καὶ πρὸς τίνα; — Ἀλκ. Φαύλην ἔγωγε, ὦ Σώκρατες. — Σωκ. Φαίης γε ἄν, οἶμαι, ὁπό- 5

---

5. Ἆρ' οὖν τὸν τοιοῦτον) Τί δ, τι δηποτοῦν ἀλλ. τοιοῦτον, οἷον οἱ ῥήτορες.

6. Οὐδὲ χρήματα) Οὐδὲ καλεῖς φρόνιμον, εἴτις εἴδεν ἀφαιρεῖσθαι χρήματα καὶ τλ.

Θ'. Ἆρ' οὐ τὸν κατὰ τὴν) οἷον Ἆρ' οὐ καλεῖς τὸν εἰδότα τὸ βέλτιον κατὰ τὴν ἱππικήν, ἱππικόν;

3. Πολλοῦ μέν τοι νὴ Δία) Ὁ ἐστι πολλοῦ δεῖ εἶναι ἄνδρα φρόνιμον τὸν περί τι τῶν εἰρημένων ἐπιστήμονα.

4. Πολιτικὸν φύσημα) Ὅπερ ἐστὶ καυχωμένων ὅτι εἰσὶ πολιτικοί.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ταν ὁρῶς ἕνα ἕκαστον αὐτῶν φιλοτιμούμενόν τε, καὶ νέμοντα τὸ πλεῖστον τῆς πολιτείας τούτῳ μέρος,

Ἵν' αὐτὸς αὑτοῦ τυγχάνῃ κράτιστος ὤν.

(λέγω δὲ τὸ κατ' αὐτὴν τὴν τέχνην βέλτιστον γιγνόμενον) τοῦ δὲ τῇ πόλει τε καὶ αὐτὸν αὑτῷ βελτίστου ὄντος τὰ πολλὰ διημαρτηκότα, ἅτε οἶμαι, ἄνευ νοῦ δόξῃ πεπιστευκότα. Οὕτω δὲ
6 τούτων ἐχόντων, ἆρ' οὐκ ἂν ὀρθῶς λέγοιμεν, φάντες πολλῆς ταραχῆς τε καὶ ἀνομίας μεστὴν εἶναι τὴν τοιαύτην πολιτείαν; —
7 Ἀλκ. Ὀρθῶς μέντοι, νὴ Δία. — Σωκ. Οὐκοῦν ἀναγκαῖον ἐδόκει ἡμῖν εἶναι, οἰηθῆναι δεῖν πρῶτον ἡμᾶς εἰδέναι, ἢ τῷ ὄντι εἰδέναι τοῦτο ὃ ἂν προχείρως μέλλωμεν ἢ πράττειν ἢ λέγειν; — Ἀλκ. Ἐδόκει. — Σωκ. Οὐκοῦν, κἂν μὲν πράττῃ ἅ τις οἶδεν, ἢ δοκεῖ εἰδέναι, παρέπεται δὴ τὸ ὠφελίμως καὶ λυσιτελούντως
8 ἡμᾶς ἕξειν καὶ τῇ πόλει καὶ αὐτὸν αὑτῷ; — Ἀλκ. Πῶς γὰρ οὔ; — Σωκ. Ἐὰν δέ γ', οἶμαι, τἀναντία τούτων, οὔτε τῇ πόλει, οὔτ' αὐτὸν αὑτῷ; — Ἀλκ. Οὐ δῆτα. — Σωκ. Τί δέ; νῦν ἔτι ὡσαύτως σοὶ δοκεῖ, ἢ ἄλλως πως; — Ἀλκ. Οὐκ· ἀλλ' οὕτω. — Σωκ. Ἆρ' οὖν ἔφησθα καλεῖν τοὺς μὲν πολλοὺς ἄφρονας, τοὺς δ' ὀλίγους, φρονίμους; — Ἀλκ. Ἔγωγε. — Σωκ. Οὐκοῦν φαμὲν πάλιν τοὺς πολλοὺς διημαρτηκέναι τοῦ βελτίστου, ὡς τὰ
9 πολλά γε, οἶμαι, ἄνευ νοῦ δόξῃ πεπιστευκότας. — Ἀλκ. Φαμὲν γάρ. — Σωκ. Λυσιτελεῖ ἄρα τοῖς πολλοῖς μήτε εἰδέναι μηδὲν, μήτε οἴεσθαι εἰδέναι· εἴπερ γε μᾶλλον προθυμήσονται μὲν πράττειν ταῦτα ἅτ' ἂν εἰδῶσιν, ἢ οἰηθῶσιν εἰδέναι· πράττοντες δὲ, βλάπτεσθαι τὰ πλείω μᾶλλον ἢ ὠφελεῖσθαι; — Ἀλκ. Ἀληθέστατα λέγεις.

ι. Σωκ. Ὁρᾷς οὖν, ὅτε γ' ἔφην, κινδυνεύει τόγε τῶν ἄλλων ἐπιστημῶν κτῆμα, ἐάν τις ἄνευ τῆς τοῦ βελτίστου ἐπιστήμης κεκτημένος ᾖ, ὀλιγάκις μὲν ὠφελεῖν, βλάπτειν δὲ τὰ πλείω τὸν ἔχοντα αὐτό, ἆρ' οὐχὶ τῷ ὄντι ὀρθῶς ἐραινόμην λέγων; — Ἀλκ. Καὶ εἰ μή τότε, ἀλλὰ νῦν μοι δοκεῖ, ὦ Σώκρατες. —
2 Σωκ. Δεῖ ἄρα καὶ πόλιν καὶ ψυχὴν τὴν μέλλουσαν ὀρθῶς βιώσεσθαι, ταύτης τῆς ἐπιστήμης ἀντέχεσθαι ἀτεχνῶς, ὥσπερ ἀσθε-

---

5. Τούτῳ μέρος) Καὶ νέμει τὸ πλεῖστον μέρος τῆς πολιτείας τούτῳ τῷ ἕξῃ· ἵν' αὐτὸς, καὶ τλ.

— Λέγω δὲ) Τοῦτ' ἔστιν· ὁπότε ὁρῶς ἕνα ἕκαστον γιγνόμενον βέλτιστον τὸ κατ' αὐτὴν· καὶ τλ. Ἀττικῶν δὲ, τὸ κατ' αὐτὴν τὴν τέχνην, τοῦ ἄρθρου παρακληρούντος.

— Καὶ αὐτὸν αὑτῷ) Τὸ Αὐτὸν κατ' ἰδιωτισμὸν Πλάτωνος λέγεται ἔμφασιν τοῦ λόγου ποιοῦν· ἵν' ἢ Διημαρτηκότα δὲ τοῦ βελτίστου ὄντος τῇ τε πόλει καὶ ἑαυτῷ ἕκαστον διημαρτηκότα τοῦ· καὶ τλ.

7. Καὶ αὑτὸν αὑτῷ) Καὶ ἑαυτῷ ἕκαστον ἕξειν καὶ τλ.

8. Οὐ δῆτα) Οὐ παρέπεται τὸ ὠφελίμως καὶ τλ.

— Δόξῃ ἄνευ νοῦ) Δόξῃ ἄφρονος· ὅ ἐστι χωρὶς φρονήσεως.

ι. 2. Καὶ πόλιν καὶ ψυχὴν) καὶ πόλιν ὅλη· καὶ καθ' ἕνα ἕκαστον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νοῦντα ἰατροῦ, ἢ τινος κυβερνήτου τὸν ἀσφαλῶς μέλλοντα πλεῖν. Ὅσωπερ ἂν μὴ πρότερον ἐπουρίσῃ τὸ τῆς ψυχῆς. Ἄνευ γὰρ ταύτης, ἢ περὶ χρημάτων κτῆσιν, ἢ σώματος ῥώμην, ἢ καὶ ἄλλο τι τῶν τοιούτων, τοσούτῳ μείζω ἁμαρτήματα ἀπ' αὐτῶν ἀναγκαῖόν ἐστιν, ὡς ἔοικε, γίγνεσθαι. Ὁ δὲ δὴ τὴν καλουμένην πο- 3
λυμάθειάν τε καὶ πολυτεχνίαν κεκτημένος, ὀρφανὸς δὲ ὢν ταύτης τῆς ἐπιστήμης, ἀγόμενος δὲ ὑπὸ μιᾶς ἑκάστης τῶν ἄλλων, ἆρ' οὐχὶ τῷ ὄντι δικαίως πολλῷ χειμῶνι χρήσεται; ἄτ' οἶμαι, ἄνευ κυβερνήτου διατελῶν ἐν πελάγει, χρόνον οὐ μακρὸν βίον θεῶν. Ὥστε ξυμβαίνειν μοι δοκεῖ καὶ ἐνταῦθα τὸ τοῦ ποιητοῦ, ὃ λέγει 4
κατηγορῶν που τινός, ὡς ἄρα πολλὰ μὲν ἠπίστατο ἔργα, κακῶς δὲ, φησίν, ἠπίστατο πάντα. — Ἀλκ. Καὶ τί δή ποτε ξυμβαίνει τὸ τοῦ ποιητοῦ, ὦ Σώκρατες; ἐμοὶ μὲν γὰρ οὐδ' ὁτιοῦν δοκεῖ πρὸς λόγον εἰρηκέναι. — Σωκ. Καὶ μάλα γε πρὸς λόγον· ἀλλ' αἰνίτ- 5
τεται, ὦ βέλτιστε, καὶ οὗτος, καὶ οἱ ἄλλοι δὲ ποιηταὶ σχεδόν τι πάντες. Ἔστι τε φύσει ποιητικὴ ἡ σύμπασα αἰνιγματώδης, καὶ οὐ τοῦ προστυχόντος ἀνδρὸς γνωρίσαι. Ἔτι δὲ πρὸς τῷ 6
φύσει τοιαύτη εἶναι, ὅταν λάβῃται ἀνδρὸς φθονεροῦ τε καὶ μὴ βουλομένου ἡμῖν ἐνδείκνυσθαι, ἀλλ' ἀποκρύπτεσθαι ὅτι μάλιστα τὴν αὑτοῦ σοφίαν, ὑπερφυῶς δὴ τὸ χρῆμα ὡς δύσγνωστον φαίνεται, ὅ,τι ποτὲ νοοῦσιν ἕκαστος αὐτῶν. Οὐ γὰρ δή που Ὁμη- 7
ρόν γε, τὸν σοφώτατόν τε καὶ θειότατον ποιητὴν, ἀγνοεῖν δοκεῖς ὅτι οὐχ οἷόν τε ἦν ἐπίστασθαι κακῶς. Ἐκεῖνος γάρ ἐστιν ὁ λέγων τὸν Μαργίτην πολλὰ μὲν ἐπίστασθαι, κακῶς δὲ, φησὶ, πάντα ἐπίστασθαι. Ἀλλ' αἰνίττεται, οἶμαι, παράγων τὸ κακῶς μὲν, ἀντὶ τοῦ κακοῦ· τὸ δὲ ἠπίστατο, ἀντὶ τοῦ ἐπίστασθαι. Γίγνεται οὖν συντεθὲν ἔξω μὲν τοῦ μέτρου, ἔστι δ' ὅ,τι 8

— Τὸ τῆς ψυχῆς) Ἀντὶ ἡ ψυχή. Τὸ δέ γε Ἐπουρίζειν κυρίως μὲν ἐπὶ ἀνέμου, ὁπότε αἰσίως πνεῖ, λέγεται δὲ καὶ περὶ ψυχῆς καὶ τῶν ἐπιθυμιῶν αὐτῆς· ὅταν ὠσεὶ ἀνέμῳ σφοδρῷ καὶ οὐρίῳ τὸν ἄνθρωπον ἐπὶ ἄλλο φέρουσί τι ὁ νοῦς. Ἄρα ἐν ὅσῳ ἂν ἡ ψυχὴ μὴ ἀχθῇ ἐπ' ἄλλο ἐκθιάσθεῖσα ὑπό τινος φυσήματος.

— Ἄνευ γὰρ ταύτης) Τῆς ἐπιστήμης δηλ.

— Τοσούτῳ μείζ.) Ἀντὶ πολλῷ μείζω.

3. Βίον θεῶν) Ὁρῶν δηλ. τὸν βίον ὀλιγοχρόνιον καὶ ἐν κινδύνῳ ἀεὶ ὄντα· καὶ ταῦτα διὰ τὴν τοῦ χειμῶνος μεσαφορά.

4. Τὸ τοῦ ποιητοῦ) Ὁμήρου Μαργίτου κατηγοροῦντος· ἐν Ἀποσπμ. στίχ. 159. οὕτω λέγων·

Πόλλ' ἠπίστατο ἔργα, κακῶς δ' ἠπίστατο πάντα.

5. Τοιαύτη εἶν.) Ὀνομαστικῇ ἀντὶ αἰτιατικῆς ἐχρήσατο, οἶμαι, διὰ τὴν ἐπαγομένην ἀνάλυσιν. Ὅταν λάβηται.

— Ὡς δύσγνωστον) Τὸ Ὡς ἐπιτατικῶς λέγεται· ἐν' ἦ. Τὸ χρῆμα τοῦτο ἡ ποιητικὴ ὑπερβαλλόντως λίαν φαίνεται δύσγνωστον· ὅ,τι ποτέ ἐστιν, ὃ νοοῦσιν οἱ ποιηταί.

7. Ἀγνοεῖν δοκεῖς) Οὐ νομίζεις ὅ,τι ἠγνόει Ὅμηρος ὅτι οὐκ ἔστι δυνατὸν ἐπίστασθαι κακῶς λέγων ὅτι ὁ Μαργίτης ἠπίστατο μὲν πολλὰ, κακῶς δὲ ἠπίστατο πάντα. Ἀλλ' ἐννόει ὅτι πολλὰ μὲν ἠπίστατο ἔργα, κακὸν δὲ ἦν αὐτῷ τὰ πολλὰ εἰδέναι.

— Παράγων) Μεταλαμβάνων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

βούλεται, ὡς πολλὰ μὲν ἠπίστατο ἔργα, κακὸν δὲ ἦν αὐτῷ ἐπίστασθαι ταῦτα πάντα. Δῆλον οὖν ὅτι εἴπερ ἦν αὐτῷ κακὸν τὸ πολλὰ εἰδέναι, φαῦλός τις ὢν ἐτύγχανεν· εἴπερ γε πιστεύειν δὲ τοῖς προειρημένοις λόγοις. — Ἀλκ. Ἀλλ' ἔμοιγε δοκεῖ, ὦ Σώκρατες. Ἦ χαλεπῶς γ' ἂν ἄλλοις τισὶ πιστεύσαιμι λόγοις, εἴπερ μηδὲ τούτοις.

ιά. Σωκ. Καὶ ὀρθῶς γέ σοι δοκεῖ. Ἀλλὰ φέρε πρὸς Διός. Ὁρᾷς γὰρ δή που τὴν ἀπορίαν ὅση τε καὶ οἵα· ταύτης δέομαι δοκεῖς καὶ σὺ κεκοινωνηκέναι· μεταβαλλόμενος γέ τοι ἄνω καὶ κάτω οὐδ' ὁτιοῦν παύῃ, ἀλλ' ὅπερ ἂν μάλιστά σοι δόξῃ, τοῦτο
2 καὶ ἐκδεδυκέναι αὖ, καὶ οὐκέτι ὁσαοῦτος δοκεῖν. Εἰ οὖν σοί γέ τι καὶ νῦν ἐμφανὴς γενόμενος ὁ Θεός, πρὸς ὃν τυγχάνεις πορευόμενος, ἐρωτήσειε, πρὶν ὁτιοῦν εὔξασθαί σε, εἰ ἐξαρκέσει σοι ἐκείνων τί γενέσθαι, ὧν περ καὶ ἐν ἀρχῇ ἐλέγετο, εἴτε καὶ αὐτῷ σοι ἐπιτρέψειεν εὔξασθαι, τί ποτ' ἂν οἶει ἢ τῶν παρ' ἐκείνου διδομένων λαμβάνων, ἢ αὐτὸς εὐξάμενος γενέσθαι, τοῦ καιροῦ τυ-
3 χεῖν; — Ἀλκ. Ἀλλά, μὰ τοὺς Θεούς, ἐγὼ μὲν οὐδὲν ἂν ἔχοιμι σοὶ εἰπεῖν, ὦ Σώκρατες· ἀλλὰ μάργον τί μοι δοκεῖ εἶναι, καὶ ὡς ἀληθῶς πολλῆς φυλακῆς, ὅπως μὴ λήσῃ τὶς αὐτὸν εὐχόμενος μὲν κακά, δοκῶν δὲ ἀγαθά· ἔπειτ' ἐλίγου ἐπιτυχών, (ὅπερ καὶ σὺ ἔλε-
4 γες) παλινῳδῇ, ἀνευχόμενος ἅττα τὸ πρώτον εὔξηται.—Σωκ. Ἆρ' οὖν οὐχὶ εἰδώς τι πλεῖον ἡμῶν ὁ ποιητής, οὗ καὶ ἐν ἀρχῇ τοῦ λόγου ἐπεμνήσθην, τὰ δεινὰ καὶ εὐχομένοις ἀπαλέξειν ἐκέλευσεν;— Ἀλκ.
5 Ἔμοιγε μέν τοι δοκεῖ.—Σωκ. Τοῦτον μὲν τοίνυν, ὦ Ἀλκιβιάδη, καὶ Λακεδαιμόνιοι τὸν ποιητὴν ἐζηλωκότες, εἴτε καὶ αὐτοὶ οὕτως ἐπεσκεμμένοι, καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἑκάστοτε παραπλησίαν εὐχὴν εὔχονται, τὰ καλὰ ἐπὶ τοῖς ἀγαθοῖς τοὺς Θεοὺς διδόναι κελεύοντες αὐ σφίσιν αὐτοῖς. Πλεῖον δ' οὐδεὶς ἂν ἐκείνων εὐξαμένων ἀ-
6 κούσειε. Τοιγαροῦν εἰς τὸ παρὸν τοῦ χρόνου καὶ οὐδένων ἧττον εὐτυχεῖς εἰσιν ἄνθρωποι. Εἰ δ' ἄρα καὶ συμβέβηκεν αὐτοῖς ὥστε

ιά. Ταύτης δὲ) Τῆς ἀπορίας δηλ.

— Τουτο καὶ ἐ δεδυκ.) ὅτι ἐξέδυς τοῦτο. Τὸ δ' Ἐνδεδυκέναι καὶ Δοκεῖν ἐξαρτᾶται ἀπὸ τοῦ Παύῃ· οὐ ᾖ. Τοῦτο οὐ παύῃ ἐκδεδυκ. καὶ τλ.

2. Τί ποτ ἂν οἶει) Τί ποτε νομίζεις ὅτι ἐτυχῆς τοῦ καιροῦ, ἢ τῶν παρὰ τοῦ Θεοῦ καὶ τλ

3. Ἀλλὰ μάργον τι) Ἀνέητον καὶ παραφρονοῦν.

— Παλινῳδῇ) Ἀπὸ τοῦ Ὅπως μή.

— Εὔξηται) Οἷον ὅσα καὶ ἂν εὐχηθῇ.

5. Τὰ καλὰ ἐπὶ τοῖς ἀγαθοῖς) Κελεύοντες τοὺς Θεοὺς διδόναι αὐτοῖς σφίσι τα καλὰ ἐπὶ τοῖς ἀγαθοῖς ὅλεο ἔστιν· εἰ οἱ Θεοὶ δώσουν αὐτοῖς τὰ καλὰ οὐχ ἁπλῶς ἀλλ' ἀποβαίνοντα εἰς ἀγαθὸν τέλος.

6. Εἰς, τὸ παρὸν) Ὅ ἐστιν, εἰς τὸν προσήκοντα χρόνον. Σύνηθες δὲ τοῦτο παρ' Ἕλλησι τὸ οὐτωστινὸν εἰς γενικὴν μετάβαλλειν, τοῦ ἐπιθέτου μένοντος εἰς τὴν ἀπαιτουμένην πτῶσιν ἐν τῇ συντάξει.

— Οὐδένων) Οὐδείς. Ἔστι δ' ὅτε καὶ πληθυντικῶς εὑρίσκεται. Οὐδένες, οὐδένων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὴ πάντα εὐτυγεῖν, ἀλλ' οὐ διὰ τὴν ἐκείνων εὐχήν· ἐπὶ τοῖς θεοῖς δ' ἐστίν, οἶμαι, ὥστε καὶ διδόναι ἅττ' ἄν τις εὐχόμενος τυγχάνῃ, καὶ τἀναντία τούτων.

ιδ'. Βούλομαι δὲ σοι καὶ ἕτερόν τι διηγήσασθαι, ὅ ποτε ἤκουσα πρεσβυτέρων τινῶν· ὡς Ἀθηναίοις καὶ Λακεδαιμονίοις διαφορὰς γενομένης, συνέβαινεν ἀεὶ τῇ πόλει ἡμῶν ὥστε καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ὁπόταν μάχη γένοιτο, δυστυχεῖν, καὶ μηδέ ποτε δύνασθαι κρατῆσαι. Τοὺς οὖν Ἀθηναίους 2
ἀγανακτοῦντας τῷ πράγματι, καὶ ἀπορουμένους τίνι χρὴ μηχανῇ τῶν παρόντων κακῶν ἀποτροπὴν εὑρεῖν, βουλευομένοις αὐτοῖς δοκεῖν κράτιστον εἶναι, πέμψαντας πρὸς Ἄμμωνα, ἐκεῖνον ἐπερωτᾶν· ἔτι δὲ πρὸς τούτοις τάδε, καὶ ἀνθ' ὅτου ποτὲ Λα- 3
κεδαιμονίοις οἱ θεοὶ μᾶλλον νίκην διδόασιν ἢ σφίσιν αὐτοῖς· οἳ πλείστας, φάναι, μὲν θυσίας καὶ κάλλιστας τῶν Ἑλλήνων ἄγομεν, ἀναθήμασί τε κεκοσμήκαμεν τὰ ἱερὰ αὐτῶν, ὡς οὐδένες ἄλλοι· πομπάς τε πολυτελεστάτας καὶ σεμνοτάτας ἑορτάζομεν τοῖς θεοῖς ἀν' ἕκαστον ἔτος, καὶ ἐτελοῦμεν χρήματα, ὅσα οὐδ' οἱ ἄλλοι ξύμπαντες Ἕλληνες. Λακεδαιμονίοις δὲ, φάναι, 4
οὐδέπωτ' ἐμέλησεν οὐδὲν τούτων· ἀλλ' οὕτως ὀλιγώρως διάκειται πρὸς τοὺς θεοὺς, ὥστε καὶ ἀνάπηρα θύουσιν ἑκάστοτε, καὶ τἄλλα πάντα οὐκ ὀλίγῳ ἐνδεεστέρως τιμῶσιν ἤπερ ἡμεῖς, οὐδὲν ἐλάττω χρήματα κεκτημένοι τῆς ἡμετέρας πόλεως. Ἐ- 5
πεδὴ εἰρηκέναι ταῦτά τε, καὶ ἐπερωτῆσαι τί χρὴ πράττοντας αὐτοὺς τῶν παρόντων κακῶν ἀπαλλαγὴν εὑρεῖν, ἄλλο μὲν οὐδὲν ἀποκριθῆναι τὸν προφήτην, (τὸν γὰρ θεὸν οὐκ ἐᾶν δηλοῦν·τι) καλέσαντα δὲ αὐτὸν, Ἀθηναίοις, φάναι, τάδε λέγει Ἄμ-

— Ὥστε) Τὸ ὥστε παρέλκει. Τίνεται δὲ πολλάκις τοῦτό τε καὶ τὰ παραπλήσια ἐπὶ τὸ ταχέστερον ἐκφράζουσι.

(δ'. Πρεσβυτέρων τινῶν) λεγόντων δηλ. καὶ διηγουμένων ὅθεν τὸ Ὁ πρὸς τὸ τοιοῦτον ἐνοφούμενον ῥέρεται.

2. Τοὺς οὖν Ἀθην.) Ἐννοεῖται ἀπὸ κοινοῦ τὸ συνέβη. Ἤτοι ἐλέγετο, ἢ ἔφασαν οἱ πρεσβύτεροι δηλ. ἢ καὶ ἐδιηγοῦντο. Ἡ δὲ αἰτιατικὴ τοὺς Ἀθηναίους ἀγανακτοῦντας ἀποδοθήτω πρὸς τὸ Ἐπερωτᾷν ἐκ πρώτου ἀπαρεμφατικῶς· καί τοι κοινὸς τὸ δοκεῖν ἔχοῃ, καὶ κατὰ δοτικὴν ἐξενεχθήναι. Ἀλλ' ἐξενεγκὼν κατ' αἰτιατικὴν, ἀναγκαῖον ὂν, ἐπειδὴ ἔμελλεν ἀπαρέμφατον ἀκολουθήσειν αὐτῇ διὰ τὸ ἐννοούμενον, ὡς εἴρηται διηγματικὸν ῥῆμα· εἶπα, ὥσπερ ἐπιλαθόμενος τούτου, τὸ μὲν ἀπαρέμφατον πρὸς τὸ ἀπρόσωπον δοτικὴν ἀπαιτοῦν ἐπέφερε, τὴν δ' αἰτιατικὴν ἀκατάπροστον εἴασεν. Ἔστι δ' εὑρεῖν πολλὰ τοιαῦτα παρ' Ἕλλησιν, οὐκ ἀγνοοῦσι μὲν, τὸ δὲ φύσει φυλάττουσιν· Ἐν γὰρ τῷ λαλεῖν πολλὰ τοιαῦτα συμβαίνει διὰ τὸ ἀπερίσκεπτον ἐν ἑκάστῃ γλώσσῃ. Ὁ δὲ νοῦς. Διηγοῦντο οὖν οἱ πρεσβύτερει ὅτι οἱ Ἀθηναῖοι ἠγανάκτουν ἐπὶ τῷ πράγματι, καὶ ἠποροῦντο, ὅπως ἂν εὕρωιεν λύσιν τῶν παρόντων κακῶν, καὶ βουλομένοις αὐτοῖς ἐπὶ τούτῳ ἔδοξεν ὅτι ἐστὶ κράτιστον ἵνα πέμψωσι πρὸς Ἄμμων, καὶ ἐπερωτήσωσι κἀκεῖνον.

3. Ἔτι δὲ πρὸς τούτοις τάδε) Ἐπερωτᾷν δηλ.

— Φάναι) Ἀπὸ τοῦ Διηγοῦντο· οὕτω καὶ περὶ τῶν ἑξῆς ἀπαρεμφάτων.

5. Τὸν γὰρ θεὸν) Οὐ γὰρ εἶα αὐτὸν ὁ θεὸς ἀποκρίνασθαι ἄλλο.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μων· φησὶν ἂν βούλεσθαι αὐτῷ τὴν Λακεδαιμονίων εὐφημίαν
6 εἶναι μᾶλλον, ἢ τὰ σύμπαντα τῶν Ἑλλήνων ἱερά. Τοσαῦτα εἰπεῖν, οὐκέτι περαιτέρω. Τὴν γοῦν εὐφημίαν οὐκ ἄλλην τινὰ μοὶ δοκεῖ λέγειν ὁ Θεός, ἢ τὴν εὐχὴν αὐτῶν. Ἔστι γὰρ τῷ ὄντι πολὺ διαφέρουσα τῶν ἄλλων. Οἱ μὲν γὰρ ἄλλοι Ἕλληνες, οἱ μὲν χρυσόκερως βοῦς παραστησάμενοι, ἕτεροι δ' ἀναθήμασι δωροῦμενοι τοὺς θεοὺς, εὔχονται ἅττ' ἂν τύχῃ ταῦτα, ἐάν τε
7 ἀγαθά, ἐάν τε κακά. Βλασφημούντων οὖν αὐτῶν ἀκούοντες οἱ θεοὶ, οὐκ ἀποδέχονται τὰς πολυτελεῖς ταύτας πομπάς τε καὶ θυσίας. Ἀλλὰ δοκεῖ μοι πολλῆς φυλακῆς δεῖσθαι καὶ σκέψεως, ὅ,τι ποτὲ ῥητέον ἐστὶ καὶ μή.

ιγ'. Εὑρήσεις δὲ καὶ παρ' Ὁμήρῳ ἕτερα παραπλήσια τούτοις εἰρημένα. Φησὶ γὰρ τοὺς Τρῶας ἔπαυλιν ποιουμένους,

Ἔρδειν ἀθανάτοισι τελειέσσας ἑκατόμβας·
τὴν δὲ κνίσσαν ἐκ τοῦ πεδίου τοὺς ἀνέμους φέρειν
— οὐρὰν εἴσω,
Ἡδεῖαν· τῆς δ' οὔτι θεοὺς μάκαρας δατέεσθαι,
Οὐδ' ἐθέλειν. Μάλα γὰρ σφιν ἀπήχθετο Ἴλιος ἱρὴ,
Καὶ Πρίαμος, καὶ λαὸς ἐυμμελίω Πριάμοιο.

2 Ὥστε οὐδὲν αὐτοῖς προὔργου ἦν θύειν τε καὶ δῶρα τελεῖν μάτην, θεοῖς ἀπεχθημένους. Οὐ γὰρ, οἶμαι, τοιοῦτόν ἐστι τὸ τῶν θεῶν, ὥς τε ὑπὸ δώρων παράγεσθαι, οἷον κακὸν τοκιστήν. Ἀλλὰ καὶ ἡμεῖς εὐήθη λόγον λέγομεν, ἀξιοῦντες Λακεδαιμονίων ταύτῃ πε-
3 ριεῖναι. Καὶ γὰρ ἂν δεινὸν εἴη εἰ πρὸς τὰ δῶρα καὶ τὰς θυσίας ἀποβλέπουσιν ἡμῶν οἱ θεοὶ, ἀλλὰ μὴ πρὸς τὴν ψυχὴν, ἂν τις ὅσιος καὶ δίκαιος ὢν τυγχάνῃ. Πολλῷ μᾶλλον, οἶμαι, ἢ πρὸς τὰς πολυτελεῖς ταύτας πομπάς τε καὶ θυσίας· ἃς οὐδὲν κωλύει πολλὰ μὲν εἰς θεοὺς, πολλὰ δ' εἰς ἀνθρώπους ἡμαρτηκότας, καὶ ἰδιώτην καὶ πόλιν, ἔχειν ἂν ἕκαστον ἔτος τελεῖν. Οἱ δὲ, ἅτε οὐ δωροδόκοι ὄντες, καταφρονοῦσιν ἁπάντων τούτων, ὥς φη-
4 σιν ὁ θεὸς, καὶ θεῶν προφήτης. Κινδυνεύει γοῦν καὶ παρὰ θεοῖς

6. Ἅττα ἂν τύχ.) Ὅσα ἂν τύχωσι, χωρὶς προμελέτης καὶ φρονήσεως.

7. Ὅ,τι ποτὲ ῥητέον ἐστί) Τί χρὴ ζητεῖν καὶ μὴ, παρὰ θεῶν.

ιγ'. Φησὶ γὰρ) Ὅμηρ. Ἀπόσπαμ. στιχ. 24 . . . 27. καὶ ἐν Ἰλιαδ. Θ'. στίχ. 548. 552.

2. Προὔργ.) Πρὸ ἔργου· ἀναγκαῖον δηλ.

— Ἀπεχθημ.) Μετὰ ἀπαρέμφατον αἰτιατικὴ τίθεται, καί τοι τὸ αὐτοῖς κατὰ δοτικήν.

— Ταύτῃ περιεῖν.) Ὅτι διὰ τοῦτο περιεγένοντο.

3. Πολλῷ μᾶλλον, οἶμαι) Ὅτι οἱ θεοὶ ἀποβλέπουσι πρὸς τὴν ψυχήν.

— Ἡμαρτηκότας, καὶ ἰδιώτην καὶ πόλιν) Ἡ μετοχὴ οὐ μόνον διὰ τὸ ἐπικρατέστερον τοῦ ἰδιώτην, ἀλλὰ καὶ διὰ τὴν δύναμιν τοῦ Πόλιν πληθυντικῶς ἐν ἀρσενικῷ ἐξηνέχθη γένει.

— Ὡς φησιν ὁ θεὸς) Ἄμμων προφήτης ὢν παντων τῶν Θεῶν. Ἄμμων γάρ ἐστιν ὁ Ζεύς. Ζεὺς δὲ ἐστὶ πατὴρ ἀνδρῶν τε θεῶν τε· διὰ τοῦτο καὶ προφήτης.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ παρ' ἀνθρώποις τοῖς νοῦν ἔχουσι δικαιοσύνη τε καὶ φρόνησις διαφερόντως τετιμῆσθαι. Φρόνιμοι δὲ καὶ δίκαιοι, οὐκ ἄλλοι τινές εἰσιν ἢ τῶν εἰδότων ἃ δεῖ πράττειν καὶ λέγειν, καὶ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους. Βουλοίμην δ' ἂν καὶ σοῦ πυ- 5
θέσθαι ὅ,τι ποτὲ ἐν νῷ ἔχεις πρὸς ταῦτα. — Ἀλκ. Ἀλλ' ἐμοί μέν, ὦ Σώκρατες, οὐκ ἄλλη πη δοκεῖ ἢ ἥπερ σοί τε καὶ τῷ θεῷ. Οὐδὲ γὰρ ἂν εἰκὸς εἴη ἀντίψηφον ἐμὲ τῷ θεῷ γίγνεσθαι. — Σωκ. Οὐκοῦν μέμνησαι ἐν πολλῇ ἀπορίᾳ φάσκων εἶναι, ὅπως 6
μὴ λάθῃς σεαυτὸν εὐχόμενος κακά, δοκῶν δὲ ἀγαθά; — Ἀλκ. Ἔγωγε. — Σωκ. Ὁρᾷς οὖν ὡς οὐκ ἀσφαλές σοι ἐστὶν ἐλθεῖν πρὸς τὸν θεὸν εὐξομένῳ, ἵνα μηδ' ἂν οὕτω τύχῃ, βλασφημοῦντός σου ἀκούων, οὐθὲν ἀποδέξηται τῆς θυσίας ταύτης· τυχὸν δὲ καὶ ἕτερόν τι προσαπολούσῃς. Ἐμοὶ μὲν οὖν δοκεῖ κράτιστον 7
εἶναι ἡσυχίαν ἔχειν. Τῇ μὲν γὰρ Λακεδαιμονίων εὐχῇ, διὰ τὴν μεγαλοψυχίαν (τοῦτο γὰρ κάλλιστον τῶν ἐν ἀφροσύνῃ γε ὀνομάτων) οὐκ ἂν εἴμαί σε ἐθέλειν χρῆσθαι. Ἀναγκαῖον οὖν ἐστι περιμένειν ἕως ἄν τις μάθῃ ὡς δεῖ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους διακεῖσθαι.

ιδ'. Ἀλκ. Πότε οὖν παρέσται ὁ χρόνος οὗτος, ὦ Σώκρατες; καὶ τίς ὁ παιδεύσων; ἥδιστα γὰρ ἄν μοι δοκῶ ἰδεῖν τοῦτον τὸν ἄνθρωπον τίς ἐστιν. — Σωκ. Οὗτός ἐστιν ᾧ μέλει περὶ σοῦ. 2
Ἀλλὰ δοκεῖ μοι, ὥσπερ τῷ Διομήδει φησὶ τὴν Ἀθηνᾶν Ὅμηρος ἀπὸ τῶν ὀφθαλμῶν ἀφελεῖν τὴν ἀχλύν,

Ὄφρ' εὖ γιγνώσκοι ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα,

οὕτω καὶ σοῦ δεῖν ἀπὸ τῆς ψυχῆς πρῶτον ἀφελόντα τὴν ἀχλύν, ἣ νῦν παροῦσα τυγχάνει, τοτηνικαῦτ' ἤδη προσφέρειν δι' ὧν μέλλεις γνώσεσθαι ἡμὲν κακὸν ἠδὲ καὶ ἐσθλόν. Νῦν μὲν γὰρ οὐκ ἄν μοι δοκῇς δυνηθῆναι. — Ἀλκ. Ἀφαιρείτω, εἴτε βού- 3
λεται, τὴν ἀχλύν, εἴτε ἄλλο τι· ὡς ἐγὼ παρεσκεύασμαι μηδὲν ἂν φεύγειν τῶν ὑπ' ἐκείνου προσταττομένων, ὅστις ποτ' ἐστὶν ὁ ἄνθρωπος· εἴγε μέλλοιμι βελτίων γενέσθαι. — Σωκ. Ἀλλὰ μὴν 4
κἀκεῖνος θαυμαστὴν ὅσην περί σε προθυμίαν ἔχει. — Ἀλκ. Εἰς τότε τοίνυν καὶ τὴν θυσίαν ἀναβάλλεσθαι κράτιστον εἶναί μοι δοκεῖ. — Σωκ. Καὶ ὀρθῶς γε σοί δοκεῖ. Ἀσφαλέστερον γάρ 5

---

4. Ἢ τῶν εἰδότ.) Ἐκεῖνοι τῶν εἰδ.
6. Οὕτω τύχῃ) Ὁ Θεός.
7. Διὰ τὴν μεγαλ.) Ἔφη γὰρ πρότερον ὅτι τὴν εὐήθειαν καὶ μεγαλοψυχίαν καλοῦσιν· ὅρα γ'. 10.

ιδ'. Ὁ χρόνος οὗτος) Καθ' ὃν ἂν μάθῃ τις, ὡς δεῖ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους διακεῖσθαι.
— Ὦ μέλει περὶ σοῦ) Ὥπερ ἐστὶ φροντὶς καὶ μέλησις περὶ σοῦ· ὁ φροντίζων δηλ. περὶ σοῦ. Ἐνταῦθα δοκεῖ ἑαυτὸν ἐννοεῖν ὁ Σωκράτης.

2. Τὴν ἀχλύν) Ὅμηρ. Ἰλιάδ. Ε. στίχ. 128.
— Οὕτω καὶ σοῦ δεῖν) Ἐννοεῖται τὸ Φημί.
— Ἠμὲν κακ.) Ἀντὶ καὶ τὸν ἀγαθὸν καὶ τὸν κακόν· ποιητικὰ γὰρ τὸ Ἠμὲν, Ἠδὲ ἀντὶ τοῦ Μὲν, Δέ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐστιν ἡ παρακινδυνεύειν τοσοῦτον κίνδυνον. — Ἀλκ. Ἀλλὰ πῶς, ὦ Σώκρατες; καὶ μὴν τουτονὶ τὸν στέφανον, ἐπειδή μοι δοκεῖς καλῶς συμβεβουλευκέναι, σοὶ περιθήσω· τοῖς θεοῖς δὲ καὶ στεφάνους καὶ τἆλλα πάντα τὰ νομιζόμενα τότε δώσομεν, ὅταν ἐκείνην τὴν ἡμέραν ἐλθοῦσαν ἴδω. Ἥξει δ' οὐ διὰ μακροῦ, τού-
6 των θελόντων. — Σωκ. Ἀλλὰ δέχομαι καὶ τοῦτο, καὶ ἄλλο δὲ ἄντι τῶν παρὰ σοῦ δοθέντων ἤδεως ἴδοιμι δεξάμενον ἐμαυτόν. Ὥσπερ δὲ καὶ ὁ Κρέων Εὐριπίδῃ πεποίηται τὸν Τειρεσίαν ἰδὼν ἔχοντα τὰ στέφη, καὶ ἀκούσας ἀπὸ τῶν πολεμίων ἀπαρχὰς αὐτὸν εἰληφέναι, διὰ τὴν τέχνην, «Οὐκοῦν εὔξομαι, φησί, καλλίνικα στέφη.» Ἐν γὰρ κλύδωνι διακειμεθα, ὥσπερ οἶσθα σύ· οὗτω δὲ κἀγὼ παρὰ σοῦ τὴν δόξαν ταύτην οἰκεῖν τίθεμαι. Δοκῶ δέ μοι σὺν ἐν ἐλάττονι κλύδωνι τοῦ Κρέοντος εἶναι, καὶ βουλοίμην ἂν καλλίνικος γενέσθαι τῶν σῶν ἐραστῶν.

Ε'. ΜΕΝΕΞΕΝΟΣ, Η ΕΠΙΤΑΦΙΟΣ (*).

ά. Ἐξ ἀγορᾶς, ἡ πόθεν Μενέξενος; — Μεν. Ἐξ ἀγορᾶς, ὦ
2 Σώκρατες, καὶ ἀπὸ τοῦ βουλευτηρίου. — Σωκ. Τί μάλιστα σὺ πρὸς βουλευτήριον; ἢ δηλαδὴ ὅτι παιδεύσεως καὶ φιλοσοφίας ἐπὶ τέλει ἡγῇ εἶναι; καὶ ὡς ἱκανὸς ἤδη ἔχων, ἐπὶ τὰ μείζω ἐπινοεῖς τρέπεσθαι; καὶ ἄρχειν ἡμῶν, ὦ θαυμάσιε, ἐπιχειρεῖς τῶν πρεσβυτέρων, τηλικοῦτος ὤν; ἵνα μὴ ἐλλίπῃ ὑμῶν ἡ οἰκία
3 ἀεί τινα ἡμῶν ἐπιμελητὴν περιεχομένη; — Μεν. Ἐὰν σύγε, ὦ Σώκρατες, ἐᾷς καὶ συμβελεύῃ ἄρχειν, προθυμήσομαι εἰδὲ μή, οὔ. Νῦν μέντοι ἀφικόμην πρὸς τὸ βουλευτήριον, πυθόμενος ὅτι
4 ἡ βουλὴ μέλλει αἱρεῖσθαι ὅς τις ἐρεῖ ἐπὶ τοῖς ἀποθανοῦσι. Τα-

---

5. Ἀλλὰ πῶς) Δοκεῖ σοι. Καὶ γὰρ αἰτιολογικὸς ὁ Καὶ μήν.

— Οὐ διὰ μακροῦ) Χρόνου δηλ. διὰ βραχέος ἥξει χρόνου ἐκείνη ἡ ἡμέρα, ἐὰν οἱ θεοὶ θέλωσιν.

6. Καὶ ὁ Κρέων) Εὐριπίδ. φαίνετ στίχ. 865.

(*) Περίτυστος ὁ διάλογος οὗτος. Διονύσιος γὰρ ὁ Ἁλικαρνασσεὺς φησί. Κράτιστος πάντων τῶν πολιτικῶν λόγων, ὁ Μενέξενος, ἐν ᾧ τὸν ἐπιτάφιον διεξέρχεται λόγον· ἐν τῷ περὶ Δημοσθ. καὶ Πλούταρχ. ἐν τῷ Περικλ. Ἀριστοτ. Ῥητορ Γ'. ιδ'. Λοΐγίν. τμῆμ. κή. καὶ συχνοὶ ἄλλοι. Ἐκλήθη δὲ Μενέξενος μὲν, ὅτι Μενέξενον ὑποτίθηται συνδιαλεγόμενον Σωκράτει. Ἐπιτάφιος δὲ, διότι ἐπιτάφιον διεξέρχεται Σωκράτης πάντων τῶν ὑπὲρ τῆς πατρίδος ἀποθανόντων.

ά. Ἐξ ἀγορᾶς, ἢ) Ἐνοῦται Ἔρχεται καὶ ἐν τῇ ὑπαρξεῖ Ἔχεται.

2. Τί μάλιστα σὺ πρὸς τὸ) Ἐννοεῖται Βουλόμενος θαυμάζει, ἢ νοῆσαι, ἢ τι τοιοῦτο. Ἐν γὰρ τοῖς διαλογικοῖς σύνηθες τὸ ἄνευ ῥήματος λεγόμενον καὶ ἐννοεῖσθαι τὸ πρακτικὸν ῥῆμα.

— Ἢ δηλαδὴ ὅτι) Ὁ Ἢ λυτικὸς Ἢ πάντως ὅτι νομίζεις εἶναι κατὰ τὸ τέλος τῆς παιδεύσεως καὶ φιλοσοφίας.

3. Μέλλει αἱρεῖσθ.) Τινὰ ἂς τις ἐπιτάφιον λόγον ἐρεῖ ἐπὶ τοῖς θανοῦσι. Ἐπὶ γὰρ τῆς δημοσίας τιμῆς ἡ βουλὴ ἠρεῖτο τὸν ἐροῦντα τὸν ἐπιτάφιον ὡς Δημοσθ. ἐν ἐπιταφ. λέγει. «Ἔδοξε τῇ »πόλει δημοσίᾳ θάπτειν, καὶ προσέτα»ξε τὸν τῶν νόμῳ ποησόντα ἐμοὶ λό»γον. Καὶ Λυσίας ἐν Ἐπιταφ. καὶ Θουκυδ. Β'. λδ'. Ἐὰν δὲ κρύψωσι γῆ, ἀνὴρ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φᾶς γὰρ οἶσθ' ὅτι μέλλουσι ποιεῖν. — Σωκ. Πάνυγε. Ἀλλὰ τίνα εἶλοντο; — Μεν. Οὐδένα· ἀλλ' ἀνεβάλοντο εἰς τὴν αὔριον. Οἶμαι μέντοι Ἀρχῖνον ἢ Δίωνα αἱρεθήσεσθαι. — Σωκ. Καὶ μάν, 5 ὦ Μενέξενε, πολλαχοῦ κινδυνεύει καλὸν εἶναι τὸ ἐν πολέμῳ ἀποθνήσκειν. Καὶ γὰρ ταφῆς καλῆς τε καὶ μεγαλοπρεποῦς τυγχάνει· καὶ ἐὰν πένης τις ὢν τελευτήσῃ, καὶ ἐπαίνου οὗ ἔτυχε· καὶ ἐὰν φαῦλος ᾖ, ὑπ' ἀνδρῶν σοφῶν τε καὶ οὐκ εἰκῇ ἐπαινούντων, ἀλλὰ ἐκ πολλοῦ χρόνου λόγους παρεσκευασμένων· οἱ οὕτω καλῶς ἐπαινοῦσιν, ὥστε καὶ τὰ προσόντα, καὶ τὰ μὴ περὶ ἑκάστου λέγοντες, καλλιστά πως τοῖς ὀνόμασι ποικίλλοντες, γοητεύουσιν ἡμῶν τὰς ψυχάς, καὶ τὴν πόλιν ἐγκωμιάζοντες κατὰ πάντας τρόπους· καὶ τούς τε τελευτήσαντας ἐν τῷ πολέμῳ, καὶ τοὺς προγόνους ἡμῶν ἅπαντας τοὺς ἔμπροσθεν, καὶ αὐτοὺς ἡμᾶς τοὺς ἔτι ζῶντας ἐπαινοῦντες. Ὥστ' ἔγωγε, ὦ Με- 6 νέξενε, γενναίως πάνυ διατίθεμαι, ἐπαινούμενος ὑπ' αὐτῶν· καὶ ἑκάστοτε ἕστηκα ἀκροώμενος καὶ κηλούμενος, ἡγούμενος ἐν τῷ παραχρῆμα μείζων καὶ γενναιότερος καὶ καλλίων γεγονέναι. Καὶ οἷα δὴ τὰ πολλὰ ἀεὶ μετ' ἐμοῦ ξένοι τινὲς ἔφοντο καὶ ξυνακροῶνται· πρὸς οὓς ἐγὼ σεμνότερος ἐν τῷ παραχρῆμα γίνομαι. Καὶ γὰρ ἐκεῖνοι ταὐτὰ ταῦτα δοκοῦσί μοι πάσχειν καὶ 7 πρὸς ἐμὲ καὶ πρὸς τὴν ἄλλην πόλιν, θαυμασιωτέραν αὐτὴν ἡγεῖσθαι εἶναι ἢ πρότερον, ὑπὸ τοῦ λέγοντος ἀναπειθόμενοι. Καὶ 8 μοι αὕτη ἡ σεμνότης παραμένει ἡμέρας πλείω ἢ τρεῖς· οὕτως ἔναυλος ὁ λόγος τε καὶ ὁ ῥόθος παρὰ τοῦ λέγοντος ἐνδύεται εἰς τὰ ὦτα, ὥστε μόγις τετάρτῃ ἢ πέμπτῃ ἡμέρᾳ ἀναμιμνήσκομαι ἐμαυτοῦ, καὶ αἰσθάνομαι οὖ γῆς εἰμι· τέως δὲ οἶμαι μονονοὺκ ἐν μακάρων νήσοις οἰκεῖν. Οὕτως ἡμῖν οἱ ῥήτορες δεξιοὶ εἰσιν.

β΄. Μεν. Ἀεὶ σὺ προσπαίζεις, ὦ Σώκρατες, τοὺς ῥήτορας· νῦν μέντοι οἶμαι ἐγὼ τὸν αἱρεθέντα οὐ πάνυ εὐπορήσειν. Ἐξ ὑπογυίου

ψήφισμα ἐπὶ τῆς πόλεως . . . λέγει ἐπ' αὐτοῖς ἔπαινον τὸν ποιήσοντα.

— Ταφὰς) Περιφραστικῶς ἀντὶ τοῦ Θάπτειν.

5. Καὶ ἐὰν φαῦλος ᾖ) Καὶ ἐὰν πένης τις ὢν τελευτήσῃ, καὶ ἐὰν φαῦλος ᾖ οὐ μόνον ταφῆς καλῆς, καὶ μεγαλοπρεποῦς τυγχάνει, ἀλλὰ καὶ ἐπαίνου παρὰ τούτοις τυγχάνει ὅτι ἀνδρὸς καὶ τλ. Τὸ δὲ Ἔτυχεν ἀντὶ ἐνεστῶτος διὰ τὸ ἀναγκαῖον καὶ ὁμολογούμενον· εἰς γὰρ πίστωσιν παρῳχημένῳ χρώμεθα ἀντὶ ἐνεστῶτος.

— Οἱ οὕτω καλῶς ἐπ.) Ἤτοι Περικλέα ἀναφέρει τὸν λόγον Θουκυδίδης γὰρ ἐν Β΄ λε. λόγου διεξέισι Περικλέους ἐπιτάφιον τὰ εἰρημένα πάντα περιέχοντα.

6. Καὶ ἑκάστοτε ἕστηκα.) Ἀντὶ ἱστάμαι· ὡς ὁμολογούμενον καὶ ἀναγκαῖον.

7. Θαυμασιωτέρ.) Ἐπεξήγησις τοῦτο τοῦ πάσχειν ταὐτὰ ταῦτα· δηλ. ἡγεῖσθαι θαυμασιωτέραν τὴν πόλιν μετὰ τοὺς λόγους τούτους, ἀναπειθόμενοι ὑπὸ τοῦ λέγοντος, ἢ πρότερον.

β΄. Οὐ πάνυ εὐπορ.) Λόγων δηλ. καὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γάρ παντάπασιν ἡ αἵρεσις γέγονεν· ὥστε ἴσως ἀναγκασθήσεται
2 ὁ λέγων, ὥσπερ αὐτοσχεδιάζειν. — Σωκ. Πόθεν, ὦ γαθέ; εἰσὶν ἑκάστοις τούτων λόγοι παρεσκευασμένοι· καὶ ἅμα οὐδὲ αὐτοσχεδιάζειν τά γε τοιαῦτα χαλεπόν. Εἰ μὲν γὰρ δέοι Ἀθηναίους ἐν Πελοποννησίοις εὖ λέγειν, ἢ Πελοποννησίους ἐν Ἀθηναίοις, ἀγαθοῦ ἂν ῥήτορος δέοι τοῦ πείσοντος, καὶ εὐδοκιμήσοντος· ὅταν δέ τις ἐν τούτοις ἀγωνίζηται οὕσπερ καὶ ἐπαινεῖ, οὐδὲν μέγα
3 δοκεῖ εὖ λέγειν.—Μεν. Οὐκ οἴει, ὦ Σώκρατες;—Σωκ. Οὐ μέντοι, μὰ Δία. — Μεν. Ἢ οἴει οἷός τ' ἂν εἶναι αὐτὸς εἰπεῖν, εἰ δέοι, καὶ ἔλοιτό σε ἡ βουλή; — Σωκ. Καὶ ἐμοὶ μέν γε, ὦ Μενέξενε, οὐδὲν θαυμαστὸν, οἷῳ τ' εἶναι εἰπεῖν, ᾧ τυγχάνει διδάσκαλος οὖσα οὐ πάνυ φαύλην περὶ ῥητορικῆς, ἀλλ' ἥπερ καὶ ἄλλους πολλοὺς καὶ ἀγαθοὺς ἐποίησε ῥήτορας, ἕνα δὲ καὶ διαφέροντα τῶν Ἑλλήνων, Περικλέα τὸν Ξανθίππου. — Μεν. Τίς αὕτη; ἢ δῆλον
4 ὅτι Ἀσπασίαν λέγεις; — Σωκ. Λέγω γάρ· καὶ Κόννον γε τὸν Μητροδίου. Οὗτοι γάρ μοι δύο εἰσὶ διδάσκαλοι· ὁ μὲν, μουσικῆς· ἡ δὲ, ῥητορικῆς. Οὕτω μὲν οὖν τρεφόμενον ἄνδρα οὐδὲν θαυμαστὸν δεινὸν εἶναι λέγειν. Ἀλλὰ καὶ ὅς τις ἐμοῦ κάκιον ἐπεδεύθη μουσικὴν μὲν ὑπὸ Λάμπρου παιδευθεὶς, ῥητορικὴν δὲ ὑπ' Ἀντιφῶντος τοῦ Ῥαμνουσίου, ὅμως κἂν οὗτος οἷός τ' εἴη Ἀθη-
5 ναίους γε ἐν Ἀθηναίοις ἐπαινῶν εὐδοκιμεῖν. — Μεν. Καὶ τί ἂν ἔχοις εἰπεῖν, εἰ δέοι σε λέγειν;—Σωκ. Αὐτὸς μὲν παρ' ἐμαυτοῦ ἴσως οὐδέν· Ἀσπασίας δὲ καὶ χθὲς ἠκροώμην, περαινούσης ἐπιτάφιον λόγον περὶ αὐτῶν τούτων. Ἤκουσε γὰρ ἅπερ σὺ λέγεις, ὅτι μέλλοιεν Ἀθηναῖοι αἱρεῖσθαι τὸν ἐρροῦντα. Ἔπειτα τὰ μὲν ἐκ τοῦ παραχρῆμα μοὶ διῄει, οἷα δέοι λέγειν, τὰ δὲ, πρότερον ἐσκεμμένη· ὅτε, μοὶ δοκεῖ, συνετίθει τὸν Ἐπιτάφιον λόγον, ὃν Περικλῆς
6 εἶπε, περιλείμματ' ἄττα ἐξ ἐκείνου συγκολλῶσα. — Μεν. Ἢ καὶ μνημονεύσαις ἂν ἃ ἔλεγεν Ἀσπασία; — Σωκ. Εἰμὴ ἀδικῶ γε. Ἐμάνθανόν γέ τοι παρ' αὐτῆς· καὶ ὀλίγου πληγὰς ἔλαβον, ὅτι
7 ἐπελανθανόμην. — Μεν. Τί οὖν οὐ διῆλθες; — Σωκ. Ἀλλ' ὅπως

καὶ γὰρ ἡ αἵρεσις γέγονε πάνυ αἰφνιδίως, παραυτίκα· ἀπερισκέπτως καὶ ἐκ τοῦ σύνεγγυς· ταῦτα γὰρ σημαίνει τὸ ἐξ ὑπογείου.

2. Πόθεν) Πόθεν οἴει, ταῦτα.

3. Οὐκ οἴει, ὦ Σώκρατες) Μέγα εἶναι τὸ εὖ λέγειν.

— Ἢ οἴει, οἷός τ' ἂν εἶναι) Ἆρ' εἶει καὶ τλ.

5. Περὶ αὐτῶν τούτων) Τῶν ἀποθανόντων.

— Περιλείμματα ταῦτα) Συγκολλῶσα ἐξ ἐκείνου τοῦ λόγου, ὃν Περικλῆς εἶπε, ταῦτα ἃ ἔλεγεν, ὥσπερ τινὰ λείψανα, ἅπερ ἔδει προσθεῖναι ἐν ἐκείνῳ τῷ λόγῳ.

6. Καὶ ὀλίγου) Δεῖν δηλ. ἀντὶ τοῦ Δέον πληγὰς ἔλαβον.

7. Ἀλλ' ὅπως μὴ) Ἀλλὰ δέδοικα ὅπως μὴ καὶ τλ. ὅτι δ' ἐννοεῖται τὸ δέδοικα δῆλον ἐκ τῶν τοῦ Πλουτάρχου ἐν Καμίλλῳ Δέδοικα ὅπως γενήσομαι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μή μοι χαλεπανεῖ ἡ διδάσκαλος, ἂν ἐξενέγκω αὐτῆς τὸν λόγον. —Μεν. Μηδαμῶς, ὦ Σώκρατες· ἀλλ' εἰπέ, καὶ πάνυ μοι χαριῇ, εἴτε Ἀσπασίας βούλει λέγειν, εἴτε ὁτουοῦν· ἀλλὰ μόνον εἰπέ.— Σωκ. Ἀλλ' ἴσως μου καταγελάσῃ, ἄν σοι δόξω, πρεσβύτης ὤν, ἔτι παίζειν. — Μεν. Οὐδαμῶς, ὦ Σώκρατες· ἀλλ' εἰπὲ παντὶ τρόπῳ. — Σωκ. Ἀλλὰ μέντοι σοί γε δεῖ χαρίζεσθαι· ὥστε κἂν 8
ὀλίγου, εἴμε κελεύοις ἀποδοῦντα ὀρχήσασθαι, χαρισαίμην ἄν· ἐπειδή γε μόνω ἐσμέν. Ἀλλ' ἄκουε. Ἔλεγε γάρ, ὡς ἐγῶμαι, ἀρξαμένη λέγειν ἀπ' αὐτῶν τῶν τεθνεώτων, οὕτωσί.

γ'. Ἔργῳ μὲν ἡμῖν οἷδ' ἤδη ἔχουσι τὰ προσήκοντα σφίσιν αὐτοῖς· (ὧν τυχόντες πορεύονται τὴν εἱμαρμένην πορείαν, προπεμφθέντες κοινῇ μὲν ὑπὸ τῆς πόλεως, ἰδίᾳ δὲ ὑπὸ τῶν οἰκείων) λόγῳ δὲ δεῖ τὸν λειπόμενον κόσμον ὅ,τε νόμος προστάττει ἀποδοῦναι τοῖς ἀνδράσι, καὶ χρή. Ἔργων γὰρ εὖ πραχθέντων, λόγῳ καλῶς ῥηθέντι μνήμη καὶ κόσμος τοῖς πράξασι γίγνεται παρὰ τῶν ἀκουσάντων. Δεῖ δὴ τοιούτου τινὸς λόγου, ὅς τις τοὺς 2
μὲν τετελευτηκότας ἱκανῶς ἐπαινέσεται, τοῖς δὲ ζῶσιν εὐμενῶς παραινέσεται· ἐκγόνοις μὲν καὶ ἀδελφοῖς μιμεῖσθαι τὴν τῶν δε ἀρετὴν παρακελευόμενος· πατέρας δὲ καὶ μητέρας, καὶ εἴ τινες τῶν ἄνωθεν ἔτι προγόνων λείπονται, τούτους δὲ παραμυθούμενος. Τίς οὖν 3
ἂν ἡμῖν τοιοῦτος λόγος φανείη; ἢ πόθεν ἂν ὀρθῶς ἀρξαίμεθα ἄνδρας ἀγαθοὺς ἐπαινοῦντες; οἱ ζῶντές τε τοὺς ἑαυτῶν εὔφραινον δι' ἀρετὴν, καὶ τὴν τελευτὴν ἀντὶ τῆς τῶν ζώντων σωτηρίας ἠλλάξαντο; Δοκεῖ μοι χρῆναι, κατὰ φύσιν, ὥσπερ ἀγαθοὶ ἐγέ- 4
νοντο, οὕτω καὶ ἐπαινεῖν αὐτούς. Ἀγαθοὶ δὲ ἐγένοντο διὰ τὸ φῦναι ἐξ ἀγαθῶν. Τὴν εὐγένειαν οὖν πρῶτον αὐτῶν ἐγκωμιάζωμεν· δεύτερον δὲ, τροφήν τε καὶ παιδείαν· ἐπὶ δὲ τούτοις τὴν τῶν ἔργων πρᾶξιν ἐπιθείξωμεν, ὡς καλὴν καὶ ἀξίαν τούτων ἀπεφήναντο.

δ'. Τῆς δ' εὐγενείας πρῶτον ὑπῆρξε τοῖσδε ἡ τῶν προγόνων γένεσις, οὐκ ἔπηλυς οὖσα, οὐδὲ τοὺς ἐκγόνους τούτους ἀποφηναμένη μετοικοῦντας ἐν τῇ χώρᾳ, ἄλλοθεν σφῶν ἡκόντων, ἀλλ' αὐτόχθονας, καὶ τῷ ὄντι ἐν πατρίδι οἰκοῦντας καὶ ζῶντας· καὶ τρεφομένους οὐχ ὑπὸ μητρυιᾶς, ὡς ἄλλοι, ἀλλ' ὑπὸ μη- 2
τρὸς, τῆς χώρας ἐν ᾗ ᾤκουν· καὶ νῦν κεῖσθαι τελευτήσαντας ἐν

γ'. Καὶ χρή) Ἀποδοῦναι τὸν λειπόμενον κόσμον· τὸν ἔπαινον δηλ.

— Ἔργων γάρ) Ἡ συνθήκη τῶν ὀνομάτων. Μνήμη καὶ κόσμος γίνεται τοῖς πράξασι παρὰ τῶν ἀκουσάντων ἐν λόγῳ τῶν εὖ πραχθέντων ἔργων καλῶς ῥηθέντι. Ὁ νοῦς. Ὅταν λόγος ἔργων καλῶς πραχθέντων ῥηθῇ καλῶς, οἱ ἀκούοντες μέμνηνται καὶ ἐπαινοῦσι τοὺς πράξαντας, σεμνύνοντες αὐτοὺς καὶ ἐκθειάζοντες.

— Τούτους δὲ) Ὁ Δὲ παραπληρωματικός ἐστι κατὰ τὸν Δή.

4. ἀξίαν τούτων) Τῶν ἔργων δηλ. τὸ δὲ Ὡς ἐπιτατικόν.

δ'. Ἐν ᾗ χώρα ᾤκουν) Ταῖς Ἀθήναις δηλ. Διὰ γὰρ ταύτης τῆς κατὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οἰκείοις τόποις τῆς τεκούσης καὶ θρεψάσης καὶ ὑποδεξαμένης.
Δικαιότατον δὴ κοσμῆσαι πρῶτον τὴν μητέρα αὐτῶν. Οὕτω
3 γὰρ συμβαίνει ἅμα καὶ ἡ τῶνδε εὐγένεια κοσμουμένη. Ἔστι
δὲ ἀξία ἡ χώρα καὶ ὑπὸ πάντων ἀνθρώπων ἐπαινεισθαι, οὐ μόνον
ὑφ' ἡμῶν παλλαχῇ μὲν καὶ ἄλλῃ, πρῶτον δὲ καὶ μέγιστον, ὅτι
4 τυγχάνει οὖσα θεοφιλής. Μαρτυρεῖ δὲ ἡμῶν τῷ λόγῳ ἡ τῶν
ἀμφισβητησάντων περὶ αὐτῆς θεῶν ἔρις τε καὶ κρίσις. Ἣν δὴ
θεοὶ ἐπήνεσαν, πῶς οὐχ ὑπ' ἀνθρώπων γε συμπάντων δικαία ἐ-
5 παινεῖσθαι; Δεύτερος δὲ ἔπαινος δικαίως ἂν αὐτῆς εἴη, ὅτι ἐν
ἐκείνῳ τῷ χρόνῳ ἐν ᾧ ἡ πᾶσα γῆ ἀνεδίδου καὶ ἔφυ ζῶα παν-
τοδαπά, θηρία τε καὶ βοτά, ἐν τούτῳ ἡ ἡμετέρα, θηρίων μὲν
ἀγρίων ἄγονος καὶ καθαρὰ ἐφάνη, ἐξελέξατο δὲ τῶν ζώων καὶ
ἐγέννησεν ἄνθρωπον, ὃ συνέσει τε ὑπερέχει τῶν ἄλλων, καὶ δίκην
6 καὶ θεοὺς μόνον νομίζει. Μέγα δὲ τεκμήριον τούτῳ τῷ λόγῳ
ὅτι ἤδε ἔτεκεν ἡ γῆ τούς τῶνδέ τε καὶ ἡμετέρους προγόνους. Πάν-
γαρ τὸ τεκὸν τροφὴν ἔχει ἐπιτηδείαν ᾧ ἂν τέκῃ· ᾧ καὶ γυνὴ
δήλη τεκοῦσα τε ἀληθῶς, καὶ μή, ἀλλ' ὑποβαλλομένη, ἐὰν μὴ ἔχῃ
7 παγὰς τροφῆς τῷ γενομένῳ. Ὁ δὴ καὶ ἡ ἡμετέρα γῆ τε καὶ μήτηρ
ἱκανὸν τεκμήριον παρέχεται ὡς ἀνθρώπους γεννησαμένη.
Μόνη γὰρ ἐν τῷ τότε καὶ πρώτη τροφὴν ἀνθρωπείαν ἤνεγκε τὸν

πεσόντα ἐκφράσεως γνησίως Ἀθηναίους βούλεται δηλῶσαι τοὺς τελευτήσαντας τούτους, ὧν ὁ ἐπιτάφιος οὗτος.

3. Πολλαχῇ μὲν καὶ ἄλλῃ) Καὶ διὰ πολλὰ ἄλλα δηλοῦσθαι οἴεται· τὸ δὲ πρῶτον καὶ μέγιστον αἴτιόν ἐστιν ὅτι ἐστὶ θεοφιλής.

4. Ἔρις τε καὶ κρίσις) Ἔδοξε τοῖς θεοῖς πόλεις κατοικεῖσθαι ἐκεῖ, ἐμφύλιον ἔχειν τιμὰς ἰδίας ἑκάστης· ἦνον οὖν πρῶτος Ποσειδῶν ἐπὶ τὴν Ἀττικήν, καὶ πήξας τῇ τριαίνῃ κατὰ μέσην τὴν ἀκρόπολιν, ἀνέφηνε θάλατταν· μετὰ τοῦτον ἦνεν Ἀθηνᾶ, καὶ ἐρύτεσιν ἐκεῖ, πολιστὰ μένη μάστυρα Κέκροπα. Γενομένης δὲ ἔριδος ἀφεῖν περὶ τῆς χώρας Ἀθηνῶν, καὶ Ποσειδῶνα διαλύσας Ζεύς, κριτὰς ἔδωκε θεοὺς τοὺς δώδεκα. Καὶ τούτων δικασάντων ἡ χώρα τῆς Ἀθηνᾶς ἐκρίθη, Κέκροπος μαρτυρήσαντος. Ὅθεν Ἀθηνᾶ ἀφ' ἑκατὸν τὴν πόλιν ἐκάλεσεν Ἀθήνας. Καὶ τοῦτο δηλοῖ τὸ Ἔρις. Πάλιν. Ἄρας ἐξ Ἀγραύλου θυγατρὸς Κέκροπος ἔσχεν Ἀλκιππην· ταύτην βαζόμενος Ἁλιρρόθιος ὁ Ποσειδῶνος καὶ Νύμφης Εὐρύτης, φωσθεὶς, ὑπὸ Ἄρεως κτείνεται. Ποσειδῶν δὲ ἐν Ἀρείῳ πάγῳ κρίνεται, δικαζόντων τῶν δώδεκα θεῶν· Ἄρης καὶ ἀπολύεται. Ἀπολλόδ. Γ'.

5. Ὅτι ἐν ἐκείνῳ τῷ χρόνῳ) Οἱ γὰρ Ἀθηναῖοι πρῶτοι αὐτοὺς αὐτόχθονας ἐνόμιζον, τὸν Ἐσιχθόνα ἐν γῆς ἀνεδοθῆναι λέγοντες· ὅθεν καὶ Ἀουσκιόνες ἐν τῷ φιλόσοφῳ λέγει· «Ἡ γὴ, φίλοι, καὶ Ἀθηναῖοι τὸν Ἐσιχθόνα ἐν γῆς ἀνεδοθῆναι φασι, καὶ τοὺς πρώτους ἀνθρώπους ἐκ τῆς Ἀττικῆς ἀνεφύσαν· ὅθεν καὶ γηγενεῖς καὶ αὐτόχθονες ἐλέγοντο. Οἶμαι δὲ τοῦτο σχεδὸν πάσιν ὃ τι ἀπίστατον εἶναι τὴν χθόνα, ὡς Θουκυδίδης Α. β'. φησί, πολίτας βεβαίως οἰκήσαντες, τίς τε καὶ ἐπιστήμας κατεσκευάσαντες, τῆς ἀλλοτρίας γῆς, ὅτ' ὑπὸ θηρίων ἀδικοῦνται, σταπιαζούσης, καὶ ἀκαλλέστερον οὔσης.

6. Ὧ καὶ γυνὴ) Ὥσπερ γὰρ ἡ γυνὴ ἐκ τοῦ ἐν τοῖς μαστοῖς γάλακτος γινώσκεται, ὅτι γνήσιον ἢ ὑποβολιμαῖον ἔχει τὸ παιδίον, οὕτω καὶ αἱ Ἀθῆναι, ἐπειδὴ ἐν αὐταῖς πρῶτον ἐργάτια γῆς ἐξεφάνησαν, καὶ πυροὺς καὶ κριθὰν καρπὸς ἔφυ, τροφὴ ἀνθρώπων, γνήσια καὶ ἐξ αὐτῶν ἔχουσι γεγενημένα τὰ τέκνα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῶν πυρῶν καὶ κριθῶν καρπὸν, ᾧ κάλλιστα καὶ ἄριστα τρέφεται τὸ ἀνθρώπειον γένος, ὡς τῷ ὄντι τοῦτο τὸ ζῶον αὕτη γεννησαμένη. Μᾶλλον δὲ ὑπὲρ γῆς ἡ γυναικὸς προσήκει δέχεσθαι 8
τοιαῦτα τεκμήρια. Οὐ γὰρ γῆ γυναῖκα μεμίμηται κυήσει καὶ γεννήσει, ἀλλὰ γυνὴ γῆν. Τούτου δὲ τοῦ καρποῦ οὐκ ἐφθόνησεν, ἀλλ' ἔνειμε καὶ τοῖς ἄλλοις. Μετὰ δὲ τοῦτο ἐλαίου γένεσιν, πόνων ἀρωγὴν, ἀνῆκε τοῖς ἐγκάνοις. Θρεψαμένη δὲ καὶ 9
αὐξήσασα πρὸς ἥβην, ἄρχοντας καὶ διδασκάλους αὐτῶν θεοὺς ἐπηγάγετο· ὧν τὰ μὲν ὀνόματα πρέπει ἐν τῷ τοιῷδε ἐᾷν. Ἴσμεν γὰρ οἱ τὸν βίον ἡμῶν κατεσκεύασαν, πρός τε τὴν καθ' ἡμέραν δίαιταν τέχνας πρώτους παιδευσάμενοι, καὶ πρὸς τὴν ὑπὲρ τῆς χώρας φυλακὴν ὅπλων κτῆσιν τε καὶ χρῆσιν διδαξάμενοι.

ε'. Γεννηθέντες δὲ καὶ παιδευθέντες οὕτως οἱ τῶνδε πρόγονοι, ᾤκουν πολιτείαν κατασκευασάμενοι, ἧς ὀρθῶς ἔχει διὰ βραχέων ἐπιμνησθῆναι. Πολιτεία γὰρ τροφὴ ἀνθρώπων ἐστὶ· καλὴ μὲν, ἀγαθῶν· ἡ δὲ ἐναντία, κακῶν. Ὡς οὖν ἐν καλῇ πολιτείᾳ ἐ- 2
τράφησαν οἱ πρόσθεν ἡμῶν, ἀναγκαῖον δηλῶσαι, δι' ἣν δὴ κἀκεῖνοι ἀγαθοὶ καὶ οἱ νῦν εἰσι, ὧν οἶδε τυγχάνουσιν ὄντες οἱ τετελευτηκότες. Ἡ γὰρ αὐτὴ πολιτεία καὶ τότε ἦν καὶ νῦν ἀρι- 3
στοκρατία, ἐν ᾗ νῦν τε πολιτευόμεθα, καὶ τὸν ἀεὶ χρόνον ἐξ ἐκείνου ὡς τὰ πολλά. Καλεῖ δὲ ὁ μὲν αὐτὴν, δημοκρατίαν, ὁ δὲ, ἄλλο, ᾧ ἂν χαίρῃ· ἔστι δὲ τῇ ἀληθείᾳ, μετ' εὐδοξίας πλήθους ἀριστοκρατία. Βασιλεῖς μὲν γὰρ ἀεὶ ἡμῖν εἰσιν· οὔτε δὲ, 4
τοτὲ μὲν ἐκ γένους, τοτὲ δὲ αἱρετοὶ ἐγκρατὲς δὲ τῆς πόλεως τὰ πολλὰ τὸ πλῆθος· τὰς δὲ ἀρχὰς δίδωσι καὶ κράτος τοῖς ἀεὶ δοξάσιν ἀριστοις εἶναι· καὶ οὔτε ἀσθενείᾳ, οὔτε πενίᾳ, οὔτ' ἀγνοσίᾳ πατέρων, ἀπελήλαται οὐδεὶς, οὐδὲ τοῖς ἐναντίοις τετίμηται, ὥσπερ ἐν ἄλλαις πόλεσιν· ἀλλὰ εἷς ὅρος, ὁ δόξας σοφὸς 5

---

8. Μᾶλλον δὲ) Καὶ περιττῆς μᾶλλον ἡ περὶ γυναικὸς προσήκει· καὶ τλ.

— Ἕκαστον γένεσιν) Ἀθηνᾶς εἶναι φυτευτάτης ἐν τῇ Ἀττικῇ, ὡς ἐν 3. Σημ. εἰρηται, πόνων ἀρωγὴν, διὰ τὸ ἀνέρριφθαι ἐν τοῖς ὀρῶσι ἐλαίαν.

9. Ὧν τὰ ὀνόματα) Κατὰ μὲν Ἀθηνᾶ ἐδιδάξατο τὸν Ἐριχθόνιον ἐν τῷ τε ἔθνει ἀναθρεψαμένη Παυσάνιας δὲ τοῦ Ἐρεχθέως βασιλεύοντος Ἀθήνησιν, ἡ Δημήτρα, καὶ ὁ Δεύκιος εἰς Ἀττικὴν ἦλθον, καὶ γεωργίαν καὶ ἀμπελουργίαν ἐδιδάξαντο· καὶ ὅτα ἄλλα οἱ μῦθοι λέγουσιν· ὅρα καὶ Ἀπολλόδ. Γ.

ε'. Οὕτως) Αὐτόχθονες μὲν γεννηθέντες, ὑπὸ Θεῶν δὲ παιδευθέντες.

2. Ὧν οἶδε) Ὧν προγόνων ἔκγονοι εἰσὶν οἶδε, περὶ ὧν ὁ λόγος.

3. Ἀριστοκρατ.) Ὑπεξαγματικῶς εἰς τὸ Πολιτεία οἵαν ἡ αὐτὴ ἦν καὶ τότε πολιτεία, καὶ νῦν ἐστι· δηλ. ἀριστοκρατία.

— Ἄλλο, ᾧ ἂν χαίρῃ) Ὀνόματι καλεῖν αὐτήν.

4. Ἐγκρατὲς) Τὸ πλῆθος κατὰ τὰ πολλὰ ἐστιν ἐγκρατὲς τῆς πόλεως. Ὅπου ἐστὶν ἐν πόλοις ἰσχύει τὸ πλῆθος· δίδωσι δὲ τοιαύτας ἀρχὰς, καὶ τοῖς τούτοις καὶ ἰσχὺν ἐκείνοις, ὅσοι ἀεὶ δοκοῦσιν ἄριστοι εἶναι.

—Τοῖς ἐναντίοις) Δυνάμει δηλ. πλούτῳ, καὶ τῷ ἐπισήμῳ τῶν πατέρων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἡ ἀγαθὸς εἶναι, κρατεῖ καὶ ἄρχει. Αἰτία δὲ ἡμῖν τῆς πολιτείας
6 ταύτης, ἡ ἐξ ἴσου γένεσις. Αἱ μὲν γὰρ ἄλλαι πόλεις ἐκ παντοδαπῶν κατασκευασμέναι ἀνθρώπων εἰσὶ καὶ ἀνωμάλων· ὥστε αὐτῶν ἀνώμαλοι καὶ αἱ πολιτεῖαι, τυραννίδες τε καὶ ὀλιγαρχίαι.
7 Οἰκοῦσιν οὖν, ἔνιοι μὲν δούλους, οἱ δὲ, δεσπότας ἀλλήλους νομίζοντες· ἡμεῖς δὲ καὶ οἱ ἡμέτεροι, μιᾶς μητρὸς πάντες ἀδελφοὶ φύντες, οὐκ ἀξιοῦμεν δοῦλοι οὐδὲ δεσπόται ἀλλήλων εἶναι· ἀλλ' ἡ ἰσογονία ἡμᾶς ἡ κατὰ φύσιν ἰσονομίαν ἀναγκάζει ζητεῖν κατὰ νόμον, καὶ μηδενὶ ἄλλῳ ὑπείκει ἀλλήλοις, ἢ ἀρετῆς δόξῃ καὶ
8 φρονήσεως. Ὅθεν δὴ ἐν πάσῃ ἐλευθερίᾳ τεθραμμένοι οἱ τῶν δὲ πατέρες, καὶ οἱ ἡμέτεροι, καὶ αὐτοὶ οὗτοι, καὶ καλῶς φύντες, πολλὰ δὴ καὶ καλὰ ἔργα ἀπεφήναντο εἰς πάντας ἀνθρώπους καὶ ἰδίᾳ καὶ δημοσίᾳ· οἰόμενοι δεῖν ὑπὲρ τῆς ἐλευθερίας καὶ Ἕλλησιν ὑπὲρ Ἑλλήνων μάχεσθαι, καὶ Βαρβάροις ὑπὲρ ἁπάντων τῶν Ἑλλήνων.

ϛ'. Εὐμόλπου μὲν οὖν καὶ Ἀμαζόνων ἐπιστρατευσάντων ἐπὶ τὴν χώραν, καὶ τῶν ἔτι προτέρων, ὡς ἠμύναντο, καὶ ὡς ἤμυναν Ἀργείοις πρὸς Καδμείους, καὶ Ἡρακλείδας πρὸς Ἀργείους, ὅ,τε χρόνος βραχὺς ἀξίως διηγήσαθαι, ποιηταί τε αὐτῶν ἤδη καλῶς τὴν ἀρετὴν ἐν μουσικῇ ὑμνήσαντες, εἰς πάντας μεμηνύκασιν. Ἐὰν οὖν ἡμεῖς ἐπιχειρῶμεν τὰ αὐτὰ λόγῳ
2 ψιλῷ κοσμεῖν, τάχ' ἂν δεύτεροι φαινοίμεθα. Ταῦτα μὲν οὖν διὰ ταῦτα δοκεῖ μοι ἐᾶν, ἐπειδὴ καὶ ἔχει τὴν ἀξίαν. Ὧν δὲ οὔτε ποιητής πω δόξαν ἀξίαν ἐπ' ἀξίοις λαβὼν ἔχει, ἔτι τέ ἐ-

---

ϛ'. Εὐμόλ. Ἀμαζ.) Εὔμολπος μὲν βασιλεὺς Θρακῶν ἐλθὼν, μετὰ πολλῆς δυνάμεως εἰς Ἐλευσῖνα βοηθὸς κατὰ Ἀθηναίων, ἡττηθεὶς ὑπὸ Ἐρεχθέως βασιλέως Ἀθηναίων, ἀνῃρέθη. Ἀπολλόδ. Γ'. Ἀμαζόνες Ἄρεως θυγατέρες, παρὰ τὸν Θερμόδοντα οἰκοῦσαι ποταμὸν, παραλαβοῦσαι τὰ μαχιμώτατα τῶν ἐθνῶν τοὺς Σκύθας, ἐστράτευσαν ἐπὶ τὰς Ἀθήνας· αὐτοῦ δὲ ἀποθανοῦσαι καὶ θοῦσαι δίκην, ἀθάνατον μνήμην κατέλιπον τοῖς Ἀθηναίοις. Λυσίας Ἐπίτ. β'. Ἰσοκρ. Πανηγ. ιθ'. . . μϛ'.

— Καὶ τῶν ἔτι προτέρ.) Τὸν Ἐρεχθόνιον ἴσως λέγει· πρὸς Λάβδακον περὶ γῆς ὅρων πολεμήσαντα μετὰ Τηρέως τοῦ Ἄρεως Θρακῶν βασιλέως, καὶ νικήσαντα Λάβδακον. Ἀπολλόδ. Γ'.

— Καὶ ὡς ἤμυναν Ἀργ.) Ἀργείων καὶ Θηβαίων τῶν Καδμείων πολεμησάντων, ἡττήθησαν Ἀργεῖοι. Κρέων δὲ τότε Θηβαίων βασιλεύων ἔρριψε τοὺς Ἀργείων νεκροὺς ἀτάφους, Ἄδραστος δ' Ἀργείων βασιλεὺς, εἰς Ἀθήνας ἀφικόμενος, ἐξίου θάπτειν τοὺς νεκροὺς· οἱ δὲ Ἀθηναῖοι μετὰ Θησέως στρατεύσαντες αἱροῦσι Θήβας, καὶ τοὺς νεκροὺς τοῖς οἰκείοις διδόασι θάπτειν. Ἀπολλόδ. Γ'. Λυσίας Ἐπιτάφ. γ'.

— Καὶ Ἡρακλείδ.) Οἱ Ἡρακλέους παῖδες ὑπὸ Εὐρυσθέως φοβηθέντος μὴ τῆς βασιλείας ἐκπέσῃ, Ἀργείων καὶ ἐν Μυκήναις βασιλεύοντος, ἐδιώχθησαν ἐξ ἁπάσης τῆς Ἑλλάδος, οὓς μόνοι οἱ Ἀθηναῖοι παρεδέξαντο. Εὐρυσθεὺς δὲ ἐστράτευσεν ἐπ' αὐτοὺς μετὰ πολλῆς δυνάμεως· οἱ δὲ Ἡρακλεῖδαι, βοηθούντων αὐτοῖς Ἀθηναίων, ἐνίκησαν τὸν Εὐρυσθέα. Λυσίας Ἐπιτάφ. δ'. Διόδ. Σικελ. Δ'. νζ'. Τὸ δὲ Ἀμύνασθαι τὸ κακῶς παθόντα ἀντιδιατιθέναι δηλοῖ.

— Ποιηταί τε) Εὐριπίδ. Σοφοκλ. Αἰσχύλ. καὶ ὅσοι ἐν τραγῳδίαις τὰ τῶν παλαιῶν ὕμνησαν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στιν ἐν ἀμνησίᾳ τούτων περὶ μοι δοκεῖ χρῆναι ἐπιμνησθῆναι, ἐπαινοῦντά τε καὶ προμνώμενον τοῖς ἄλλοις, ἐς ᾠδάς τε καὶ τὴν ἄλλην ποίησιν αὐτοὺς θεῖναι, προπόντως τῶν πραξάντων. Ἔστι δὲ τούτων ὧν λέγω πρῶτα, Πέρσας ἡγουμένους τῆς 3
Ἀσίας, καὶ δουλουμένους τὴν Εὐρώπην, ἔσχον οἱ τῆςδε τῆς χώρας ἔκγονοι, γονεῖς δὲ ἡμέτεροι. Ὧν καὶ δίκαιον καὶ χρὴ πρῶτον μεμνημένους, ἐπαινέσαι αὐτῶν τὴν ἀρετήν. Δεῖ δὴ αὐ- 4
τὴν ἰδεῖν, εἰ μέλλει τις καλῶς ἐπαινεῖν ἐν ἐκείνῳ τῷ χρόνῳ γενόμενον λόγῳ, ὅτε πᾶσα μὲν ἡ Ἀσία ἐδούλευε τρίτῳ ἤδη βασιλεῖ· ὧν ὁ μὲν πρῶτος, Κῦρος, ἐλευθερώσας Πέρσας τοὺς αὐτοῦ πολίτας τῷ αὐτοῦ φρονήματι, ἅμα καὶ τοὺς δεσπότας Μήδους ἐδουλώσατο, καὶ τῆς ἄλλης Ἀσίας μέχρις Αἰγύπτου ἦρξεν· ὁ δὲ υἱὸς αὐτοῦ, Αἰγύπτου τε καὶ Λιβύης ὅσον οἷόν τε ἦν 5
ἐπιβαίνειν· τρίτος δὲ, Δαρεῖος, πεζῇ μὲν μέχρι Σκυθῶν τὴν ἀρχὴν ὡρίσατο, ναυσὶ δὲ, τῆς τε θαλάττης ἐκράτησε καὶ τῶν νήσων· ὥστε μηδὲ ἀξιοῦν ἀντίπαλον αὐτῷ μηδένα εἶναι. Αἱ δὲ γνῶμαι δεδουλωμέναι ἁπάντων ἀνθρώπων ἦσαν. Οὕτω πολλὰ καὶ 6
μεγάλα καὶ μάχιμα γένη καταδεδουλωμένη ἦν ἡ Περσῶν ἀρχή.

ζ΄. Αἰτιασάμενος δὲ Δαρεῖος ἡμᾶς τε καὶ Ἐρετριέας, Σάρδεσιν ἐπιβουλεῦσαι προφασιζόμενος, πέμψας μυριάδας μὲν πεντήκοντα ἔν τε πλοίοις καὶ ναυσὶ, ναῦς δὲ τριακοσίας, Δάτιν δὲ ἄρχοντα, εἶπεν ἥκειν ἄγοντα Ἐρετριέας καὶ Ἀθηναίους, εἰ βούλοιτο τὴν ἑαυτοῦ κεφαλὴν ἔχειν. Ὁ δὲ πλεύσας εἰς Ἐρέτριαν 2
ἐπ' ἄνδρας οἱ τῶν τότε Ἑλλήνων ἐν τοῖς εὐδοκιμωτάτοις ἦσαν τὰ πρὸς τὸν πόλεμον, καὶ οὐκ ὀλίγοι, τούτους ἐχειρώσατο μὲν ἐν τρισὶν ἡμέραις· διηρευνήσατο δὲ αὐτῶν πᾶσαν τὴν χώραν, ἵνα μηδεὶς ἀποφύγοι, τοιούτῳ τρόπῳ· ἐπὶ τὰ ὅρια ἐλθόντες τῆς 3
Ἐρετρικῆς οἱ στρατιῶται αὐτοῦ, ἐκ θαλάττης εἰς θάλατταν διαστάντες, συνάψαντες τὰς χεῖρας, διῆλθον ἅπασαν τὴν χώραν, ἵν' ἔχοιεν τῷ βασιλεῖ εἰπεῖν ὅτι οὐδεὶς σφᾶς ἀποπερευ-

---

3. Ἔσχον οἱ τῆςδε) Δάτιν τε τὸν στρατηγὸν Δαρείου Περσῶν βασιλέως ἐν Μαραθῶνι νικήσαντες· καὶ Ξέρξην αὐτὸν ἐν Ἀρτεμισίῳ, Σαλαμῖνι, καὶ τὸν Μαρδόνιον ἐν Πλαταιαῖς.

4. Ὅτε μὲν) Ὁ Μὲν παρέλκει· ἡ βεβαιωτικός ἐστιν ἀντὶ τοῦ Μήν.

5. Ὁ δὲ υἱὸς αὐτοῦ) Τοῦ Κύρου ὁ Καμβύσης δηλ. ἦρξεν Αἰγύπτου.

ζ΄. Προφασιζ.) Οἱ γὰρ Ἀθηναῖοι καὶ Ἐρετριεῖς βοηθοῦντες Μιλησίοις, ὧν ἡγεῖτο Ἀρισταγόρας, ἔπεμψαν ναῦς, μεθ' ὧν οἱ Ἴωνες εἰς Ἔφεσον ἐλθόντες, ἐκεῖθεν εἰς Σάρδεις ἐπορεύθησαν, καὶ ἐνέπρησαν αὐτάς. Ἡρόδ. Τερψιχ. υιθ . . . ρέ.

— Ἥκειν ἄγοντα) Τοιαύτην ἔλαβε Δάτις προσταγὴν ὑπὸ Δαρείου πάντας Ἐρετριέας καὶ Ἀθηναίους δεσμίους πρὸς αὐτὸν ἀγαγεῖν. Ἡρόδ. Ἐρατ. υιδ΄.

2. Ἐν τοῖς εὐδοκιμωτ.) Ἀντὶ Εὐδοκιμώτατοι. Σύνηθες δὲ τοῦτῳ· οὕτω γὰρ καὶ τὸ, λιθοξόος ἐν τοῖς μάλιστα εὐδόκιμος, τοῦ Λουκιαν. Ἐνύπν. ἀντὶ εὐδοκιμώτατος.

— Τὰ πρὸς τὸν πόλ.) Κατὰ τὰ πρὸς τὸν πόλεμον· κατὰ τὰ πολεμικά.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

4 γὼς εἴη. Τῇ δ' αὐτῇ διανοίᾳ κατηγάγοντο ἐξ Ἐρετρίας εἰς Μαραθῶνα, ὡς ἕτοιμον σφίσιν ὄν, καὶ Ἀθηναίους ἐν τῇ αὐτῇ ταύτῃ ἀνάγκῃ ζεύξαν ας Ἐρετριεῦσιν, ἄγειν. Τούτων δὲ, τῶν μὲν πραχθέντων, τῶν δ' ἐπιχειρουμένων, οὔτ' Ἐρετριεῦσιν ἐβοήθησεν Ἑλλήνων οὐδεὶς, οὔτε Ἀθηναίοις, πλὴν Λακεδαιμο-
5 νίων. Οὗτοι δὲ τῇ ὑστεραίᾳ τῆς μάχης ἀφίκοντο· οἱ δ' ἄλλοι πάντες ἐκπεπληγμένοι, ἀγαπῶντες τὴν ἐν τῷ παρόντι σωτηρίαν,
6 ἡσυχίαν ἦγον. Ἐν τούτῳ δὴ ἄν τις γενόμενος γνοίη οἷοι ἄρα ἐτύγχανον ὄντες τὴν ἀρετὴν οἱ Μαραθῶνι δεξάμενοι τὴν τῶν Βαρβάρων δύναμιν, καὶ κολασάμενοι τὴν ὑπερηφανίαν ὅλης
7 τῆς Ἀσίας· καὶ πρῶτοι στήσαντες τρόπαια τῶν Βαρβάρων ἡγεμόνες καὶ διδάσκαλοι τοῖς ἄλλοις γενόμενοι ὅτι οὐκ ἄμαχος εἴη ἡ Περσῶν δύναμις, ἀλλὰ πᾶν πλῆθος καὶ πᾶς πλοῦτος ἀ-
8 ρετῇ ὑπείκει. Ἐγὼ μὲν οὖν ἐκείνους τοὺς ἄνδρας φημὶ οὐ μόνον τῶν σωμάτων τῶν ἡμετέρων πατέρας εἶναι, ἀλλὰ καὶ τῆς ἐλευθερίας τῆς τε ἡμετέρας καὶ ξυμπάντων τῶν ἐν τῇδε τῇ ἠ-
9 πείρῳ. Εἰς ἐκεῖνο γὰρ τὸ ἔργον ἀποβλέψαντες καὶ τὰς ὑστέρας μάχας ἐπόλμησαν διακινδυνεύειν οἱ Ἕλληνες ὑπὲρ τῆς
10 σωτηρίας, μαθηταὶ τῶν Μαραθῶνι γενομένων. Τὰ μὲν οὖν ἀριστεῖα τῷ λόγῳ ἐκείνοις ἀναδετέον, τὰ δὲ δευτερεῖα, τοῖς περὶ Σαλαμῖνα καὶ ἐπ' Ἀρτεμισίῳ ναυμαχήσασι καὶ νικήσασι.

ἡ. Καὶ γὰρ τούτων τῶν ἀνδρῶν πολλὰ μὲν ἄν τις ἔχοι διελθεῖν, καὶ οἷα ἐπιόντα ὑπέμεινον κατά τε γῆν καὶ κατὰ θά-

---

3. Ἀποπεμψῶς εἴη) Ἀπορεύοιτο· ἀπέφυγε δηλ. αὐτούς

4. Ὡς ἕτοιμον σφίσιν ὄν.) Τῶν ἀπροσέφικτα ῥημάτων οἱ μετοχικὰ ἀπόλυτος συντάττονται, καθ' ἕνα σχηματισμὸν λεγόμενα.

— Ζεύξαντας) Ἐρετριέα καὶ Ἀθηναῖον ὡς ὑπὸ ζυγὸν εἰς μίαν ἅμαξαν δεσμεύσαντας.

5. Τῇ ὑστεραίᾳ) Νόμος ἦν Λακεδαιμονίοις μὴ εἰς πόλεμον ἐξάγειν, εἰμὴ πανσέληνος ᾖ· διὰ τοῦτο καὶ ὑστερήσαντες ἦλθον μετὰ τὴν μάχην τὴν ἑπομένην ἡμέραν.

— Ἡσυχίαν ἦγον) Ἡσύχαζον κατὰ πτόησιν.

6. Οἱ Μαραθῶνι) Ἐλλείπει ἡ Ἐν.

— Ὅλης τῆς Ἀσίας) Τοῦ Δαρείου βασιλεύοντος τότε ἁπάσης τῆς Ἀσίας, ἤγουν τῶν κατοικούντων ἐν τῇ Ἀσίᾳ.

7. Καὶ πρῶτοι στήσ.) Ἀπὸ γὰρ Κύρου τοῦ καθελόντος Μήδους καὶ τοὺς Πέρσας ἐλευθερώσαντος, μέχρι τῆς ἐν Μαραθῶνι μάχης νικῶντες οἱ Πέρσαι διετέλουν· πρῶτοι δὲ Ἀθηναῖοι ἐν Μαραθῶνι ἐνίκησαν αὐτοὺς Μιλτιάδου στρατηγοῦντος.

8 Ἄλλα καὶ τῆς Ἐλευθ.) Πατέρας εἶναι ὑπὸ κοινοῦ.

9 Γενόμενοι) Θεμιστοκλῆς γὰρ ὁ ἐν Σαλαμῖνι νικήσας Ξέρξῃ, οὐδὲ καθεύδειν ἠδύνατο λέγων ὅτι οὐκ ἐᾷ αὐτὸν κοιμᾶσθαι τὸ Μιλτιάδου τρόπαιον οὕτω ῥήτορι πάντες ἐγένοντο ἐξ ἐκείνης τῆς μάχης.

10 Τοῖς περὶ Σαλαμ.) Ἐνθένδε γὰρ Ξέρξου σὺν πολλαῖς μυριάσι στρατοῦ, καὶ νεῶν εἰς Ἑλλάδα, καὶ πᾶσαν μονονοῦ χειρώσαντος, μόνοι Ἀθηναῖοι ἐνίκησαν ναυμαχήσαντες, κατὰ τὰ στενὰ, πρῶτον μὲν ἐν Ἀρτεμισίῳ τῷ περὶ τὴν Εὔβοιαν· δεύτερον δὲ περὶ Σαλαμῖνα τὴν ἀπέναντι Ἀθηνῶν. Θεμιστοκλέους στρατηγοῦντος καὶ τὴν ναυμαχίαν οὕτω διατάττοντος γενέσθαι.

ἡ. Ἐπιόντα) Συμβάντα, παρακολουθήσαντα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λατταν, καὶ ὡς ἠμύναντο ταῦτα. Ὁ δέ μοι δοκεῖ καὶ ἐκείνων κάλλιστον εἶναι, τούτου μνησθήσομαι, ὅτι τὸ ἐξῆς ἔργον τοῖς Μαραθῶνι διεπράξαντο. Οἱ μὲν γὰρ Μαραθῶνι τοσοῦτον μόνον ἐπεδείξαντο τοῖς Ἕλλησιν, ὅτι κατὰ γῆν οἴοντε ἀμύνασθαι τοὺς Βαρβάρους ὀλίγοις πολλοὺς· νυνὶ δὲ ἔτι ἦν ἄδηλον. Καὶ δόξαν εἶχον Πέρσαι ἄμαχοι εἶναι κατὰ θάλατταν, καὶ πλήθει καὶ πλούτῳ, καὶ τέχνῃ καὶ ῥώμῃ. Τοῦτο δὴ ἄξιον ἐπαινεῖν τῶν ἀνδρῶν τῶν τότε ναυμαχησάντων, ὅτι τὸν ἐχθρὸν φόβον διέλυσαν τῶν Ἑλλήνων, καὶ ἔπαυσαν φοβουμένους πλῆθος νεῶν τε καὶ ἀνδρῶν. Ὑπ' ἀμφοτέρων δὴ ξυμβαίνει, τῶν τε Μαραθῶνι μαχεσαμένων καὶ τῶν ἐν Σαλαμῖνι ναυμαχησάντων παιδευθῆναι τοὺς ἄλλους Ἕλληνας, ὑπὸ μὲν τῶν, κατὰ γῆν, ὑπὸ δὲ τῶν, κατὰ θάλατταν, μαθόντας καὶ εἰδισθέντας μὴ φοβεῖσθαι τοὺς Βαρβάρους. Τρίτον δὲ λέγω τὸ ἐν Πλατειαῖς ἔργον καὶ ἀριθμῷ καὶ ἀρετῇ γενέσθαι τῆς Ἑλληνικῆς σωτηρίας, κοινὸν ἤδη τοῦτο Λακεδαιμονίων τε καὶ Ἀθηναίων. Τὸ μὲν οὖν μέγιστον καὶ χαλεπώτατον οὗτοι πάντες ἤμυναν, καὶ διὰ ταύτην τὴν ἀρετὴν νῦν τε ὑφ' ἡμῶν ἐγκωμιάζονται, καὶ εἰς τὸν ἔπειτα χρόνον ὑπὸ τῶν ὕστερον. Μετὰ δὲ τοῦτο, πολλαὶ μὲν πόλεις τῶν Ἑλλήνων ἔτι ἦσαν μετὰ τοῦ Βαρβάρου, αὐτὸς δὲ ἠγέλετο βασιλεὺς διανοεῖσθαι ὡς ἐπιχειρήσων πάλιν ἐπὶ τοὺς Ἕλληνας.

Ϛ'. Δίκαιον δὴ καὶ τούτων ἡμᾶς ἐπιμνησθῆναι, οἱ τοῖς τῶν προτέρων ἔργοις τέλος τῆς σωτηρίας ἐπέθεσαν, ἀνακαθηράμενοι καὶ ἐξελάσαντες πᾶν τὸ βάρβαρον ἐκ τῆς θαλάττης. Ἦσαν δὲ οὗτοι οἵ τε ἐπ' Εὐρυμέδοντι ναυμαχήσαντες, καὶ οἱ εἰς Κύπρον στρατεύσαντες, καὶ οἱ εἰς Αἴγυπτον πλεύσαντες, καὶ ἄλλοσε

— Καὶ ὡς ἠμύναντο ταῦτα) Καὶ τίνα τρόπον ἠμύναντο τὰ ἐπιόντα ταῦτα.

— Ὅτι τὸ ἑξῆς ἔργον τοῖς) Το ἑπόμενον τοῖς μαχεσαμένοις ἐν Μαραθ.

2. Ὀλίγοις) Σὺν ὀλίγοις ὀλ.

5 Τὸ ἐν Πλαταιαῖς) Πτοηθεὶς γὰρ Ξέρξης κατὰ θάλατταν ἐν Σαλαμῖνι κατὰ κράτος, Θεμιστοκλέους μηνύσαντος, ὅτι οἱ Ἕλληνες ὁ ἀνοιξόντες τὴν κατὰ τὸν Ἑλλήσποντον γέφυραν διαλύσαι, φοβηθεὶς ἀνεχώρησε; Μαρδόνιον ἑλὼν μετὰ πλήθους στρατοῦ ὃν οἱ Ἕλληνες πολλῷ ἥττονες ὄντες, κατὰ κράτος ἐν Πλαταιαῖς νικήσαντες μάχῃ πᾶσαν τὴν Ἑλλάδα ἐλευθέραν κατέστησαν ἀπὸ τῶν Βαρβάρων.

7. Αὐτὸς δὲ ἠγέλ.) Ἦν γὰρ λόγος ὅτι ὁ βασιλεὺς Περσῶν διεννοεῖτο ἔνα πάλιν ἐπιχειρήσῃ κατὰ τῶν Ἑλλήνων.

Ϛ' 2. Ἐπ' Εὐρυμέδοντι) Κίμωνος τοῦ Μιλτιάδου στρατηγοῦντος, ἐνίκησαν Ἀθηναῖοι καὶ οἱ σύμμαχοι τοὺς Πέρσας ἐν ποταμῷ Εὐρυμέδοντι τῷ κατὰ τὴν Παμφυλίαν τῆς Ἀσίας ἀντέπερα Κύπρου πρὸς βορράν. Τότε γὰρ Κίμων νικήσας πεζῶν ναυμαχίᾳ τοὺς βαρβάρους, καὶ τὰς ναῦς αὐτῶν λαβών, τοὺς ἑαυτοῦ στρατιώτας Περσικαῖς στολαῖς ἐνδυσάμενος, ἀπέβη εἰς Κύπρον, καὶ αἴφνης τὸ τῶν βαρβάρων στρατόπεδον καταλαβών μηδὲ προσδοκώντων, ἄλλως τε καὶ διὰ τὴν ἐσθῆτας Πέρσας βοήθειαν αὐτοῖς ἐρχομένην οἰομένων. Κἀκεῖθεν μετὰ ταῦτα καὶ εἰς Αἴγυπτον ἐστράτευσαν καὶ ἄλλοσε πολλαχόσε. Θουκδ. Α'. ρ . . ρλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πολλαχόσε· ὧν χρὴ μεμνῆσθαι, καὶ χάριν αὐτοῖς εἰδέναι ὅτι βασιλέα ἐποίησαν, δείσαντα, τῇ ἑαυτοῦ σωτηρίᾳ τὸν νοῦν προ-
3 σέχειν, ἀλλὰ μὴ τῇ τῶν Ἑλλήνων ἐπιβουλεύειν φθορᾷ. Καὶ οὗτος μὲν δὴ πάσῃ τῇ πόλει διηντλήθη ὁ πόλεμος, ὑπὲρ ἑ-
4 αυτῶν τε καὶ τῶν ἄλλων ὁμοφώνων πρὸς τοὺς Βαρβάρους. Εἰρήνης δὲ γενομένης, καὶ τῆς πόλεως τιμωμένης, ἦλθεν ἐπ' αὐτὴν, ὁ δὴ φιλεῖ ἐκ τῶν ἀνθρώπων τοῖς εὖ πράττουσι προσπίπτειν, πρῶτον μὲν, ζῆλος, ἀπὸ ζήλου δὲ φθόνος. Ὃ καὶ τὴν δε τὴν πόλιν ἄκουσαν ἐν πολέμῳ τοῖς Ἕλλησι κατέστησε.

ι. Μετὰ δὲ τοῦτο γενομένου πολέμου, συνέβαλον μὲν ἐν Τανάγρᾳ, ὑπὲρ τῆς Βοιωτῶν ἐλευθερίας Λακεδαιμονίοις μαχόμενοι· ἀμφισβητησίμου δὲ τῆς μάχης γενομένης, διέκρινε τὸ ὕ-
2 στερον ἔργον. Οἱ μὲν γὰρ ᾤχοντο ἀπιόντες, καταλιπόντες Βοιωτοὺς, οἷς ἐβοήθουν· οἱ δ' ἡμέτεροι, τρίτῃ ἡμέρᾳ ἐν Οἰνοφύτοις
3 νικήσαντες, τοὺς ἀδίκως φεύγοντας, δικαίως κατήγαγον. Οὗτοι δὴ πρῶτοι μετὰ τὸν Περσικὸν πόλεμον, Ἕλλησιν ἤδη ὑπὲρ τῆς ἐλευθερίας βοηθοῦντες πρὸς Ἕλληνας, ἄνδρες ἀγαθοὶ γενόμενοι, καὶ ἐλευθερώσαντες οἷς ἐβοήθουν, ἐν τῷδε τῷ μνήματι
4 τιμηθέντες ὑπὸ τῆς πόλεως πρῶτοι ἐτέθησαν. Μετὰ δὲ ταῦτα πολλοῦ πολέμου γενομένου, καὶ πάντων τῶν Ἑλλήνων ἐπιστρατευσάντων, καὶ τεμόντων τὴν χώραν, καὶ ἀναξίαν χάριν ἐκτινόντων τῇ πόλει, νικήσαντες αὐτοὺς ναυμαχίᾳ οἱ ἡμέτεροι, καὶ λαβόντες αὐτῶν τοὺς ἡγεμόνας Λακεδαιμονίους ἐν τῇ Σφαγίᾳ, ἐξὸν αὐτοῖς διαφθεῖραι, ἐφείσαντο, καὶ ἀπέδοσαν, καὶ εἰρήνην ἐποιήσαντο· ἡγούμενοι πρὸς μὲν τὸ ὁμόφυλον μέχρι νίκης δεῖν πολεμεῖν, καὶ μὴ δι' ὀργὴν ἰδίαν πόλεως, τὸ κοινὸν τῶν Ἑλλήνων διολλύναι· πρὸς δὲ τοὺς Βαρβάρους, μέχρι διαφθορᾶς.

---

3. Καὶ οὗτος μὲν δὴ) Ὅσπερ ἐστί. Σύμπασα ἡ πόλις ἐξαντλήσασα πάντα τὰ ἑαυτῆς διήνυσε τοῦτον τὸν πόλεμον ὑπὲρ τε τῶν πολιτῶν αὐτῶν καὶ τῶν συμμάχων. Ἡ δὲ λέξις Διηντλήθη ἐκ μεταφορᾶς ἐλήφθη τῶν φρεάτων· δηλοῦσα ὅτι καὶ αἷμα, καὶ δαπάναι, καὶ πάντα χρήματα διήντλησεν ἡ πόλις.

4. Ὃ καὶ τὴν δε) φθονήσαντες γὰρ οἱ Λακεδαιμόνιοι μὴ οἱ Ἀθηναῖοι ἐν παντὶ εὐδοκιμοῦντες, περιγένωνται ἁπάντων τῶν Ἑλλήνων, πόλεμον πρὸς αὐτοὺς ἐποιήσαντο.

ι. Ἐν Τανάγρᾳ) Ὁρα περὶ τούτου καὶ Θουκυδ. Α'. ρξ. ρή.

2. Οἱ μὲν γὰρ ᾤχοντο) Οἱ Λακεδαίμονες βοηθοὶ Βοιωτῶν.

— Δικαίως κατήγ.) Οὓς δηλ. Λακεδαιμόνιοι πρότερον ἐφυγάδευσαν.

3. Οἷς ἐβοήθ.) Βοιωτοῖς καὶ Φωκεῦσι.

4. Καὶ ἀναξίαν χάριν ἐκτ.) Πανταχόθεν γὰρ οἱ Ἕλληνες ἀποστάντες κατὰ τῆς Ἀττικῆς ἐφέροντο. Θουκυδ. Α'. ριγ'. . . ριζ.

— Ἐν τῇ Σφαγίᾳ) Νήσῳ καὶ Σφακτηρία καλουμένη. Δημοσθένης γὰρ καταλαβὼν Πύλον, καὶ τειχίσας, Λακεδαιμονίων οὖσαν, ἐπολιορκεῖτο πανταχόθεν ὑπὸ Λακεδαιμονίων· καὶ νήσου δὲ Σφαγίας ἐρήμου οὔσης ἀντίπεραν Πύλου, οἱ Λακεδαιμόνιοι ἐμβιβάσαντες ἄνδρας ἐπ' αὐτὴν, ἐφρούρουν. Κίμων δὲ ἐλθὼν μετὰ στρατιᾶς τῶν ἀνδρῶν τούτων τοὺς πλείστους ζῶντας εἰς Ἀθήνας ἠγάγετο·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Τούτους δὴ ἄξιον ἐπαινέσαι τοὺς ἄνδρας, οἳ τοῦτον τὸν πόλε- 5
μον πολεμήσαντες, ἐνθάδε κεῖνται, ὅτι ἐπέδειξαν, εἴτις ἄρα ἠμ-
ορισθήσει, ὡς ἐν τῷ προτέρῳ πολέμῳ τῷ πρὸς τοὺς βαρβάρους,
ἄλλοι τινὲς εἶεν ἀμείνους Ἀθηναίων, ὅτι οὐκ ἀληθῆ ἀμορισθη-
τοῖεν. Οὗτοι γὰρ ἐνταῦθα ἔδειξαν, στασιασάσης τῆς Ἑλλάδος 6
περιγενόμενοι τῷ πολέμῳ, τοὺς προεστῶτας τῶν ἄλλων Ἑλ-
λήνων χειρωσάμενοι, μεθ' ὧν τότε τοὺς βαρβάρους ἐνίκων κοι-
νῇ, τούτους νικῶντας ἰδίᾳ.

ιά. Τρίτος δὲ πόλεμος μετὰ ταύτην τὴν εἰρήνην ἀνέλπιστός
τε καὶ δεινὸς ἐγένετο· ἐν ᾧ πολλοὶ καὶ ἀγαθοὶ τελευτήσαντες,
ἐνθάδε κεῖνται· πολλοὶ μὲν ἀμφὶ Σικελίαν πλεῖστα τρόπαια στή- 2
σαντες, ὑπὲρ τῆς Λεοντίνων ἐλευθερίας, οἷς βοηθοῦντες διὰ τοὺς
ὅρκους, ἔπλευσαν εἰς ἐκείνους τοὺς τόπους. Διὰ δὲ μῆκος τοῦ
πλοῦ εἰς ἀπορίαν τῆς πόλεως καταστάσης, καὶ οὐ δυναμένης αὐ-
τοῖς ὑπηρετεῖν, τούτῳ ἀπειπόντες, ἐδυστύχησαν. Ὧν οἱ ἐχθροὶ 3
καὶ προσπολεμήσαντες πλείω ἔπαινον ἔχουσι σωφροσύνης καὶ
ἀρετῆς, ἢ τῶν ἄλλων οἱ φίλοι· πολλοὶ δ' ἐν ταῖς ναυμαχίαις
ταῖς καθ' Ἑλλήσποντον, μιᾷ ἡμέρᾳ πάσας τὰς τῶν πολεμίων
ἑλόντες ναῦς, πολλὰς δὲ καὶ ἄλλας νικήσαντες. Ὃ δ' εἶπον δει- 4
νὸν καὶ ἀνέλπιστον τοῦ πολέμου γενέσθαι, τόδε λέγω, τὸ εἰς
τοσοῦτον φιλονεικίας ἐλθεῖν πρὸς τὴν πόλιν τοὺς ἄλλους Ἕλ-
ληνας, ὥστε τολμῆσαι τῷ ἐχθίστῳ ἐπικηρυκεύσασθαι βασιλεῖ,
ἐν κοινῇ ἐξέβαλον μεθ' ἡμῶν, ἰδίᾳ τοῦτον πάλιν ἐπάγεσθαι
Βαρβάρων ἐφ' Ἕλληνας, καὶ συναθροῖσαι ἐπὶ τὴν πόλιν πάν-
τας Ἕλληνάς τε καὶ Βαρβάρους. Οὐ δὴ καὶ ἐκφανὴς ἐγένετο 5
ἡ τῆς πόλεως ῥώμη τε καὶ ἀρετή. Οἰομένων γὰρ ἤδη αὐτὴν

οὓς δή, εἰρήνης γενομένης, ἀπέδωκαν Ἀθηναῖοι (Θουκυδ. Δ'. γ'. . . μά, καὶ ριζ'.

6. Τῷ πολέμῳ) Ἐν τῷ πολέμ.

— Τοὺς προεστῶτ.) Τοὺς Λακεδαιμονίους νικήσαντες, καὶ ξώντας λαβόντες τοὺς ἐν τῇ Σφακτηρίᾳ.

ιά. 2. Τῆδε Λεοντίνων ἐλευθ.) Ἔπεμψαν γὰρ Ἀθηναῖοι ἐκστρατείαν εἰς Σικελίαν ὑπὲρ Λεοντίνων ἐλευθερίας, καταπολεμουμένων ὑπὸ Συρακουσίων, Ἀλκιβιάδους γνώμῃ. Τύχῃ κατ' ἀρχὰς μὲν εὐτύχουν, ἔπειτα δὲ ἐδυστύχησαν ἀπειπόντ.

3. Ὧν οἱ ἐχθροί, καὶ προσπ.) Τούτων δὲ οἱ ἐχθροί, καὶ ἔτι μὴ καταπαύσαντες τὸν πόλεμον, πλεῖω παρέχουσιν ἔπαινον τῆς σωφροσύνης καὶ ἀρετῆς, ἢ ὅσον ἔπαινον παρέχουσιν οἱ φίλοι τῶν ἄλλων. Τὸ δ' Ἔχω ὅτι ἐστὶν ἀντὶ τοῦ Παρέχω δῆλον καὶ ἐκ τοῦ Θουκυδ. Β'. μά. »Καὶ μόνη (ἡ τῶν Ἀθηναίων πόλις) »οὔτε τῷ πολεμίῳ ἐπειθόμενοι ἀγανάκτη»σιν ἔχει, ὑφ' οἵων κακοπαθεῖ. Οὔτε τῷ »ὑπηκόῳ κατάμεμψιν, ὡς οὐχ ὑπ' ἀξίων ἄρχεται, ὅπερ ἔστια. Μόνη ἡ Ἀθηναίων πόλις οὐ παρέχει ἀγανάκησιν τῷ πολεμίῳ ἐπιλυόντι, ὡς εἰδότι ὅτι ὑπὸ μεγάλων τινῶν κακοπαθεῖ· οὔτε παρέχει αἰτίαν τῷ ὑπηκόῳ καταμέμψεσθαι, ὡς ἀναξίων ὄντων τῶν ἀρχόντων.

— Μιᾷ ἡμέρᾳ) Ἐν Προικονήσῳ Ἀλκιβιάδους στρατηγοῦντος. Ξενοφ. Ἑλλην. Δ'. ά. 12.

4. Τῷ ἐχθίστῳ ἐπικηρ.) Οἱ γὰρ Λακεδαιμόνιοι συνεμάχησαν κατὰ τῶν Ἀθηναίων τῷ βασιλεῖ τῶν Περσῶν Θουκυδ. Η'. ιά.

5. Οὐ δή) Ἐξ οὗ δή. — Καὶ Ἀπειλημμένων ἐν Μιτυλ.) Ξενοφ. Ἑλλην.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καταπεπολεμῆσθαι, καὶ ἀπειλημμένων ἐν Μιτυλήνῃ τῶν νεῶν, βοηθήσαντες ἑξήκοντα ναυσίν, αὐτοὶ ἐμβάντες εἰς τὰς ναῦς, καὶ ἄνδρες γενόμενοι ὁμολογουμένως ἄριστοι, νικήσαντες μὲν τοὺς πολεμίους, λυσάμενοι δὲ τοὺς φίλους, ἀναξίου τύχης τυχόντες, οὐκ ἀναιρεθέντες ἐν τῇ θαλάττῃ, κεῖνται ἐνθάδε ὧν
6 χρὴ ἀεὶ μεμνῆσθαί τε καὶ ἐπαινεῖν. Τῇ μὲν γὰρ ἐκείνων ἀρετῇ ἐνικήσαμεν οὐ μόνον τὴν τότε ναυμαχίαν, ἀλλὰ καὶ τὸν ἄλλον πόλεμον. Δόξαν γὰρ δι' αὐτοὺς ἡ πόλις ἔσχε, μήποτ' ἂν καταπολεμηθῆναι μεθ' ὑπὸ πάντων ἀνθρώπων. Καὶ ἀληθῆ ἔ-
7 δοξε. Τῇ δὲ ἡμετέρᾳ αὐτῶν διαφορᾷ ἐκρατήθημεν, οὐχ ὑπὸ τῶν ἄλλων. Ἡττήτοι γὰρ ἔτι καὶ νῦν ὑπόγε ἐκείνων ἐσμέν· ἡμεῖς δὲ αὐτοὶ ἡμᾶς αὐτοὺς καὶ ἐνικήσαμεν, καὶ ἡττήθημεν.
8 Μετὰ δὲ ταῦτα ἡσυχίας γενομένης, καὶ εἰρήνης πρὸς τοὺς ἄλλους, ὁ οἰκεῖος ἡμῖν πόλεμος οὕτως ἐπολεμήθη, ὥστε εἴπερ εἰμαρμένον εἴη ἀνθρώποις στασιάσαι, μὴ ἂν ἄλλως εὔξασθαι
9 μηδένα πόλιν ἑαυτοῦ νοσῆσαι. Ἐκ τε γὰρ τοῦ Πειραιέως καὶ τοῦ ἄστεως ὡς ἀσμένως καὶ οἰκείως ἀλλήλοις συνέμιξαν οἱ πολῖται, καὶ παρ' ἐλπίδα τοῖς ἄλλοις Ἕλλησι, τόν τε πρὸς τοὺς ἐν Ἐλευσῖνι πόλεμον ὡς μετρίως ἔθεντο. Καὶ τούτων ἁπάν-
10 των οὐδὲν ἄλλ' αἴτιον, ἢ τῷ ὄντι ξυγγένεια, φιλίαν βέβαιον καὶ ὁμόφυλον οὐ λόγῳ ἀλλ' ἔργῳ παρεχομένη.

ιδ'. Χρὴ δὲ καὶ τῶν ἐν τούτῳ τῷ πολέμῳ τελευτησάντων ὑπ' ἀλλήλων μνείαν ἔχειν, καὶ διαλλάττειν αὐτούς, ᾧ δυνάμεθα, εὐχαῖς καὶ θυσίαις ἐν τοῖς τοιοῖσδε τοῖς κρατοῦσιν αὐτῶν εὐχομένους, ἐπειδὴ καὶ ἡμεῖς διηλλάγμεθα. Οὐ γὰρ κακίᾳ ἀλ-
2 λήλων ἥψαντο, οὐδ' ἔχθρᾳ, ἀλλὰ δυστυχίᾳ. Μάρτυρες δὲ ἡμεῖς αὐτοὶ ἐσμὲν τούτων, οἱ ζῶντες. Οἱ αὐτοὶ γὰρ ὄντες ἐκείνοις γένει, συγγνώμην ἀλλήλοις ἔχομεν ὧν τ' ἐποιήσαμεν, ὧν

Α'. ς'. 24. ἐν γὰρ Μιτυλήνῃ ἐνίκησαν μὲν Λακεδαιμονίους Ἀθηναῖοι, τοὺς δὲ ἑξήκοντα νεῶς διὰ τὸν χειμῶνα οὐκ ἠδυνήθησαν ἀνελεῖν καὶ Ξάνθ.

7. Ἐκρατήθημεν.) Στασιάζοντων γὰρ ἡμῶν καὶ διαφερομένων, τάς τε ναῦς εἶχον Λακεδαιμόνιοι ἐν Αἰγὸς ποταμοῖς καὶ τὴν πόλιν ὑφ' ἑνὸς ἐπιτήδευσαν τῇ ἐκείνου δόξῃ Ξενοφ. Ἑλλην. Β'. δ'. 12. καὶ Β'. 13, 14.

— Ἡττήτοι.) Θουκυδίδου γὰρ τὴν πόλιν ἐλευθεώσαντος, ἠττήτοι ὑπὸ Λακεδαιμονίων εἶεν ἂν Ἀθηναῖοι.

8. Πολεμηθῆ.) Θουκυδίδης μετὰ δεδοκιμάκοτα ἐκ Φυλῆς χώρας ἀφικέσθαι τὸν Πειραιὰ κατεσχε, καὶ οἱ ἐν ἄστει ἐπολέμουν αὐτῷ Λακεδαιμονίους βοηθοὺς ἐπικαλεσάμενοι· κλῆσις δὲ Θρασυβούλου, συναπτόμενοι μὲν τοῦ Λακεδαιμονίων βασιλέως, ἀνῆγον εἰς ἄστυ καὶ τὰ ἀρχαῖα νόμιμα κατέστησε, καὶ πρὸς τοὺς εἰς Ἐλευσῖνα κατεφυγόντας διηλλάξατο Ξενοφ. Ἑλλην. Β'. δ'. 3. . . . 30.

10. Οὐδὲν ἄλλο αἴτιον ἢ ξυγ.) Συνέβη καὶ γὰρ πρὸς ἀλλήλους οἵ τε ἐν Πειραιεῖ, καὶ οἱ ἐν ἄστει εὐχερῶς, ὁμοίως δὲ καὶ οἱ ἐν Ἐλευσῖνι διὰ τὸ ξυγγενές· καὶ τὰ

— Βέβαιον) Ἀττικῶς ἀντὶ βεβαίαν.

ιδ'. Ὧν δυνάμεθα.) Τούτῳ τῷ τρόπῳ, καθ' ὃν δυνάμεθα διαλλάττειν αὐ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τ' ἐπάθομεν. Μετὰ δὲ τοῦτο παντελοῦς εἰρήνης ἡμῖν γενομένης, 3
ἡσυχίαν ἦγεν ἡ πόλις, τοῖς μὲν βαρβάροις συγγινώσκουσα, ὅτι
παθόντες ὑπ' αὐτῆς κακῶς ἱκανῶς, οὐκ ἐνδεῶς ἠμύνοντο· τοῖς
δὲ Ἕλλησιν ἀγανακτοῦσα, μεμνημένη ὡς εὖ παθόντες ὑπ' αὐ-
τῆς, οἷαν χάριν ἀπέδοσαν, κοινωσάμενοι τοῖς βαρβάροις, τάς
τε ναῦς περιελόμενοι, αἳ ποτ' ἐκείνους ἔσωσαν, καὶ τεῖχη κα-
θελόντες, ἀνθ' ὧν ἡμεῖς τἀκείνων ἐκωλύσαμεν πεσεῖν. Διανοου-
μένη δὲ ἡ πόλις μὴ ἂν ἔτι ἀμῦναι μή τε Ἕλλησι πρὸς ἀλλή- 4
λων δουλουμένοις, μήτε ὑπὸ βαρβάρων, οὕτως ᾤκει. Ἡμῶν οὖν
ἐν τοιαύτῃ διανοίᾳ ὄντων, ἡγησάμενοι Λακεδαιμόνιοι τοὺς μὲν
τῆς ἐλευθερίας ἐπικούρους πεπτωκέναι ἡμᾶς, σφέτερον δὲ ἤδη
ἔργον εἶναι καταδουλοῦσθαι τοὺς ἄλλους, ταῦτ' ἔπραττον.

ιγ'. Καὶ μακύνειν μέν τί δεῖ; Οὐ γὰρ πάλαι οὐδὲ πόλλων
ἀνθρώπων γεγονότα λέγοιμ' ἂν τὰ μετὰ ταῦτα. Αὐτοὶ γὰρ ἴ-
σμεν ὡς ἐκπεπληγμένοι ἀφίκοντο εἰς χρείαν τῆς πόλεως τῶν 2
τε Ἑλλήνων οἱ πρῶτοι, Ἀργεῖοι, καὶ Βοιωτοί, καὶ Κορίνθιοι
καὶ τό γε θειότατον πάντων, τὸ καὶ βασιλέα εἰς τοῦτο ἀπο-
ρίας ἀφικέσθαι, ὥστε περιστῆναι αὐτῷ μηδαμόθεν ἄλλοθεν τὴν
σωτηρίαν γενέσθαι ἀλλ' ἢ ἐκ ταύτης τῆς πόλεως, ἣν προθύ-
μως ἀπώλλυ. Καὶ δὴ καὶ εἴτις βούλοιτο τῆς πόλεως κατη- 3
γορῆσαι δικαίως, τοῦτ' ἂν μόνον λέγων ὀρθῶς ἂν κατηγοροῖ,
ὡς ἀεὶ λίαν φιλοικτίρμων ἐστί, καὶ τοῦ ἥττονος θεραπής. Καὶ
δὴ καὶ ἐν τῷ τότε χρόνῳ οὐχ οἷά τε ἐγένετο καρτερῆσαι, οὐδὲ 4
διαφυλάξαι, ἃ ἐδέδοκτο αὐτῇ, τὸ μηδενὶ δουλουμένῳ βοηθεῖν
τῶν σφᾶς ἀδικησάντων· ἀλλὰ ἐκάμφθη, καὶ ἐβοήθησε, καὶ τοὺς
μὲν Ἕλληνας αὕτη βοηθήσασα ἀπέλυσατο δουλείας, ὥστ' ἐλευ-
θέρους εἶναι, μέχρις οὗ πάλιν αὐτοὶ αὐτοὺς κατεδουλώσαντο.
Βασιλεῖ δὲ αὕτη μὲν οὐκ ἐτόλμησε βοηθῆσαι, αἰσχυνομένη τὰ
τρόπαια τά τε Μαραθῶνι καὶ Σαλαμῖνι καὶ Πλαταιαῖς. Φυ- 5
γάδας δὲ καὶ ἐθελοντὰς ἐάσασα μόνον βοηθῆσαι, ὁμολογουμέ-

τῶν τὰς ψυχὰς, ἐπειδὴ πρὸς ἀλλήλους ἐμαχέσαντο. Ἀθηναῖοι ὅλ. πρὸς Ἀθηναίους. Εἰτ' οὖν εὐχόμενοι, διαλλαξομεν αὐτοὺς, προσφέροντες εὐχὰς καὶ θυσίας. Νόμος γὰρ παρ' Ἀθηναίοις ἦν, εἴτις τινὰ ἀκουσίως κτείνειε, θυσίαις καὶ εὐχαῖς διαλλάττεσθαι· διὰ ταῦτα ἐνταῦθα λέγει· ἐπειδὴ οὐ κακὰ οὐδ' ἔχθρα πρὸς ἀλλήλους ἐν τοῖς πολέμοις τούτοις Ἀθηναῖοι ἐγενέθησαν, εὐχαῖς καὶ θυσίαις ἐξιλάσασθαι.

4. Ταῦτ' ἔπραττον) Κατεδουλοῦντο ὅλ. τοὺς Ἕλληνας.

ιγ'. 2. Καὶ τό γε θειότατον πάντων) Ἀγησιλάου γὰρ ἐν Ἀσίᾳ ὑπὲρ τῶν ἐκεῖ ἑλλήνων στρατεύσαντος, καὶ νικῶντος, ὁ τῶν Περσῶν βασιλεὺς ἄλλους τε τῶν Ἑλλήνων εἰς συμμαχίαν ἐκαλέσατο καὶ Ἀθηναίους. Ξενοφ. Ἑλλην. Γ'. ε. Ἐκ τούτου οὖν πάλιν πόλεμος Ἑλλήνων ἐγένετο πρὸς Ἕλληνας, οἷς ἐβοήθουν Ἀθηναῖοι. Ξενοφ. Ἑλλην. Δ'. ε.

3. Καὶ τοῦ ἥττονος θεραπ.) Καὶ θεραπεύει, περιποιεῖται τὸ ἥττον μέρος.

5. Τά τε Μαραθῶνι) Ἐλλείπει ἡ Ἐν. — Ἔσωσε) Τὸν βασιλέα ὅλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

6 κως ἔσωσε· τειχισαμένη δὲ καὶ νοσοποιησαμένη, ἐκδεξαμένη τὸν πόλεμον, ἐπειδὴ ἠναγκάσθη πολεμεῖν, ὑπὲρ Παρίων ἐπολέμει Λακεδαιμονίοις.

ιδ'. Φοβηθεὶς δὲ βασιλεὺς τὴν πόλιν, ἐπειδὴ ἑώρα Λακεδαιμονίους τῷ κατὰ θάλατταν πολέμῳ ἀπαγορεύοντας, ἀποστῆναι βουλόμενος ἐξῄτει τοὺς Ἕλληνας, τοὺς ἐν τῇ ἠπείρῳ (οὕς-περ πρότερον Λακεδαιμόνιοι αὐτῷ ἐξέδοσαν, εἰ μέλλοι συμμαχήσειν ἡμῖν τε καὶ τοῖς ἄλλοις συμμάχοις) ἡγούμενος οὐκ
2 ἐθελήσειν, ἵν' αὐτῷ πρόφασις εἴη τῆς ἀποστάσεως. Καὶ τῶν μὲν ἄλλων συμμάχων εὐθύς, (ἠθέλησαν γὰρ αὐτῷ ἐκδιδόναι, καὶ ξυνέδοντο καὶ ὤμοσαν, Κορίνθιοι, καὶ Ἀργεῖοι, καὶ Βοιωτοί, καὶ ἄλλοι σύμμαχοι, εἰ μέλλοι χρήματα παρέξειν, ἐκδώσειν τοὺς ἐν τῇ ἠπείρῳ Ἕλληνας) μόνοι δὲ ἡμεῖς οὐκ ἐτολ-
3 μήσαμεν, οὔτε ἐκδοῦναι, οὔτε ὀμόσαι. Οὕτω δή τοι τό γε τῆς πόλεως γενναῖον καὶ ἐλεύθερον, βέβαιόν τε καὶ ὑγιές ἐστι καὶ φύσει μισοβάρβαρον, διὰ τὸ εἰλικρινῶς εἶναι Ἕλληνες καὶ ἀ-
4 μιγεῖς βαρβάρων. Οὐ γὰρ Πέλοπες, οὐδὲ Κάδμοι, οὐδὲ Αἰγύπτοί τε καὶ Δαναοί, οὐδὲ ἄλλοι πολλοί, φύσει μὲν βάρβαροι ὄντες, νόμῳ δὲ Ἕλληνες, συνοικοῦσιν ἡμῖν, ἀλλ' αὐτοὶ Ἕλ-
5 ληνες, οὐ μιξοβάρβαροι, οἰκοῦμεν. Ὅθεν καθαρὸν τὸ μῖσος ἐντέτηκε τῇ πόλει τῆς ἀλλοτρίας φύσεως· ὅμως δ' οὖν ἐμονώθημεν πάλιν, διὰ τὸ μὴ θέλειν αἰσχρὸν καὶ ἀνόσιον ἔργον ἐργάσα-
6 σθαι, Ἕλληνας Βαρβάροις ἐκδόντες. Ἑλθόντες δὲ εἰς ταῦτα, ἐξ ὧν καὶ τοπρότερον κατεπολεμήθημεν, σὺν θεῷ ἄμεινον ἢ τότε ἐθέμεθα τὸν πόλεμον. Καὶ γὰρ νεῶν καὶ τείχη ἔχοντες, καὶ τὰς ἡμετέρας αὐτῶν ἀποικίας, ἀπηλλάγημεν τοῦ πολέμου.
7 Οὕτως ἀγαπητῶς ἀπηλλάττοντο καὶ οἱ πολέμιοι. Ἀνδρῶν μέν τοι ἀγαθῶν καὶ ἐν τούτῳ τῷ πολέμῳ ἐστερήθημεν, τῶν τε ἐν

ιδ'. 3. Διὰ τὸ εἰλικρινῶς) Ὡς γνησιεῖς καὶ αὐτόχθονες.

4. Οὐ γὰρ Πέλοπ.) Πέλοψ γὰρ ἐκ Λυδίας ἐλθὼν ᾤκισεν Ἠλίδα. Κάδμος δὲ, ἐκ Φοινίκης, Θήβας. Δαναὸς δὲ ἐξ Αἰγύπτου, Ἄργος· μεθ' ὃν ἐβασίλευσεν ὁ τοῦ ἀδελφοῦ αὐτοῦ Αἰγύπτου υἱὸς Λυγκεύς· τῶν γὰρ πεντήκοντα τοῦ Δαναοῦ θυγατέρων δι' ἐπιταγῆς τοῦ πατρὸς κτεινασῶν τοὺς νυμφίους υἱοὺς Αἰγύπτου, μόνη ἡ Ὑπερμνήστρα οὐκ ἔκτεινε Λυγκέα· ὅθεν καὶ βασιλεὺς μετὰ Δαναὸν τοῦ Ἄργους κατέστη. Ἀπολλοδ. Β'. Ἐνταῦθα δὲ οὐ λέγει ὅτι Κέκροψ ἐξ Αἰγύπτου ἐλθὼν ᾤκισεν Ἀθήνας, ἣν γὰρ ἡ Ἀθηναίων πόλις βασιλευομένη ὑπὸ Ἀκταίου οὐ τῇ θυγατρὶ συνοικῶν Κέκροψ διεδέξατο τὴν ἀρχὴν· ὃν διεδέξατο πάλιν Κραναὸς αὐτόχθων.

6. Ἑλθόντες εἰς ταῦτα) Τὰ αἴτια δηλ. περὶ τῶν ἐχόντων φησὶ πολέμων.

7. Καὶ ἐν τούτῳ τῷ πολέμῳ) Τῷ μετὰ τῶν συμμάχων κατὰ Λακεδαιμονίων γενομένῳ. Ἀθηναῖοι γὰρ, Ἀργεῖοι, Βοιωτοὶ, καὶ Κορίνθιοι, διαφθαρέντες χρήματιν ὑπὸ Περσῶν βασιλέως κατὰ Λακεδαιμονίων πόλεμον ἐποιήσαντο. Κορινθίων τῶν εἰρήνης αἴτιων φονευθέντων, καὶ πολλῶν φυγαδευθέντων, οἱ φυγάδες μετὰ Λακεδαιμονίων ἐπὶ τὸ Λέχαιον ναύσταθμον Κορινθίων ἐλθόντες, νυκτὸς κατὰ κράτος εἶσαν, καὶ τοὺς ἐπεξελθόντας ἐνίκησαν. Διόδωρ. Σικελ. ΙΔ'. πρ.

— Καὶ οἱ βασιλ.) Λακεδαιμόνιοι ἐν

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Κορίνθῳ χρησαμένων δυσχωρίᾳ καὶ ἐν Λεχαίῳ, προδοσίᾳ. Ἀγαθοὶ δὲ καὶ οἱ βασιλέα ἐλευθερώσαντες, καὶ ἐκβαλόντες ἐκ τῆς θαλάττης Λακεδαιμονίους. Ὧν ἐγὼ μὲν ὑμᾶς ἀναμιμνήσκω, 8
ὑμᾶς δὲ πρέπει ξυνεπαινεῖν τε καὶ κοσμεῖν τοιούτους ἄνδρας.

ιέ. Καὶ τὰ μὲν δὴ ἔργα ταῦτα τῶν ἀνδρῶν τῶν ἐνθάδε κειμένων, καὶ τῶν ἄλλων, ὅσοι ὑπὲρ τῆς πόλεως τετελευτήκασι, πολλὰ μὲν τὰ εἰρημένα καὶ καλά, πολὺ δ' ἔτι πλείω καὶ καλλίω τὰ ὑπολειπόμενα· πολλαὶ γὰρ ἂν ἡμέραι καὶ νύκτες οὐχ ἱκαναὶ γένοιντο τῷ τὰ πάντα μέλλοντι παραίνειν. Τούτων οὖν χρὴ μεμνημένους, τοῖς τούτων ἐκγόνοις πάντ' ἄνδρα παρακε- 2
λεύεσθαι, ὥσπερ ἐν πολέμῳ μὴ λείπειν τὴν τάξιν τὴν τῶν προγόνων, μηδ' εἰς τοὐπίσω ἀναχωρεῖν ἥκοντας κάκῃ. Ἐγὼ μὲν 3
οὖν καὶ αὐτός, ὦ παῖδες ἀνδρῶν ἀγαθῶν, νῦν τε παρακελεύομαι, καὶ ἐν τῷ λοιπῷ χρόνῳ, ὅπου ἂν τῳ ἐντυγχάνω ὑμῶν, καὶ ἀναμνήσω καὶ διακελεύσομαι προθυμεῖσθαι εἶναι ὡς ἀρίστους. Ἐν δὲ τῷ παρόντι δίκαιός εἰμι εἰπεῖν ἃ οἱ πατέρες ἡμῖν ἐπέ- 4
σκηπτον ἀπαγγέλειν τοῖς λειπομένοις, εἴτι πάσχοιεν, ἡνίκα κινδυνεύειν ἔμελλον. Φράσω δὲ ὑμῖν ἅ τε αὐτῶν ἥκουσα ἐκείνων, 5
καὶ οἷα νῦν ἡδέως ἂν εἴποιεν ὑμῖν, λαβόντες δύναμιν· τεκμαιρόμενος ἐξ ὧν τότε ἔλεγον.

ιϛ'. Ἀλλὰ νομίζειν χρὴ αὐτῶν ἀκούειν ἐκείνων ἃ ἂν ἀπαγγέλλω. Ἔλεγον δὲ τάδε, Ὦ παῖδες, ὅτι μέν ἐστε πατέρων ἀ- 2
γαθῶν, αὐτὸ μηνύει τὸ νῦν παρόν· ἡμῖν δὲ ἐξὸν ζῆν μὴ καλῶς, καλῶς αἱρούμεθα μᾶλλον τελευτᾶν, πρὶν ἡμᾶς τε καὶ τοὺς ἔπειτα εἰς ἀνείδη καταστῆσαι, καὶ πρὶν τοὺς ἡμετέρους πατέρας καὶ πᾶν τὸ πρόσθεν γένος αἰσχῦναι· ἡγούμενοι τῷ τοὺς αὐτοῦ αἰσχύνοντι ἀβίωτον εἶναι, καὶ τῷ τοιούτῳ οὔτέ τινα ἀνθρώπων οὔτε θεῶν φίλον εἶναι, οὐτ' ἐπὶ γῆς, οὐδ' ὑπὸ γῆς, τελευτήσαντι. Χρὴ οὖν, μεμνημένους τῶν ἡμετέρων λόγων, ἐάν τι καὶ ἄλλο ἀ- 3
σκῆται, ἀσκεῖν μετ' ἀρετῆς· εἰδότας ὅτι τούτου λειπόμενα πάντα καὶ κτήματα καὶ ἐπιτηδεύματα, αἰσχρὰ καὶ κακά. Οὔτε γὰρ 4
πλοῦτος κάλλος φέρει τῷ κεκτημένῳ, μετ' ἀνανδρίας, (ἄλλῳ γὰρ ὁ τοιοῦτος πλουτεῖ, καὶ οὐχ ἑαυτῷ) οὔτε σώματος κάλλος

Κείδω, ἡγουμένου Κόνωνος τοῦ Περσικοῦ στόλου, νικηθέντες παρέλιπον τὴν τῆς θαλάττης ἡγεμονίαν τοῖς Ἀθηναίοις. Διόδωρ. Σικελ. ΙΔ'. πδ'.

ιέ. 4. Ἃ οἱ πατέρες ἡμῖν ἐπέσκ.) Συνεβούλευον ἡμῖν ἀπαγγέλλει ὑμῖν τοῖς λειπομένοις.

5. Λαβόντες δύν.) τοῦ λέγειν, εἰ ἦν αὐτοῖς ἀναστῆναι ἐκ τῶν νεκρῶν.

ιϛ'. 2. Μὴ καλῶς) Αἰσχρῶς δηλ. καὶ δουλοπρεπῶς.

— Ἡγούμενοι τῷ) Ἡγούμενοι ὅτι ἔστιν ἀβίωτον, εἴ τις αἰσχύνοι τοὺς ἑαυτοῦ.

3. Τούτου λειπόμ.) Πάντα εἰσὶν αἰσχρὰ καὶ κακά, ἐὰν λείπωνται τούτου· δηλ. τῆς ἀρετῆς ἀπούσης, τὰ πάντα εἰσὶν αἰσχρά.

4. Ἄλλῳ γάρ, ὁ τοιοῦτ.) Δι' ἄλλον, οὐ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ ἰχὺς δειλῷ καὶ κακῷ ξυνοικοῦντα, πρέποντα φαίνεται, ἀλλ' ἀπρεπῆ· καὶ ἐπιφανέστερον ποιεῖ τὸν ἔχοντα, καὶ ἐκφαίνει τὴν δειλίαν. Πᾶσά τε ἐπιστήμη χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλ-
5 λης ἀρετῆς, πανουργία, οὐ σοφία φαίνεται. Ὧν ἕνεκα καὶ πρῶτον καὶ ὕστατον καὶ διὰ παντὸς πᾶσαν πάντως προθυμίαν πειρᾶσθαι ἔχειν, ὅπως μάλιστα μὲν ὑπερβαλεῖσθε καὶ ἡμᾶς καὶ τοὺς πρόσθεν εὐκλείᾳ· εἰδὲ μή, ἴστε ὡς ἡμῖν, ἂν μὲν νικῶμεν ὑμᾶς ἀρετῇ, ἡ νίκη αἰσχύνην φέρει, ἡ δὲ ἥττα, ἐὰν ἡττώμε-
6 θα, εὐδαιμονίαν. Μάλιστα δ' ἂν νικώμεθα, καὶ ὑμεῖς νικῶντες, εἰ παρασκευάσαισθε τῇ τῶν προγόνων δόξῃ μὴ καταχρησάμενοι, μηδ' ἀναλώσαντες αὐτήν· γνόντες ὅτι ἀνδρὶ οἰομένῳ τι εἶναι, οὐκ ἔστιν αἴσχιον ἢ παρέχειν ἑαυτὸν τιμώμενον μὴ δι' ἀρε-
7 τὸν, ἀλλὰ διὰ δόξαν προγόνων. Εἶναι μὲν γὰρ τιμᾶς γονέων ἐκγόνοις, καλὸς θησαυρὸς καὶ μεγαλοπρεπής· χρῆσθαι δὲ καὶ χρημάτων καὶ τιμῶν θησαυρῷ, καὶ μὴ τοῖς ἐκγόνοις παραδιδόναι, αἰσχρὸν καὶ ἄνανδρον, ἀπορίᾳ ἰδίων αὐτοῦ κτημάτων τε
8 καὶ εὐδοξιῶν. Καὶ ἐὰν μὲν ταῦτα ἐπιτηδεύσητε, φίλοι παρὰ φίλους ἡμᾶς ἀφίξεσθε, ὅταν δὴ ὑμᾶς ἡ προσήκουσα μοῖρα κομίσῃ· ἀμελήσαντας δὲ ὑμᾶς, καὶ κακισθέντας οὐδεὶς εὐμενῶς ὑποδέξεται. Τοῖς μὲν οὖν παισὶ ταῦτ' εἰρήσθω.

ιζ. Πατέρας δὲ ἡμῶν, οἷς εἰσὶ, καὶ μητέρας εἰ χρὴ παραμυθεῖσθαι, ὡς χρὴ ῥᾷστα φέρειν τὴν συμφορὰν, ἐὰν ἄρα ξυμβῇ γενέσθαι, καὶ μὴ ξυνοδυρεσθαι· (οὐ γὰρ τοῦ λυπήσοντος προσδεήσονται· ἱκανὴ γὰρ ἔσται καὶ ἡ γενομένη τύχη τοῦτο ποιῆσαι) ἀλλ' ἰωμένους καὶ πράοντας, ἀναμιμνήσκειν αὐτοὺς, ὅτι ὧν εὔχονται, τὰ μέγιστα αὐτοῖς οἱ θεοὶ ἐπήκοοι γε-
2 γόνασιν. Οὐ γὰρ ἀθανάτους σφίσιν παῖδας εὔχοντο γενέσθαι, ἀλλ' ἀγαθοὺς καὶ εὐκλεεῖς· ὧν ἔτυχον, μεγίστων ἀγαθῶν ὄντων.

δι' ἑαυτὸν ἔχει ὁ τοιοῦτος τὸν πλοῦτον. — Καὶ ἐπιφανεστ.) Καὶ ἐν ᾧ ἄλλως ἦν αὐτῷ ἀδήλῳ εἶναι εἰ δειλός εἰς, ἢ μή· τὸ κάλλος καὶ ἡ ἰσχὺς φανερὸν αὐτοῦ ποιοῦσι τὴν δειλίαν καὶ κακίαν.

5. Ἴστε ὡς ἡμῖν) Ὁ νοῦς Ἴστε ὡς αἰσχύνην φέρει ἡμῖν τοῖς πατράσιν, ἐὰν βελτίους φανῶμεν ὑμῶν· ὑμεῖς δὲ βελτίους ἡμῶν γενόμενοι, εὐδαίμονας ἡμᾶς ποιεῖτε, μακαριζομένους ἐπὶ τοιούτοις παισι.

6. Μάλιστα δ' ἂν νικ.) Μάλιστα δὲ φέρει ἡμῖν εὐδαιμονίαν ἡ ἥττα· ἐὰν νικώμεθα ἡμεῖς, καὶ ἐὰν ὑμεῖς νικῶντες, οὕτω παρασκευάσησθε, ὥστε μὴ καταχρήσασθαι τῇ δόξῃ τῶν προγόνων, μηδ' ἀναλῶσαι αὐτήν· Τοῦτο δὲ γενήσεται, ἐὰν τοιαύτην ἔννοιαν λάβητε· ὅτι οὐδὲν ἐστὶ ἀνδρὶ οἰομένῳ εἶναί τι, ἄλλο αἴσχιον, ἢ τὸ παρέχειν ἑαυτ.

7. Εἶναι μὲν γαρ) Τὸ γὰρ εἶναι τιμᾶς ἐστὶ καλὸς θησ.

ιζ. Πατέρας δὲ ἡμ.) Εἰ χρὴ παραμυθεῖσθαι πατέρας καὶ μητέρας, φημὶ ὅτι χρὴ ῥᾷστα φέρειν τὴν συμφορ. — Οὐ γὰρ προσδεήσ.) Οἱ γονεῖς ὀλ. ὁ γὰρ θάνατος τῶν τέκνων ἱκανὸς ποιῆσαι τὴν λύπην.

— Ἀλλ' ἰωμένους.) Ἀλλὰ χρὴ ἰωμένους καὶ πραῦν. ἀναμ. αὐτούς. Τοῦτ' ἔστιν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πάντα δὲ οὐ ῥᾴδιον θνητῷ ἀνδρὶ κατὰ νοῦν ἐν τῷ ἑαυτοῦ βίῳ ἐκβαίνειν. Καὶ φέροντες μὲν ἀνδρείως τὰς συμφοράς, δόξουσι τῷ ὄντι ἀνδρείων παίδων πατέρες εἶναι, καὶ αὐτοὶ τοιοῦτοι ὑπεί- 3
κοντες δέ, ὑποψίαν παρέξουσιν ἢ μὴ ἡμέτεροι εἶναι, ἢ ἡμῶν τοὺς ἐπαινοῦντας καταψεύδεσθαι. Χρὴ δὲ οὐδέτερα τούτων· ἀλλ' ἐκείνους μάλιστα πάντων, ἡμῶν ἐπαινέτας εἶναι, ἔργῳ παρέ- 4
χοντας αὐτοὺς φαινομένους τῷ ὄντι πατέρας ὄντας ἄνδρας ἀνδρῶν. Πάλαι γὰρ δὴ τὸ Μηδὲν ἄγαν λεγόμενον, καλῶς δοκεῖ λέγεσθαι. Τῷ γὰρ ὄντι εὖ λέγεται. Ὅτῳ γὰρ ἀνδρὶ εἰς ἑαυ- 5
τὸν ἀνήρτηται πάντα τὰ πρὸς εὐδαιμονίαν φέροντα, ἢ ἐγγὺς τούτου, καὶ μὴ ἐν ἄλλοις ἀνθρώποις αἰωρεῖται, ἐξ ὧν ἢ εὖ ἢ κακῶς πραξάντων πλανᾶσθαι ἠνάγκασται καὶ τὰ ἐκείνου, τούτῳ ἄριστα παρασκευάσθαι ζῆν· οὗτος ἐστὶν ὁ σώφρων, καὶ οὗτος ὁ ἀνδρεῖος καὶ φρόνιμος· οὗτος, γιγνομένων χρημάτων καὶ παίδων, καὶ διαφθειρομένων, μάλιστα πείσεται τῇ παροιμίᾳ. Οὔτε γὰρ χαίρων οὔτε 6
λυπούμενος ἄγαν φανήσεται, διὰ τὸ αὐτῷ πεποιθέναι. Τοιούτους δὲ 7
ἡμεῖς γε ἀξιοῦμεν καὶ τοὺς ἡμετέρους εἶναι, καὶ βουλόμεθα, καὶ φαμὲν· καὶ ἡμᾶς αὐτοὺς νῦν παρέχομεν τοιούτους, οὐκ ἄγαν ἀκοῦντας, οὐδὲ φοβουμένους ἄγαν, εἰ δεῖ τελευτᾷν ἐν τῷ παρόντι.

ιή. Δεόμεθα δὴ καὶ πατέρων καὶ μητέρων, τῇ αὐτῇ ταύτῃ διανοίᾳ χρωμένους τὸν ἐπίλοιπον βίον διάγειν· καὶ εἰδέναι ὅτι οὐ θρηνοῦντες οὐδὲ ὀλοφυρόμενοι ἡμᾶς, ἡμῖν μάλιστα χαριοῦνται· ἀλλ' εἴ τις ἐστὶ τοῖς τετελευτηκόσιν αἴσθησις τῶν ζώντων, οὕτως ἀχάριστοι εἶεν ἂν μάλιστα, ἑαυτούς τε κακοῦντες, καὶ βαρέως φέροντες τὰς ξυμφοράς· κούφως δὲ καὶ μετρίως, μάλιστ' ἂν χαριζοιντο. Τὰ μὲν γὰρ ἡμέτερα τελευτὴν ἤδη ἕξει, 2
ἥπερ καλλίστη γίγνεται ἀνθρώποις· ὥστε πρέπει αὐτὰ μᾶλλον κοσμεῖν ἢ θρηνεῖν. Γυναικῶν δὲ τῶν ἡμετέρων καὶ παί- 3
δων ἐπιμελούμενοι, καὶ τρέφοντες, καὶ ἐνταῦθα τὸν νοῦν τρέποντες, τῆς τε τύχης μάλιστ' ἂν εἶεν ἐν λήθῃ, καὶ ζῷεν κάλ-

---

Ὅτι οἱ θεοὶ γεγόνασιν ἐπήκοοι αὐτοῖς κατὰ τὰ μέγιστα τῶν, ὅσα εὐχονται θεοῖς ἄνθρωποι.

2. Κατὰ νοῦν) Κατὰ βούλησιν, ἢ κατὰ τὰ αὐτῷ νοούμενα.

3. Ἢ μὴ ἡμέτ.) Τὸ Ἡμέτεροι ἀντὶ ἐκ τῶν ἡμετέρων· ἢ ὅτι οὐκ εἰσὶν ἐκ τῶν ἡμετέρων, ἢ ὅτι οἱ ἐπαινοῦντες καταψεύδονται ἡμῶν.

5. Μηδὲν ἄγαν) Γνωμικὸν Πιττακοῦ τοῦ ἐκ Μιτυλήνης ἑνὸς τῶν ἑπτὰ σοφῶν τῆς Ἑλλάδος.

— Ὅτῳ γὰρ) Ἄριστα παρεσκεύασται ζῆν ἐκείνῳ τῷ ἀνδρί, ἀφ' οὗ πάντα τὰ πρὸς εὐδαιμονίαν φέροντα ἐξήρτηται ἢ ἐγγὺς αὐτοῦ ἐστί, καὶ οὐκ αἰωρεῖται ἐν ἄλλοις ἀνθρώποις, ὧν εὐτυχησάντων, ἢ δυστυχησάντων, ἀναγκάζεται καὶ αὐτὸς συνευτυχεῖν, ἢ συνδυστυχεῖν· καὶ οὗτος ἐστὶν ὁ σώφ. καὶ τλ.

7. Εἰ δεῖ τελευτ.) Ἐπειδὴ χρὴ τοῦ παρόντος βίου τέλος ἐπιθεῖναι.

ιή. Ὀλοφυρόμενοι ἡμ.) Δι' ἡμᾶς.

— Οὕτως ἀχάριστοι εἶεν ἄν) Θρηνοῦντες δηλ. προς τοὺς τελευτηκότας εἶεν ἀχάριστοι, καὶ ὠδεμίαν μεγάλην αὐτοῖς ποιοῦσι χάριν.

2. Πρέπει αὐτὰ) Τὰ ἡμέτερα δηλ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λιον καὶ ὀρθότερον, καὶ ἡμῖν προσφιλέστερον. Ταῦτα δὴ ἱκανὰ τοῖς ἡμετέροις παρ' ἡμῶν ἀγγέλειν. Τῇ δὲ πόλει παρακε-
5 λευοίμεθ' ἄν, ὅπως ἡμῖν καὶ πατέρων καὶ υἱέων ἐπιμελήσονται, τοὺς μὲν παιδεύοντες κοσμίως, τοὺς δὲ γηροτροφοῦντες ἀξίως· νῦν δὲ ἴσμεν, ὅτι καὶ ἐὰν μὴ ἡμεῖς παρακελευώμεθα, ἱκανῶς ἐπιμελήσεται.

ιθ'. Ταῦτα οὖν, ὦ παῖδες καὶ γονεῖς τῶν τελευτησάντων, ἐκεῖνοί τε ἐπέσκηπτον ἡμῖν ἀπαγγέλλειν, καὶ ἐγὼ ὡς δύναμαι προθυμότατα ἀπαγγέλλω· καὶ αὐτὸς δέομαι ὑπὲρ ἐκείνων, τῶν μὲν, μιμεῖσθαι τοὺς αὐτῶν· τῶν δὲ, θαῤῥεῖν ὑπὲρ αὐτῶν· ὡς ἡμῶν καὶ ἰδίᾳ καὶ δημοσίᾳ γηροτροφησόντων ὑμᾶς καὶ ἐπιμελησομένων, ὅπου ἂν ἕκαστος ἑκάστῳ ἐντυγχάνῃ ὁτῳοῦν τῶν
2 ἐκείνων. Τῆς δὲ πόλεως ἔστί που καὶ αὐτοῖ τὴν ἐπιμέλειαν, ὅτι νόμους θεμένη περὶ τοὺς τῶν ἐν τῷ πολέμῳ τελευτησάντων παῖδάς τε καὶ γεννήτορας, ἐπιμελεῖται, καὶ διαφερόντως τῶν ἄλλων πολιτῶν προστέτακται φυλάττειν ἀρχὴ, ἥπερ μεγίστη ἐστίν, ὅπως ἂν οἱ τούτων μὴ ἀδικῶνται πατέρες τε καὶ μητέ-
3 ρες. Τοὺς δὲ παῖδας συνεκτρέφει αὐτή, προθυμουμένη ὁτιμάλιστ' ἄδηλον αὐτοῖς τὴν ὀρφανίαν γενέσθαι· ἐν πατρὸς σχήματι καταστᾶσα αὐτοῖς αὐτὴ, ἔτι τε παισὶν οὖσι, καὶ ἐπειδὰν
4 εἰς ἀνδρὸς τέλος ἴωσιν, ἀποπέμπει ἐπὶ τὰ σφέτερ' αὐτῶν, πανοπλίᾳ κοσμήσασα· ἐνδεικνυμένη καὶ ἀναμιμνήσκουσα τὰ τοῦ πατρὸς ἐπιτηδεύματα, ὄργανα τῆς πατρῴας ἀρετῆς διδοῦσα· καὶ ἅμα οἰωνοῦ χάριν ἄρχεσθαι ἰέναι ἐπὶ τὴν πατρῴαν ἑστίαν, ἄρξοντα μετ' ἰσχύος ὅπλοις κεκοσμημένον. Αὐτοὺς δὲ τοὺς τελευτήσαντας τιμῶσα οὐδέποτε ἐκλείπει καθ' ἕκαστον ἐνιαυτόν, αὐτὴ τὰ νομιζόμενα ποιοῦσα κοινῇ πᾶσιν ἅπερ ἰδίᾳ ἑκάστῳ ἰδίᾳ
5 γίγνεται. Πρὸς δὲ τούτοις ἀγῶνας γυμνικοὺς καὶ ἱππικοὺς τιθεῖσα, καὶ μουσικῆς πάσης, καὶ ἀτεχνῶς τῶν μὲν τελευτησάντων, ἐν κληρονόμου καὶ υἱέως μοίρᾳ καθεστηκυῖα, τῶν δὲ υἱέων, ἐν πατρὸς· γονέων δὲ καὶ τῶν τοιούτων, ἐν ἐπιτρόπου· πᾶσαν πάντων παρὰ πάντα χρόνον ἐπιμέλειαν ποιουμένη. Ὧν χρὴ ἐνθυμου-

ιθ'. Καὶ αὐτὸς δέομ.) Καὶ ἐγὼ ὑπὲρ ἐκείνων τῶν τελευτησάντων δέομαι τῶν μὲν παίδων ἵνα μιμηθῶσι τοὺς ἑαυτῶν γονεῖς· τῶν δὲ πατέρων, ἵνα ἔχωσι θάῤῥος ὑπὲρ τῶν ἀποθανόντων αὐτοῖς παίδων, ὡς ἡμῶν γηροτροφησόντων ὑμᾶς τοὺς πατέρας, καὶ ἐπιμελησομένων ὑμᾶς τοὺς παῖδας, ὅπου ἂν ἕκαστος ἐντυγχάνῃ ὁτῳοῦν ἑκάστῳ τῶν κρησκόντων ἐκείνοις τοῖς τελευτήσασι.

2 Προστέτακται φυλάτ.) Προστέτακται ἀρχὴ, ἥπερ ἐστὶ μεγίστη, ἵνα φυλάττῃ, ὅπως ἄν· καὶ τλ.

3. Εἰς ἀνδρὸς τέλος ἴωσι) Φράσις, ἣ λέγεται καὶ, Εἰς ἄνδρας τελῶσιν, ἀνδρωθῶσιν, ἄνδρες γένωνται.

5. Καὶ μουσικῆς πάσ.) Γενικὴ διὰ τὸ κτητικὸν γυμνικοὺς· οὐ γὰρ ἀγῶνας γυμνοστίων, καὶ μουσικῆς παντὸς εἴδους.

— Ἐν ἐπιτρόπου) Μοίρᾳ καθεστηκυῖα ἡ πόλις.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μένους πρᾴοτερον φέρειν τὴν ξυμφοράν· τοῖς γὰρ τελευτήσασι 7
καὶ τοῖς ζῶσιν οὕτως ἂν προσφιλέστατοι εἴητε, καὶ ῥᾷστοι θερα-
πεύειν τε καὶ θεραπεύεσθαι. Νῦν δὲ ἤδη ὑμεῖς τε καὶ ἄλλοι πάντες,
κοινῇ κατὰ τὸν νόμον τοὺς τετελευτηκότας ἀπολοφυρόμενοι ἄπιτε. 8

κ΄. Οὗτός σοι ὁ λόγος, ὦ Μενέξενε, Ἀσπασίας τῆς Μιλησίας
ἐστί. — Μεν. Νή Δία, ὦ Σώκρατες, μακαρίαν γε λέγεις τὴν Ἀ-
σπασίαν, εἰ γυνὴ οὖσα τοιούτους λόγους οἷά τ' ἐστὶ συντιθέναι. —
Σωκ. Ἀλλ' εἰ μὴ πιστεύεις, ἀκουλούθει μετ' ἐμοῦ, καὶ ἀκούσῃ αὐ- 2
τῆς λεγούσης. — Μέν. Πολλάκις, ὦ Σώκρατες, ἐγὼ ἐντετύχηκα
Ἀσπασίᾳ, καὶ οἶδα οἷα ἐστί. — Σωκ. Τί οὖν; οὐκ ἄγασαι αὐτήν,
καὶ νῦν χάριν ἔχεις τοῦ λόγου αὐτῇ; — Μεν. Καὶ πολλήν γε, ὦ Σώ- 3
κρατες, ἐγὼ χάριν ἔχω τούτου τοῦ λόγου ἐκείνῃ, ἢ ἐκείνου ὅστις σοι
ὁ εἰπὼν ἐστιν αὐτόν· καὶ πρό γε ἄλλων πολλὴν χάριν ἔχω τῷ εἰπόν-
τι. — Σωκ. Εὖ ἂν ἔχοι. Ἀλλ' ὅπως μου μὴ κατερεῖς, ἵνα καὶ αὖ- 4
θις σοι πολλοὺς καὶ καλοὺς λόγους περὶ αὐτῆς πολιτικοὺς ἀπαγ-
γέλλω. — Μεν. Θάῤῥει, οὐ κατερῶ· μόνον ἀπάγγελλε. — Σωκ.
Ἀλλὰ ταῦτ' ὅστα.

ΠΛΟΥΤΑΡΧΟΥ ΧΑΙΡΩΝΕΩΣ.

Α΄. Περὶ παίδων ἀγωγῆς.

α. Τί τις ἂν ἔχοι εἰπεῖν περὶ τῆς τῶν ἐλευθέρων παίδων ἀγω-
γῆς, καὶ τίνι χρώμενοι σπουδαῖοι ἂν τοῖς τρόποις ἀποβαῖεν,
φέρε σκεψώμεθα. Βέλτιον δ' ἴσως ἀπὸ τῆς γενέσεως ἄρξασθαι
πρώτον. Τοῖς τοίνυν ἐπιθυμοῦσιν ἐνδόξων τέκνων γενέσθαι πα-

κ΄. Οὗτός σοι) Τὸ Σοὶ περιποιητικῶς κατ' ἔθος Ἑλληνισμοῦ· ἀντὶ Οὗτος ἐστὶν ὁ σοι πεθητὸς λόγος. Σύνηθες δὲ τοῦτο καὶ ἐν τῇ καθ' ἡμᾶς διαλέκτῳ τῇ κοινῇ ταύτῃ.

— Εἰ, γυνὴ οὖσα) Εἰ ἐστιν ἱκανὴ συντιθέναι τοιοῦς λόγους, γυνὴ οὖσα.

3. Καὶ πρό γε ἄλλ.) Καὶ μάλιστα χάριν ἔχω σοι τῷ εἰπόντι τοῦτον τὸν λόγον.

4. Ἀλλ' ὅπως μὴ) Ἀλλ' ὅρα ὅπως μὴ μου κατερεῖς. Πολλάκις γὰρ τὸ Ὅπως λέγεται, ἐνοουμένου τοῦ Ὅρα, ἢ Πρόσχες, ἢ τοιούτου τινὸς παραγγελματικοῦ ῥήματος.

α΄. Τίνι εἰπεῖν) ἀντὶ τοῦ δύναμαι εἰπεῖν. — Ἐλεύθερος παῖς) Παρὰ τοῖς παλαιοῖς διῃροῦντο οἱ ἄνθρωποι εἰς ἐλευθέρους καὶ δούλους· ἐλεύθεροι μὲν ἦσαν οἱ γνήσιοι πολῖται· δοῦλοι δὲ οἱ κατῶν λεγόμενοι σκλάβοι· ὅθεν ὁ Συῤῥαφεὺς ἐνταῦθα λέγει περὶ τῶν ἐξ ἐλευθέρων γενομένων παίδων 2. Σπουδαῖοι τοῖς τρόποις ἀποβαῖεν] Ἀποκτῶ χρηστὰ ἤθη· ἡ σύνταξις ἐυδοθήσεται οὕτω, φέρε σκεψώμεθα τί τις ἂν ἔχοι εἰπεῖν περὶ τῆς ἀγωγῆς τῶν ἐλευθέρ. παίδ. καὶ τίνι καὶ τλ. — 3 Βέλτιον] Συγκριτ. ἀπὸ τοῦ ἀγαθός, ἐνταῦθα ἀντὶ θετικοῦ κεῖται· ἰδὲ Γραμ.

— Ἄρξομαι ἀπό τι] τοῦ ἄρξομαι ἡ γενικὴ μετὰ τῆς ἀπὸ σημαίνει αὐτὴν τὴν στιγμὴν, ἡ ὁποία εἶναι ἡ πρώτη ἀρχὴ τῆς προθέσεως· ὁλόσ αὐτὴν τὴν πρᾶξιν, ἡ ὁποία ἀρχίζει· οἷον, τὰ βρέφη τοῦ ἔῃν ἀπὸ λύπης ἄρχεται· ἐνταῦθα, τοῦ ἔῃν σημαίνει τὴν διαρκοῦσαν κατάστασιν, ἥτις λαμβάνει ἀρχὴν ἀπὸ λύπης δὲ, τὸ αἴσθημα, τὸ ὁποῖον εἶναι ἡ ἀρχὴ τῆς ἀρχομένης καταστάσεως. βούλει σκοπῶμεν, ἀρξάμενοι ἀπὸ τῆς προῤῥῆς, ὥσπερ ἀπὸ τῶν στοιχείων. Ξεν. Ἀπ. β΄, α΄, α΄. — 4 Τοῖς ἐπιθυμοῦσι γενέσθαι πατρασί] Ἔπρεπε νὰ εἰπῇ πα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τράσιν ὑποθείμην ἂν ἔγωγε μὴ ταῖς τυχούσαις γυναιξὶ συνοικεῖν· λέγω δὲ, οἷον ἑταίραις, ἢ πάλλακαῖς. Τοῖς γὰρ μητρόθεν, ἢ πατρόθεν, οὐκ εὖ γεγονόσιν ἀνεξάλειπτα παρακολουθεῖ τὰ τῆς δυσγενείας ὀνείδη παρὰ πάντα τὸν βίον, καὶ πρόχειρα τοῖς ἐλέγχειν καὶ λοιδορεῖσθαι βουλομένοις. Καὶ σοφὸς ἦν ἄρα ὁ Ποιητὴς, ὃς φησιν·

Ὅταν δὲ κρηπὶς μὴ καταβλαφῇ γένους
Ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐγκύους.

Καλὸς οὖν παῤῥησίας θησαυρὸς εὐγένεια, ἧς δὴ πλείστου λόγου ποιητέον τοῖς νομίμου παιδοποιίας γλιχομένοις. Καὶ μὲν δὴ καὶ τὰ φρονήματα τῶν ὑπόχαλκον καὶ κίβδηλον ἐχόντων τὸ γένος, σφάλλεσθαι καὶ ταπεινοῦσθαι πέφυκε. Καὶ μάλα ὀρθῶς ὁ λέγων Ποιητὴς φησι·

Δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύσπλαγχνός τις ᾖ,
Ὅταν συνειδῇ πατρὸς ἢ μητρὸς κακά.

Ὥσπερ ἀμέλει τοὐναντίον μεγαλαυχίας ἐμπίπλανται καὶ φυάγματος οἱ γονέων διασήμων. Διόφαντον γοῦν τὸν Θεμιστοκλέους πολλάκις λέγουσι φάναι καὶ πρὸς πολλοὺς, ὡς, ὅτι ἂν αὐτὸς βούληται, τοῦτο καὶ τῷ δήμῳ συνδοκεῖ τῷ τῶν Ἀθηναίων· ἃ μὲν γὰρ αὐτὸς ἐθέλει, καὶ ἡ μήτηρ· ἃ δ' ἂν ἡ μήτηρ, καὶ Θεμιστοκλῆς· ἃ δ' ἂν Θεμιστοκλῆς, καὶ πάντες Ἀθηναῖοι. Πάνυ δ' ἄξιον ἐπαινεῖν καὶ Λακεδαιμονίους τῆς μεγαλοφροσύνης· οἵτινες Ἀρχίδαμον τὸν βασιλέα ἑαυτῶν ἐζημίωσαν χρήμασιν, ὅτι μικρὰν τὸ μέγεθος γυναῖκα γάμῳ λαβεῖν ὑπέμεινεν, ὑπειπόντες, ὡς οὐ βασιλέας, ἀλλὰ βασιλίσκους παρασχεῖν αὐτοῖς διανοεῖτο. Ἐ-

---

τέρας, ἀλλὰ τὸ ἐκ γ. ταὐτοπωτεῖ μὲ τὸ ἐκ ἀ. ἰδὲ Γραμ.

—Ἀπὸ τοῦ τυγχ.] σημαίνει, ποταπάς· ἡ ἔννοια εἶναι αὐτή, νὰ μὴ ὑπανδρεύωνται ποταπάς γυναῖκας, ὁποίας ἐπιφέρει δηλ. — 3. Τοῖς οὖν εὖ γεγονοσι] ὅσοι δὲν ἐγεννήθησαν ἀπὸ καλοὺς γονεῖς —4. Δυσγένεια] περὶ τοῦ ὅλης ἐν συνθέσει ἰδὲ Γραμ.

— Παρὰ πάντα τὸν βίον] Ἐν ὅσῳ ζῶσι δηλ. — 5. Βούλομαι] Ταῦτα πρόχειρά ἐστι τοῖς ἐλ. καὶ λοιδ. βουλομένοις. — οὗτοι οἱ στίχοι ἐκλέφθησαν ἐκ τοῦ Εὐριπ. Ἡρακ. Μαιν. στίχ. 1261. — 8. Πλεῖστον λόγον ποιητέον] Ἀντὶ τοῦ δεῖ ποιεῖν λόγον τινος] Τουτέστι τιμᾶν τὸ περὶ τῆς ὁσιακῆς τοῦ ἐπιθέτου ῥῆρ. ἰδὲ Γραμ.

— 10. Ὑπόχαλκον καὶ κίβδηλον γένος ἔχειν] Ἐξ ἀτίμου καὶ καταφρονουμένου κατάγεσθαι ὑπόχαλκος, ἐκ τῆς ὑπὸ καὶ χαλκὸς ἰδὲ Γραμ. ἐν συνθέσει τῆς ἀπὸ καὶ κυριολεκτεῖται ἐπὶ νομίσματος· οἷον ὑπόχαλκον νόμισμα, τὸ ἔχον παρὰ πολὺ ξένον μέταλλον, τουτέστι νοθευμένον, κάλπιον, κίβδηλον δὲ τὸ μὴ καθαρισθὲν ἔτι ἀπὸ τὴν σκουρίαν καὶ μεταφορικῶς τὸ ἀκαθάριστον, ἀπαστρον. — 11. Τὰ φρονήματα πέφυκε] Ἡ ἔννοια, ὅσοι γεννῶνται ἀπὸ ἄτιμου γονεῖς εἶναι χαμεροπεῖς —12. Θρασύσπλαγχνος] Σύνθετον ἐκ τοῦ θρασὺς καὶ σπλάγχνα. — 13. Κακά] Ἔργα δηλ. καὶ οὗτοι ἐκ τοῦ Εὐρ. Ἱππόλ. 425. ἡ ἔννοια, ὅταν ἐνθυμηθῇ ὅτι κατάγεται ἀπὸ ἄτιμον γένος, καὶ τὰ κακὰ τῶν γονέων του, ταπεινόνεται, καὶ τολμηρὸς ἂν ἦναι. — 14. Ἀμέλει] Ἐπιῤῥήματικὸν ἐρῆμα, παρέλκει ἐνταῦθα. — φύαγμα] Κυριως ὁ ἦχος τοῦ νεροῦ· τουτέστιν ἔπαρσιν. — 15. Οἱ γονέων διασήμων] Παῖδες ἢ υἱοὶ δηλ. περὶ τῆς ἐλλείψεως ταύτης, ἰδὲ Γραμ.

— Τὸν Θεμιστοκλέους] Υἱὸν δηλ. — 18. Ἐθέλουσι] Ταῦτα δηλ. — 21. Ἐζημίωσαν χρήμασιν] Περὶ τῆς ὁσια ἰδὲ Γραμ. 22. τὸ μέγεθ.] Λείπει ἡ κατά. — Γάμῳ γυναῖκα λαβεῖν] Λαβεῖν εἰς γυναῖκα, τουτέστιν ὑπανδρεύεσθαι. — 23. Ἐχόμενον ἂν εἴη τούτων εἰπεῖν] Τουτέστι πρέπει νὰ εἴπωμεν καὶ τὸ ἑπόμενον.—

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χόμενον δ' ἂν εἴη τούτων εἰπεῖν, ὅπερ οὐδὲ τοῖς πρὸ ἡμῶν παρεωράτο· ποῖον; ὅτι τοὺς ἕνεκα παιδοποιΐας πλησιάζοντας ταῖς γυναιξὶν ἤτοι τοπαράπαν ἀσίνους, ἢ μετρίως γοῦν οἰνωμένους ποιήσθαι προσήκει τὸν συνουσιασμόν. Φιλοινοι γὰρ καὶ μεθυστικοὶ γίνεσθαι φιλοῦσιν, ὧν ἂν τὴν ἀρχὴν τῆς σπορᾶς οἱ πατέρες ἐν μέθῃ ποιησάμενοι τύχωσιν. Ἢ καὶ Διογένης μειράκιον ἐκστατικὸν ἰδὼν καὶ παραφρονοῦν· Νεανίσκε, ἔφησεν, ὁ πατήρ σε μεθῶν ἔσπειρε. Καὶ περὶ μὲν τῆς γενέσεως τοσαῦτα εἰρήσθω μοι.

β΄. Περὶ δὲ τῆς ἀγωγῆς καὶ δὴ λεκτέον. Καθόλου μὲν εἰπεῖν, ὃ κατὰ τῶν τεχνῶν, καὶ τῶν ἐπιστημῶν λέγειν εἰώθαμεν, ταὐτὸν καὶ κατὰ τῆς ἀρετῆς φατέον ἐστίν· ὡς εἰς τὴν παντελῆ δικαιοπραγίαν τρία δεῖ συνδραμεῖν, φύσιν, καὶ λόγον, καὶ ἔθος. Καλῶ δὲ λόγον μέν, τὴν μάθησιν· ἔθος δέ, τὴν ἄσκησιν. Εἰσὶ δὲ αἱ μὲν ἀρχαί, τῆς μαθήσεως· αἱ δὲ χρήσεις, τῆς μελέτης· αἱ δ' ἀκρότητες, πάντων. Καθ' ὃ δ' ἂν λειφθῇ τούτων, κατὰ τοῦτ' ἀνάγκη χωλὴν γίνεσθαι τὴν ἀρετήν. Ἡ μὲν γὰρ φύσις ἄνευ μαθήσεως τυφλόν· ἡ δὲ μάθησις δίχα φύσεως ἐλλιπές· ἡ δ' ἄσκησις χωρὶς ἀμφοῖν ἀτελές. Ὥσπερ δ' ἐπὶ τῆς γεωργίας πρῶτον μὲν ἀγαθὴν ὑπάρξαι δεῖ τὴν γῆν, εἶτα δὲ φυτουργὸν ἐπιστήμονα, εἶτα τὰ σπέρματα σπουδαῖα· τὸν αὐτὸν τρόπον γῇ μὲν ἔοικεν ἡ φύσις, γεωργῷ δὲ ὁ παιδεύων, σπέρματι δὲ αἱ τῶν λόγων ὑποθῆκαι, καὶ τὰ παραγγέλματα. Ταῦτα πάντα διατεινάμενος εἴποιμι ὅτι συνῆλθε καὶ συνέπνευσεν εἰς τὰς τῶν παρ' ἅπασιν ἀδομένων ψυχάς, Πυθαγόρου καὶ Σωκράτους καὶ Πλάτωνος, καὶ τῶν ὅσοι δόξης ἀειμνήστου τετυχήκασιν. Εὐδαίμων μὲν οὖν καὶ Θεοφιλής, εἴ τῳ ταῦτα πάντα θεῶν τις ἀπέδωκεν· εἰδέ τις οἴεται, τοὺς οὐκ εὖ πεφυκότας μαθήσεως καὶ μελέτης τυχόντας ἀρθῆς πρὸς ἀρετήν, οὐκ ἂν τὴν τῆς φύσεως ἐλάττωσιν εἰς τοὐνδεχόμενον ἀναδραμεῖν,

---

— Τοῖς πρὸ ἡμῶν] Γεγονότες δηλ. ἰδὲ Γραμ. — 4. Ποιεῖ συνουσιασμόν] Συνταχθήσεται οὕτω, προσήκει τοὺς ἕνεκα παιδοποιΐας . . . συνουσιασμόν — 5. Φιλοῦσι γενέσθαι] Ἀντὶ εἰώθασι γενέσθαι, οἱ παῖδες δηλ. — 6. Ποιησάμενοι τύχωσι] Περιφραστικῶς ἀντὶ ἐποίησαν· ἰδὲ Γραμ.

— 7. Ἐκστατικὸν καὶ παραφρον] Ἐν ἐκστάσει ὄν, τουτέστιν. ὡς μαινόμενον καὶ ἔξω ἑαυτοῦ· ἰδὲ περὶ τῆς παρὰ ἐν συνθ.

β΄. 6. Ἀκρότ. Τουτέστι ἡ τελειότης. — 8. Χωλὴν] Τουτέστιν ἀτελῆ. — 9. Τυφλ.] Χρῆμα δηλ.

— Ἄνευ, δίχα καὶ χωρίς) Μετὰ γενικῆς, ἰδὲ Γραμ. — 12. Τὸν αὐτὸν τρόπον] Λείπει ἡ κατά.

— 13. Τῶν λόγων ὑποθῆκ.] Αἱ ἠθικαὶ διδασκαλίαι. — 17. Θεοφιλής] Παθητικῶς, ἀντὶ ὁ ὑπὸ Θεοῦ φιλούμενος· ἡ ἔννοια εὐδαίμων εἶναι τῷ ὄντι ἐκεῖνος, εἰς τὸν ὁποῖον ἔδωκεν ὁ Θεὸς ὅλα ταῦτα τὰ χαρίσματα. —18. Τοὺς οὐκ εὖ πεφυκότ.] Τοὺς μὴ ἔχοντας ἐκ φύσεως καλὸν νοῦν, τουτέστι τοὺς ἀφυεῖς, δύσνους. —20. Εἰς τοὐνδεχόμενον ἀναδραμεῖν] Μετρίως, ἀσκούντως, ἴσως ἀναλάβειν ἔπρεπε νὰ εἰπῇ, διὰ νὰ εὐοδωθῇ ἡ ἔννοια οὕτως, ὅς τις νομίζει ὅτι οἱ δύσνοες, ἀφ' οὗ μὲ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἴστω πολλοῦ, μᾶλλον δὲ τοῦ παντός, διαμαρτάνων. Φύσεως μὲν γὰρ ἀρετὴν διαφθείρει ῥᾳθυμία, φαυλότητα δ' ἐπανορθοῖ διδαχή· καὶ τὰ μὲν ῥάδια τοὺς ἀμελοῦντας φεύγει, τὰ δὲ χαλεπὰ ταῖς ἐπιμελείαις ἁλίσκεται. Καταμάθοις δ' ἂν, ὡς ἀνύσιμον πρᾶγμα καὶ τελεσιουργὸν ἐπιμέλεια καὶ πόνος ἐστὶν, ἐπὶ πολλὰ τῶν γιγνομένων ἐπιβλέψας. Σταγόνες μὲν γὰρ ὕδατος πέτρας καιλαίνουσι· σίδηρος δὲ καὶ χαλκὸς ταῖς ἐπαφαῖς τῶν χειρῶν ἐκτρίβονται· οἱ δ' ἁρμάτεσι τροχοὶ πόνῳ καμφθέντες οὐδ' ἂν, εἴτι γένοιτο, τὴν ἐξ ἀρχῆς δύναιντο ἀναλαβεῖν εὐθυωρίαν· τάς γε μὴν καμπύλας τῶν ὑποκριτῶν βακτηρίας ἀπευθύνειν, ἀμήχανον· ἀλλὰ τὸ παρὰ φύσιν τῷ πόνῳ τῶν κατὰ φύσιν ἐγένετο κρείττον. Καὶ μόνα ἄρα ταῦτα τὴν ἐπιμελείας ἰσχὺν διαδείκνυσιν; Οὐκ· ἀλλὰ καὶ μυρία ἐπὶ μυρίοις. Ἀγαθὴ γῆ πέφυκεν; ἀλλ' ἀμεληθεῖσα χερσεύεται, καὶ ὅσῳ τῇ φύσει βελτίων ἐστὶ, τοσούτῳ μᾶλλον, ἐξαργηθεῖσα, δι' ἀμέλειαν ἐξαπόλλυται. Ἀλλ' ἔστι τις ἀπόκρατος καὶ τραχυτέρα τοῦ δέοντος; ἀλλὰ γεωργηθεῖσα παραυτίκα γενναίους καρποὺς ἐξήνεγκε. Ποῖα δὲ δένδρα οὐκ, ἐλιγωρηθέντα μὲν, στρεβλὰ φύεται, καὶ ἄκαρπα καθίσταται, τυχόντα δ' ὀρθῆς παιδαγωγίας, ἔγκαρπα γίνονται καὶ τελεσφόρα; Ποῖα δὲ σώματος ἰσχὺς οὐκ ἐξαμβλύνεται καὶ καταρρίνει, δι' ἀμέλειαν καὶ τρυφὴν καὶ καχεξίαν; τίς δ' ἀσθενὴς φύσις οὐ τοῖς γυμνασαμένοις καὶ κατεδλήσασι πλεῖστον εἰς ἰσχὺν ἐπέδωκε; Τινες δ' ἵπποι καλῶς πωλοδαμασθέντες, οὐκ εὐπειθεῖς ἐγένοντο τοῖς ἀναβάταις; τίνες δ' ἀδάμαστοι μείναντες, οὐ σκληραύχενες καὶ θυμοειδεῖς ἀπέβησαν; Καὶ τί δεῖ τἄλλα θαυμάζειν, ὅπου γε τῶν θηρίων τῶν ἀγριωτάτων ὁρῶμεν πολλὰ καὶ τιθασσευόμενα καὶ χειροήθη γιγνόμενα τοῖς πόνοις; Εὖ δὲ καὶ ὁ Θετταλὸς, ἐρωτηθεὶς, τίνες εἰσὶν οἱ ἠπιώτατοι Θεσσαλῶν; ἔφη, Οἱ παυόμενοι πολεμεῖν. Καὶ τί δεῖ τὰ πολλὰ λέγειν; καὶ γὰρ τὸ ἦθός ἐστι πολυχρόνιον· καὶ τὰς ἠθικὰς ἀρετὰς ἐθικὰς ἄν τις λέγῃ, οὐκ ἄν τι πλημμελεῖν δόξειεν. Ἑνὶ δὲ περὶ τούτων ἔτι παραδείγματι χρησάμενος, ἀπαλλάξομαι τοῦ ἔτι περὶ αὐτῶν μηκύνειν. Λυκοῦργος γὰρ, ὁ τῶν Λακεδαιμονίων νομοθέτης, δύο σκύλακας τῶν αὐτῶν γονέων λαβὼν, οὐδὲν ὁμοίως ἀλλήλοις ἤγαγεν· ἀλλὰ τὸν μὲν ἀπέφηνε λίχνον καὶ σινάμορον, τὸν δ' ἐξιχνεύειν καὶ

θωσι καὶ γυμνασθῶσι καλῶς εἰς τὴν ἀρετὴν δὲν ἠμποροῦν νὰ ἀναλάβωσι, τουτέστι νὰ ἐπανορθώσωσι τὴν ἐλάττωσιν τῆς φύσεως. — Ἴστω διαμαρτάνων] Μετοχὴ ἀντὶ εἰδικοῦ ἀπαρεμ. ἰδὲ Γραμ. — 4 Καταμάθοις δὲ] Οὕτω συνταχθήσεται· ἐπιβλέψας ἐπὶ πολλὰ τῶν γιγνομένων, καταμαθοις ὡς ἀνύσιμον πρᾶγμα καὶ τελεσιουργὸν ἐπιμέλεια καὶ πόνος ἐστίν. — 22 Εἰς ἰσχὺν ἐπέδωκεν] Ἐπεδυναμώθη. — 25 Ὅπου γε] Ὅπου γε ὁρῶμεν πολλὰ τῶν θηρ. . τῶν ἀγρ. . καὶ τιθασ. . καὶ . γιγνόμενα. —27 Ἠπιώτατοι Θεσσαλῶν] Οἱ Θεσσαλοὶ ἦσαν πολεμικώτατοι, καὶ θαυμάζονται διὰ τὴν ἱππευτικήν· ἡ δὲ ἔννοια εἶναι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θηρᾶν δυνατόν· εἶτά ποτε τῶν Λακεδαιμονίων εἰς ταὐτὸ συνειλεγμένων. Μεγάλη τοι ῥοπὴ πρὸς ἀρετῆς κύησίν ἐστιν, ἄνδρες (ἔφησε) Λακεδαιμόνιοι, καὶ ἔθη, καὶ παιδεῖαι, καὶ διδασκαλίαι, καὶ βίων ἀγωγαί, καὶ ἐγὼ ταῦτα ὑμῖν αὐτίκα δὴ μάλα ποιήσω φανερά· εἶτα προσαγαγὼν τοὺς δύω σκύλακας διαφῆκε, καταθεὶς εἰς μέσον λοπάδα καὶ λαγῶν κατευθὺ τῶν συλάκων· καὶ ὁ μὲν ἐπὶ τὸν λαγῶν ἥιξεν· ὁ δ' ἐπὶ τὴν λοπάδα ὥρμησε. Τῶν δὲ Λακεδαιμονίων οὐδέπω συμβαλεῖν ἐχόντων, τί ποτ αὐτῷ τοῦτο δύνανται, καὶ τί βουλόμενος τοὺς σκύλακας ἐπεδείκνυεν, Οὗτοι γονέων (ἔφη) τῶν αὐτῶν ἀμφότεροι, διαφόρου δὲ τυχόντες ἀγωγῆς, ὁ μὲν λίχνος, ὁ δὲ θηρευτὴς ἀποδέδηκε. Καὶ περὶ μὲν ἐθῶν καὶ βίων ἀρκείτω ταῦτα.

γ'. Περὶ δὲ τροφῆς ἐχόμενον ἂν εἴη λέγειν. Δεῖ δὲ (ὡς ἐγὼ ἂν φαίην) αὐτὰς τὰς μητέρας τὰ τέκνα τρέφειν, καὶ τούτοις ὑπέχειν τοὺς μαστούς. Συμπαθέστερόν τε γὰρ θρέψουσι, καὶ διὰ πλείονος ἐπιμελείας, ὡς ἂν ἔνδοθεν, καὶ (τὸ δὴ λεγόμενον) ἐξ ὀνύχων ἁπαλῶν ἀγαπῶσαι τὰ τέκνα. Αἱ τίτθαι δὲ καὶ αἱ τροφοὶ τὴν εὔνοιαν ὑποβολιμαίαν καὶ παρέγραπτον ἔχουσιν, ἅτε μισθοῦ φιλοῦσαι. Δηλοῖ δὲ καὶ ἡ φύσις, ὅτι δεῖ τὰς μητέρας, ἃ γεγεννήκασιν, αὐτὰς τιτθεύειν καὶ τρέφειν. Διὰ γὰρ τοῦτο παντὶ ζώῳ τεκόντι τὴν ἐκ τοῦ γάλακτος τροφὴν ἐχορήγησε. Σοφὸν δὲ ἄρα καὶ ἡ πρόνοια διττοὺς ἐνέθηκε ταῖς γυναιξὶ τοὺς μαστούς, ἵνα, καὶ εἰ δίδυμα τέκοιεν, διττὰς ἔχοιεν τὰς τῆς τροφῆς πηγάς. Χωρὶς δὲ τούτων εὐνοῦστεραι τοῖς τέκνοις γίγνοιντ' ἄν, καὶ φιλητικώτεραι. Καὶ μὰ Δί' οὐκ ἀπεικότως. Ἡ συντροφία γὰρ ὥσπερ, ἐπιτόνιόν ἐστι τῆς εὐνοίας. Καὶ γὰρ τὰ θηρία τῶν συντρεφομένων ἀποσπώμενα, ταῦτα ποθοῦντα φαίνεται. Μάλιστα μὲν οὖν (ὥσπερ ἔφην) αὐτὰς πειρατέον τὰ τέκνα τρέφειν τὰς μητέρας· εἰ δ' ἄρ' ἀδυνάτως ἔχοιεν, ἢ διὰ σώματος ἀσθένειαν, (γένοιτο γὰρ ἄν τι καὶ τοιοῦτον) ἢ πρὸς ἑτέρων τέκνων σπεύδουσαι γένεσιν· ἀλλὰ τάς γε τίτθας καὶ τροφούς, οὐ τὰς τυχούσας, ἀλλ' ὡς ἔνε

αὕτη, ἡ ἀνάπαυσις ἀπὸ τοὺς πολέμους τοὺς κάμνει ἀπὸ ἀγριωτάτων, ἡμερωτάτους· τόσον ἰσχύει ἡ συνήθεια, ὥστε καὶ τὸν λύκον ἡμερόνει.

— Τῶν Λακεδαιμονίων συνειλεγμένων, ἔφησε Λυκοῦργος] Γενικὴ ἀπόλυτος Γραμ. ἰδὲ

γ'. 2. Τούτοις] Τοῖς τέκνοις δηλ. νὰ δίδωσι τοὺς μαστούς. — 4 Ὡς ἂν ἔνδοθεν καὶ ἐξ' ἁπαλῶν ὀνύχων ἀγαπῶσαι] Ἡ ἔννοια, ἐκεῖθε τὰ ἀγαπῶσιν ἀπὸ καρδίας, καὶ ἀπὸ νηπίων — 6 Εὔνοιαν ὑποβολ καὶ παρέγραπτον] Ψευδῆ καὶ ὄχι εἰλικρινῆ ἀγάπην. — Ἅτε μισθοῦ] Ἕνεκα δηλ. Σημ. αἱ κυρίαι τῶν Ἑλλήνων, φαίνεται, ὅτι δὲν ἐθύλαζον μόναι τὰ τέκνα των, ἀλλ' ἐμίσθωναν βυζάστρας, καθὼς καὶ σήμερον αἱ Κοκόναι καὶ Δάμαι, διὰ νὰ μὴ φθείρωσι τὸ κάλλος των.

— 14 Τῶν συντρεφομένων ἀποσπώμενα] Ἡ γενικὴ δυνάμει τῆς ἀπό, ἰδὲ Γραμ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μάλιστα σπουδαίας δοκιμαστέον ἐστί. Πρῶτον μὲν τοῖς ἤθεσιν Ἑλληνίδας. Ὥσπερ γὰρ τὰ μέλη τοῦ σώματος εὐθὺς ἀπὸ γενέσεως πλάττειν τῶν τέκνων ἀναγκαῖόν ἐστιν, ἵνα ταῦτα ὀρθὰ καὶ ἀστραβῆ φύηται· τὸν αὐτὸν τρόπον ἐξ ἀρχῆς τὰ τῶν τέκνων ἤθη ῥυθμίζειν προσήκει. Εὔπλαστον γὰρ καὶ ὑγρὸν ἡ νεότης, καὶ ταῖς τούτων ψυχαῖς ἁπαλαῖς ἔτι τὰ μαθήματα ἐντήκεται· πᾶν δὲ τὸ σκληρὸν χαλεπῶς μαλάττεται. Καθάπερ γὰρ σφραγῖδες τοῖς ἁπαλοῖς ἐναποματτονται κηροῖς· οὕτως αἱ μαθήσεις ταῖς τῶν ἔτι παιδίων ψυχαῖς ἐναποτυποῦνται. Καί μοι δοκεῖ Πλάτων ὁ δαιμόνιος ἐμμελῶς παραινεῖν ταῖς τίτθαις, μὴ τοὺς τυχόντας μύθους τοῖς παιδίοις λέγειν, ἵνα μὴ τὰς τούτων ψυχὰς ἐξ ἀρχῆς ἀνοίας καὶ διαφθορᾶς ἀναπίμπλασθαι συμβαίνῃ. Κινδυνεύει δὲ καὶ Φωκυλίδης ὁ Ἰοκητὴς καλῶς παραινεῖν, λέγων,

Παῖδ' ἔτ' ἐόντα χρεὼν δὴ καλὰ διδασκέμεν ἔργα.

Οὐ τοίνυν οὐδὲ τοῦτο παραλιπεῖν ἄξιόν ἐστιν, ὅτι καὶ τὰ παιδία τὰ μέλλοντα τοῖς τροφίμοις ὑπηρετεῖν, καὶ τούτοις σύντροφα γίνεσθαι, ζητητέον, πρώτιστα μέν, σπουδαῖα τοὺς τρόπους· ἔτι μέντοι Ἑλληνικὰ καὶ περίτραχα λαλεῖν, ἵνα μὴ, συναναχρωννύμενοι βαρβάροις καὶ τὸ ἦθος μοχθηροῖς, ἀποφέρωνται τι τῆς ἐκείνων φαυλότητος. Καὶ οἱ παροιμιαζόμενοι δέ φασιν, οὐκ ἄπο τρόπου λέγοντες, ὅτι, ἂν χολῷ παροικήσῃς, ὑποσκάζειν μαθήσῃ.

δ'. Ἐπειδὰν τοίνυν ἡλικίαν λάβωσιν ὑπὸ παιδαγωγοῖς τετάχθαι, ἐνταῦθα δὴ πολλὴν ἐπιμέλειαν ἐκτέον ἐστὶ τῆς τούτων καταστάσεως, ὡς μὴ λάθωσιν ἀνδραπόδοις ἢ βαρβάροις ἢ παλιμβόλοις τὰ τέκνα παραδόντες. Ἐπὶ νῦν γε τὸ γινόμενον πολλοῖς, ὑπερκαταγέλαστόν ἐστι. Τῶν γὰρ δούλων τῶν σπουδαίων τοὺς μὲν γεωργοὺς ἀποδεικνύουσι, τοὺς δὲ ναυκλήρους, τοὺς δὲ

—2. Σπουδαία τοῖς ἤθεσιν Ἕλλη] Τιμίας, ἐκκρέτους, καὶ χρηστοήθεις· εἰς τὸν καιρὸν τοῦ Πλουτάρχου αὕτη ἡ φράσις ἐνδέχεται νὰ ἦτον εἰς χρῆσιν, ὡς παροιμία, ἢ ὅτι ἀπέβλεψε τῷ ὄντι εἰς τὰ χρηστὰ ἤθη τῶν Ἑλλήνων.—6. Ἐντήκεται καὶ ἐναποτυποῦνται.] Ἀπὸ μεταφορᾶς ἐλήφθησαν καὶ τὰ ὄνω, τὸ μὲν ἀπὸ τοῦ νεροῦ, τὸ δὲ ἀπὸ τουτίπω —12. Κινδυν.] Ἀντὶ γίνεται. — 18. Ἑλληνικὰ καὶ περίτραχα λαλεῖν] Ρήματα ἀντ. νὰ ὁμιλῶσι τὴν Ἑλληνικὴν καθαρά — Συναναχρ. βαρβάροις] Μεταφορὰ ἀπὸ τῶν χρωμάτων, βαφῶν, εἰς τὰς ὁποίας, ὅς τις πλησιάζει βάφεται· βάρβαροι ὠνομάζοντο, ὅσοι δὲν ἦτον Ἕλληνες.—19. Ἀποφέρωνται τι τῆς ἐκείνων φαυλότητος] Διὰ νὰ μὴ μιμηθῶσι τὴν κακίαν ἐκείνων. —21. Ὑποσκάζειν μαθήσῃ Ὅμοιον μὲ τὸ, κακοῖς ὁμιλῶν κακὸς ἐκβήσῃ καὐτός.

δ'. Τὰ παιδία ὑπὸ παιδαγωγοῖς τετάχθαι] Παιδαγωγοὶ λέγονται οἱ προσέχοντες καὶ φέροντες τὰ μικρὰ παιδία εἰς τὸ σχολεῖον, διδάσκοντές τα ἐνταυτῷ κατ' οἶκον καὶ τὰς ἀρχὰς τῶν γραμμάτων ἢ ἑκάστου μαθήματος· διδάσκαλοι δὲ οἱ διδάσκοντες αὐτὰ εἰς τὰ δημόσια σχολεῖα τὰ Ἐγκύκλια μαθήματα καὶ τὰς ἐπιστήμας, τὸ, τετάχθαι ἐξηγεῖται κατ' ἀναλογίαν Ἐγκλίσεως. — 6. Τοὺς μὲν, τοὺς δὲ, τοὺς δε] Ἰδὲ Συντ. οἱ Παλαιοὶ Ἕλληνες τὴν ἐργασίαν ὅλων τῶν οἰκιακῶν ἐνεπιστεύοντο εἰς τοὺς δούλους· αὐτοὶ δὲ κα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐμπόρους, τοὺς δὲ οἰκονόμους, τοὺς δὲ δανειστάς· ὅ,τι δ' ἂν εὕρωσιν ἀνδράποδον οἰνόληπτον καὶ λίγνον, πρὸς πᾶσαν πραγματείαν ἄχρηστον, τούτῳ φέροντες ὑποβάλλουσι τοὺς υἱούς. Δεῖ δὲ τὸν σπουδαῖον παιδαγωγὸν τοιοῦτον εἶναι τὴν φύσιν, οἷός περ ἦν ὁ Φοῖνιξ, ὁ τοῦ Ἀχιλλέως παιδαγωγός. Τὸ δὲ πάντων μέγιστον καὶ κυριώτατον τῶν εἰρημένων ἔρχομαι φράσων. Διδασκάλους γὰρ ζητητέον τοῖς τέκνοις, οἱ καὶ τοῖς βίοις εἰσὶν ἀδιάβλητοι, καὶ τοῖς τρόποις ἀνεπίληπτοι, καὶ ταῖς ἐμπειρίαις ἄριστοι. Πηγὴ γὰρ καὶ ῥίζα καλοκἀγαθίας, τοῦ νομίμου τυχεῖν παιδείας. Καὶ καθάπερ τὰς χάρακας οἱ γεωργοὶ τοῖς φυτοῖς παρατιθέασιν, οὕτως οἱ νόμιμοι τῶν διδασκάλων ἐπιμελεῖς τὰς ὑποθήκας καὶ παραινέσεις παραπηγνύουσι τοῖς νέοις, ἵν' ὀρθὰ τούτων βλαστάνῃ τὰ ἤθη. Νῦν δέ τις καὶ καταπτύσειε τῶν πατέρων ἐνίων, οἵτινες, πρὶν δοκιμάσαι τοὺς μέλλοντας διδάσκειν, δι' ἄγνοιαν, (ἔσθ' ὅτε καὶ δι' ἀπειρίαν) ἀνθρώποις ἀδοκίμοις καὶ παρασήμοις ἐγχειρίζουσι τοὺς παῖδας. Καὶ οὔπω τοῦτό ἐστι καταγέλαστον, εἰ καὶ δι' ἀπειρίαν αὐτὸ πράττουσι· ἐκεῖνο δὲ ἐσχάτως ἄτοπον· τὸ ποῖον; ἐνίοτε γὰρ εἰδότες, αἰσθομένων μᾶλλον αὐτοῖς τοῦτο λεγόντων, τὴν ἐνίων τῶν παιδευτῶν ἀπειρίαν ἅμα καὶ μοχθηρίαν, ὅμως τούτοις ἐπιτρέπουσι τοὺς παῖδας· οἱ μὲν ταῖς τῶν ἀρεσκομένων ἡττώμενοι κολακείαις· εἰσὶ δὲ οἱ δεομένοις χαριζόμενοι φίλοις· παρόμοιον ποιοῦντες, ὥσπερ ἂν εἴτις τῷ σώματι κάμνων, τὸν σὺν ἐπιστήμῃ δυνηθέντα ἂν σῶσαι παραλιπὼν, φίλῳ χαριζόμενος, τὸν δι' ἀπειρίαν ἀπολέσοντα ἂν αὐτὸν προέλοιτο· ἢ ναύκληρον τὸν ἄριστον ἀφεὶς, τὸν χείριστον δοκιμάσειε,

---

τεγίνοντο, ὁ μὲν εἰς μαθήματα, ὁ δὲ εἰς πολιτικὰ, ὁ δὲ εἰς πόλεμικὰ, καὶ ἄλλος εἰς ἄλλο, εἰς ὅ,τι ἕκαστος εἶχε κλίσιν. — 3. Φέροντες ὑποβάλλουσι] Ἰδὲ Συνν. — 5. Φοῖνιξ] Οὗτος ἦτον υἱὸς τοῦ Ἀμύντορος ἐκ τῆς Ἀχαΐας, ὅστις διωχθεὶς ἀπὸ τὸν πατέρα του ἦλθεν εἰς Θεσσαλίαν, ὅπου ὄχι μόνον ὑπεδέχθη μετὰ φιλοφροσύνης παρὰ τοῦ Πηλέως, ἀλλ' ἐπιστεύθη καὶ παιδαγωγὸς τοῦ υἱοῦ του Ἀχιλλέως· ἡ πρὸς ἀλλήλους ἀγάπη ἦτον τοιαύτη, ὁποία εἶναι ἡ μεταξὺ πατρὸς καὶ υἱοῦ· οὕτω πρέπει νὰ ἀγαπῶσι οἱ διδάσκαλοι τοὺς μαθητάς των, ὡς ἰδίους υἱοὺς των δηλ. καὶ μὲ πᾶσαν ἐπιμέλειαν νὰ φροντίζωσι περὶ τῆς ἐπιδόσεως αὐτῶν εἰς τὴν ἀρετὴν καὶ εἰς τὰς ἐπιστήμας· καὶ ἐξ ἐναντίας οἱ μαθηταὶ πρέπει νὰ ἀγαπῶσι, καὶ νὰ τιμῶσι τοὺς διδασκάλους των κατὰ τὸ παράδειγμα τοῦ Ἀχιλλέως. — 9. Πηγὴ γὰρ καὶ] Συνυπηρέτησε οὕτω, τὸ τυχεῖν νομίμου παιδείας ἐστὶ πηγὴ καὶ ῥίζα καλοκἀγαθίας. — 10. Ὁ, ἡ χάραξ] Ἰδὲ Γραμ.

— 21. Κολακεία] Πόσην βλάβην φέρει αὕτη, τὸ ἀποδεικνύει ὁ Κικέρων ὀρθῶς κρίνων περὶ αὐτῆς· in amicitia nubia major est pestis quam adulatio, ideo cavendum est, ne assentatoribus aures patefaciamus. Μεγαλητέρα φθορὰ τῆς φιλίας δὲν εἶναι ἄλλη ἀπὸ τὴν κολακείαν, ὅθεν προσεκτέον διὰ νὰ μὴν ἀνοίξωμεν τὰ αὐτία εἰς τοὺς κόλακας. — Οἱ μὲν, εἰσὶ δ' οἱ] Ἰδὲ Συνν. Εἰσὶ παρόμοιον ποιοῦντες, ἀνόητα δηλ. καὶ ὅσοι πατέρες ἀφίνοντες διὰ τὸ χατῆρι τῶν φίλων τὸν ἔμπειρον καὶ πεπαιδευμένον διδάσκαλον ἐκλέγουσι τὸν ἄπειρον καὶ ἀπαίδευτον, ἀπὸ τὸν ὁποῖον ὄχι μόνον δὲν ἔχουν νὰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φίλου δεηθέντος. Ζεῦ καὶ Θεοὶ πάντες, πατήρ τις καλούμενος, πλείω λόγον τῆς τῶν δεομένων ποιεῖται χάριτος ἢ τῆς τῶν τέκνων παιδεύσεως; Εἶτ' οὐκ εἰκότα πολλάκις ὁ Κράτης ἐκεῖνος ὁ παλαιὸς ἔλεγεν, ὅτι, εἴπερ ἄρα δυνατόν ἦν, ἀναβάντα ἐπὶ τὸ μετεωρότατον τῆς πόλεως ἀναιρεῖν μέρος, Ὦ ἄνθρωποι, ποῖ φέρεσθε, οἵ τινες χρημάτων μὲν κτήσεως περὶ πᾶσαν ποιεῖσθαι σπουδήν, τῶν δ' υἱέων, οἷς ταῦτα καταλείψετε, μικρὰ φροντίζετε; Τούτοις δ' ἂν ἔγωγε προσθείην, ὅτι οἱ τοιοῦτοι πατέρες παραπλήσιον ποιοῦσιν, οἷον εἴτις τοῦ μὲν ὑποδήματος φροντίζοι, τοῦ δὲ ποδὸς ὀλιγώρως ἔχοι. Πολλοὶ δὲ εἰς τοσοῦτον τῶν πατέρων προβαίνουσι φυλαργυρίας ἅμα καὶ μισοτεκνίας, ὥσθ', ἵνα μὴ πλείονα μισθὸν τελέσειαν, ἀνθρώπους τοὺς μηδενὸς τιμίους αἱροῦνται τοῖς τέκνοις παιδευτάς, εὔωνον ἀμαθίαν ὠνούντες. Ἢ καὶ Ἀρίστιππος οὐκ ἀκόμψως, ἀλλὰ καὶ πάνυ ἀστείως, ἐπέσκωψε τῷ λόγῳ πατέρα νοῦ καὶ φρενῶν κενόν. Ἐρωτήσαντος γάρ τινος αὐτόν, πόσον αἰτοίη μισθὸν ὑπὲρ τῆς τοῦ τέκνου παιδεύσεως, Χιλίας, ἔφη, δραχμάς. Τοῦ δέ, Ἡράκλεις, εἰπόντος, ὡς ὑπὲρ πολὺ τὸ αἴτημα· δύναμαι γὰρ ἀνδράποδον χιλίων πρίασθαι. Τοιγαροῦν (εἶπε) δύο ἕξεις ἀνδράποδα, καὶ τὸν υἱόν, καὶ ὃν ἂν πρίῃ. Τὸ δ' ὅλον πῶς οὐκ ἄτοπον, τῇ μὲν δεξιᾷ συνεθίζειν τὰ παιδία δέχεσθαι τὰς τροφάς, κἂν προτείνειν τὴν ἀριστερὰν, ἐπιτιμᾷν, μηδεμίαν δὲ ποιεῖσθαι πρόνοιαν τοῦ λόγων ἐπιδεξίων καὶ νομίμων ἀκούειν. Τί οὖν συμβαίνει τοῖς θαυμαστοῖς πατράσιν, ἐπειδὰν κακῶς μὲν θρέψωσι, κακῶς δὲ παιδεύσωσι τοὺς υἱεῖς, ἐγὼ φράσω· ὅταν γὰρ εἰς ἄνδρας ἐγγραφέντες, τοῦ μὲν ὑγιαίνοντος καὶ τεταγμένου βίου καταφρονήσωσιν, ἐπὶ δὲ τὰς ἀτάκτους καὶ ἀνδραποδώδεις ἡδονὰς ἑαυτοὺς κρημνίσωσι, τότε δὴ μεταμέλουσι τὴν τῶν τέκνων προδεδοκότες παιδείαν, ὅτε οὐδὲν ὄφελος, τῆς ἐκείνων ἀδικήμασιν ἀδημονοῦντες. Οἱ μὲν γὰρ αὐτῶν κόλακας καὶ παρασίτους ἀναλαμβάνουσιν, ἀνθρώπους ἀσή-

---

μάθωσι τίποτε οἱ παῖδες αὐτῶν, ἀλλὰ πολλάκις καὶ φθείρονται. — 10. Ὀλιγώρως ἔχοι] Ἀντὶ ὀλιγωροῖ. — Εἰς τοσοῦτον φυλαργυρίας] Ἀντὶ εἰς τοσαύτην φιλαργυρίαν ἰδὲ Συνταικτ.

— 17. Ἡράκλεις) Ἐπιφωνηματικὸν ἰδὲ Γραμ. — Χίλιαι δραχμαὶ) Κατὰ τὸ τωρινὸν κοῦσσον τῆς Βιέννης ἰσοδυναμοῦσι μὲ 160 φιορ. 533. γρόσ. — 18. χιλίων πρίασθαι] Ἐλλειπτικὴ τῆς ἀντιθ. ἰδὲ Συντ. καὶ Ἐγχειρίδ. Ἐπικτ. κέ. εἰμὴ προτέμενος ταῦτα, ἀνθ' ὧν ἐκεῖνα πιπράσκεται. — 25. Εἰς ἄνδρας ἐγγραφέντες] Ὅταν φθάσωσι εἰς ἀνδρικὴν ἡλικίαν. Σημείωσαι, ὅτι εἰς ἐγράφοντο εἰς τὸν δημόσιον Κώδικα οἱ Παῖδες τῶν Ἀθηναίων, ἀ. ὅταν φθάνοντες εἰς τὸ δέκατον ἕβδομον ἔτος τῆς ἡλικίας τῶν συνηριθμοῦντο μὲ τοὺς ἐφήβους. β'. ὅταν φθάνοντες εἰς τὸ εἰκοστὸν ἐγράφοντο εἰς τοὺς τελείους ἄνδρας. — 30. Παράσιτος] Αὕτη ἡ λέξις ἐλέγετο καὶ ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ· ἐπὶ καλοῦ μὲν εἰς τοὺς τρεφομένους εἰς τὸ Πρυτανεῖον, ὁποῖοι ἦσαν οἱ κριταὶ, οἱ βουλευταὶ καὶ ὅσοι διὰ τὰς καλὰς δουλεύσεις των ἠξίουνοντο νὰ διατρίβωσιν ἐκεῖ· ἐπὶ κακοῦ δὲ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μους καὶ καταράτους, καὶ τῆς νεότητος ἀνατροπέας καὶ λυμεῶνας· οἱ δέ τινες ἑταίρας καὶ χαμαιτύπας μισθοῦνται, σοβαρὰς καὶ πολυτελεῖς, οἱ δὲ κατοψοφαγοῦσιν· οἱ δὲ εἰς κύβους καὶ κώμους ἐξοκέλλουσιν· ἤδη δέ τινες καὶ τῶν νεανικωτέρων ἅπτονται κακῶν, μοιχεύοντες καὶ κιττοφοροῦντες, καὶ μίαν ἡδονὴν θανάτου τιμώμενοι. Φιλοσόφῳ δὲ ὁμιλήσαντες οὗτοι, οὐ τοῖς ἴσοις πράγμασιν ἑαυτοὺς ἂν καταπειθεὶς παρέσχοντο· καὶ τόγε παράγγελμα τοῦ Διογένους ἔμαθον ἄν, ὃς φορτικῶς μὲν τοῖς ῥήμασιν, ἀληθῶς δὲ τοῖς πράγμασι παραινεῖ, καί φησιν, Εἴσελθε εἰς πορνεῖόν που, ἵνα μάθῃς, ὅτι τῶν ἀναξίων τὰ τίμια οὐδὲν διαφέρει.

ε. Συνελὼν τοίνυν ἐγώ φημι, καὶ χρησμολογεῖν μᾶλλον ἢ παραινεῖν, δόξαιμι· ἂν εἰκότως, ὅτι ἓν πρῶτον καὶ μέσον καὶ τελευταῖον ἐν τούτοις κεφάλαιον ἀγωγὴ σπουδαία καὶ παιδεία νόμιμός ἐστι· καὶ ταῦτα φορὰ καὶ συνεργὰ πρὸς ἀρετὴν καὶ πρὸς εὐδαιμονίαν φημί. Καὶ τὰ μὲν ἄλλα τῶν ἀγαθῶν ἀνθρώπινα καὶ μικρά, καὶ οὐκ ἀξιοσπούδαστα καθέστηκεν. Εὐγένεια καλὸν μέν, ἀλλὰ προγόνων ἀγαθόν. Πλοῦτος δὲ τίμιον μέν, ἀλλὰ τύχης κτῆμα· ἐπειδὴ τῶν μὲν ἐχόντων πολλάκις ἀφείλετο, τοῖς δ' οὐκ ἐλπίσασι φέρουσα προσήνεγκε· καὶ ὁ πολὺς πλοῦτος σκοπὸς ἔκκειται τοῖς βουλομένοις βαλλάντια τοξεύειν, κακούργοις οἰκέταις καὶ συκοφάνταις· καὶ τὸ μέγιστον, ὅτι καὶ τοῖς πονηροτάτοις μέτεστι. Δόξα γεμὴν σεμνόν, ἀλλ' ἀβέβαιον. Κάλλος δὲ περιμάχητον μέν, ἀλλ' ὀλιγοχρόνιον. Ὑγίεια δὲ τίμιον μὲν ἀλλ' εὐμετάστατον. Ἰσχὺς δὲ ζηλωτὸν μέν, ἀλλὰ νόσῳ εὐάλωτον καὶ γήρᾳ. Τὸ δὲ ὅλον, εἴτις ἐπὶ τῇ τοῦ σώματος ῥώμῃ φρονεῖ, μαθέτω γνώμης διαμαρτάνων. Πόστον γάρ ἐστιν ἰσχὺς ἀνθρωπίνη τῆς τῶν ἄλλων ζώων δυνάμεως; λέγω δέ, οἷον ἐλεφάντων, καὶ ταύρων, καὶ λεόντων. Παιδεία δὲ τῶν ἐν ἡμῖν μόνον ἐστὶν ἀθάνατον καὶ θεῖον. Καὶ δύο τὰ πάντων ἐστὶ κυριώτατα ἐν ἀνθρωπίνῃ φύσει, νοῦς καὶ λόγος. Καὶ ὁ μὲν νοῦς ἀρχικός ἐστι τοῦ λόγου· ὁ δὲ λόγος ὑπηρετικὸς τοῦ νοῦ· τύχῃ μὲν ἀνάλωτος, συ-

---

εἰς τοὺς ψωμοκόλακας, ὁποῖοι ἦσαν οἱ παρατηροῦντες τὰ σῖτα τῶν ἱερέων καὶ κατέτρωγον μετ' αὐτῶν τὰς θυσίας. —

9. Εἴσελθε εἰς πορνεῖόν που. . . οὐδὲν διαφέρει] Ἡ ἔννοια· λέγοντας ταῦτα ὁ Διογένης δὲν θέλει τὸν νέον νὰ ἔμβῃ εἰς τὸ πορνοστάσιον διὰ νὰ γένῃ ἀσελγής, ἀλλ' ἵνα, βλέπων ὀφθαλμοφανῶς τὰ ἐκεῖ αἰσχρά, μάθῃ πόσον βλαβερὸν εἶναι ἡ πορνεία.

ε. 11. Συκοφάντης] Εἰς τὰς Ἀθήνας ἡ-τον ἀπηγορευμένον νὰ ἐξέρχωνται τὰ σῦκα εἰς ξένους τόπους, ὅθεν οἱ ἐπὶ τούτῳ διορισθέντες νὰ παρατηρῶσι τοὺς παραβαίνοντας ταύτην τὴν προστηγὴν καὶ νὰ δίδωσι τὴν εἴδησιν εἰς τὴν διοίκησιν ὠνομάζοντο συκοφάνται· ἀλλ' ἐπειδὴ οὗτοι πολλάκις κατεχρῶντο τὸ ἐπάγγελμά των ὁμιλοῦντες ἐναντίον τῆς ἀληθείας, ὠνομάσθησαν συκοφάνται τῷ ὄντι, τουτέστι κακότροποι ψεῦται.

21. Τύχῃ. . . γήρᾳ αὐόμαντ.] Αἱ δο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κοφαντία δὲ ἀναφαίρετος, νόσῳ δ' ἀδιάφθορος, γήρᾳ δ' ἀλύμαντος. Μόνος γὰρ ὁ νοῦς παλαιούμενος ἀνηβᾷ· καὶ ὁ χρόνος τἄλλα πάντ' ἀφαιρῶν, τῷ γήρᾳ προστίθησι τὴν ἐπιστήμην. Ὁ γε μὴν πόλεμος χειμάῤῥου δίκην πάντα σύρων καὶ πάντα παραφέρων, μόνην οὐ δύναται παιδείαν παρελέσθαι. Καί μοι δοκεῖ Στίλπων ὁ Μεγαρεὺς φιλόσοφος ἀξιομνημόνευτον ποιῆσαι ἀπόκρισιν, ὅτε Δημήτριος ἐξανδραποδισάμενος τὴν πόλιν, εἰς ἔδαφος κατέβαλε, καὶ τὸν Στίλπωνα ἤρετο, μή τι ἀπολωλεκώς εἴη· καὶ ὅς, Οὐ δῆτα, εἶπε, »Πόλεμος γὰρ οὐ λαφυραγωγεῖ ἀρετήν«. Σύμφωνος δὲ καὶ συνῳδὸς καὶ ἡ Σωκράτους ἀπόκρισις ταύτῃ φαίνεται. Καὶ γὰρ αὐτὸς, ἐρωτήσαντος αὐτόν, ὡς μοὶ δοκεῖ, Γοργίου, ἣν ἔχει περὶ τοῦ μεγάλου βασιλέως ὑπόληψιν, καὶ εἰ νομίζοι τοῦτον εὐδαίμονα εἶναι, Οὐκ οἶδα ἔφησε, πῶς ἀρετῆς καὶ παιδείας ἔχει· ὡς τῆς εὐδαιμονίας ἐν τούτοις, οὐκ ἐν τοῖς τυχηροῖς ἀγαθοῖς κειμένης.

ς'. Ὥσπερ δὲ παραινῶ τῆς παιδείας τῶν τέκνων μηδὲν ποιεῖσθαι προὐργιαίτερον, οὕτως αὖ πάλιν φημὶ δεῖν τῆς ἀδιαφθόρου καὶ ὑγιαινούσης ἔχεσθαι· τῶν δὲ πανηγυρικῶν λήρων ὡς πορρωτάτω τοὺς υἱεῖς ἀπάγειν. Τὸ γὰρ τοῖς πολλοῖς ἀρέσκειν, τοῖς σοφοῖς ἐστιν ἀπαρέσκειν. Μαρτυρεῖ δέ μου τῷ λόγῳ καὶ Εὐριπίδης, λέγων,

Ἐγὼ δ' ἄκομψος εἰς ὄχλον δοῦναι λόγον,
Εἰς ἥλικας δὲ κἠλίγους σοφώτερος.
. . . . Οἱ δ' ἐν σοφοῖς
Φαῦλοι, παρ' ὄχλῳ μουσικώτεροι λέγειν.

Ὁρῶ δ' ἔγωγε τοὺς τοῖς συῤῥετώδεσιν ὄχλοις ἀρεστῶς καὶ κεχαρισμένως ἐπιτηδεύοντας λέγειν, καὶ τὸν βίον ὡς τὰ πολλὰ ἀσώτους καὶ φιληδόνους ἀποβαίνοντας. Καὶ νὴ Δί' εἰκότως. Εἰ γὰρ ἄλλοις ἡδονὰς παρασκευάζοντες, ἀμελοῦσι τοῦ καλοῦ, σχολὴ γ' ἂν τῆς ἰδίας ἡδυπαθείας καὶ τρυφῆς ὑπεράνω τὸ ὀρθὸν καὶ ὑγιὲς ποιήσαιντο, ἢ τὸ σῶφρον ἀντὶ τοῦ τερπνοῦ διώξαιεν. Πρὸς δὲ τούτοις, τί ἂν τοὺς παῖδας χρηστὸν ἕτερον διδάξαιμεν, καὶ τίσιν ἀγαθοῖς ἐπιφύεσθαι παραινέσαιμεν; καλὸν γάρ τοι, μηδὲν εἰκῇ μήτε λέγειν μήτε πράττειν, καὶ κατὰ τὴν παροιμίαν· »Χαλεπὰ τὰ καλά«. Οἱ δ' αὐτοσχέδιοι τῶν λόγων πολλῆς εὐχαιρείας καὶ ῥα-

---

τικαὶ εἶναι συντακτικαὶ τῶν ῥηματικῶν εἰς τός· ἰδὲ Γραμ. ἀντὶ γενικῆς μετὰ τῆς ὑπό. — 12. Μεγάλου βασιλέως] Τῶν Περσῶν δηλ. εἰς τὰ κατ' ἐξοχὴν ἀνάγεται καὶ τὸ βασιλεύς· ἰδὲ Συντακ. ὅτι μόνον ἐκεῖνον ὠνόμαζον οἱ Ἕλληνες μέγαν βασιλέα· ἐξ ἐκείνου ἴσως μετετρέπθη ὁ οὗτος ἔξοχος τίτλος καὶ εἰς τοὺς αὐτοκράτορας τῆς Τουρκίας, διὰ νὰ ὀνομάζωνται ἀπὸ τοὺς Εὐρωπαίους il gran Signor, ὁ μέγας αὐθέντης.

ς'. 3. Πανηγυρικῶν λήρων] Τοὺς ἐπιδεικτικοὺς λόγους ὀνομάζει ἐνταῦθα λήρους τοὺς ὁποίους συνείθιζον νὰ κάμνωσιν οἱ τότε Σοφισταὶ καὶ Ῥήτορες, ὅτι δι' αὐτῶν μᾶλλον ἐκολακεύοντο τὰ πάθη, παρὰ ἐδιωρθόνοντο τὰ ἤθη τῶν ἀκροατῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δημιουργίας εἰσὶ πλήρεις, οὔθ', ὅθεν ἀρκτέον, οὔθ', ὅποι παυστέον ἐστίν, εἰδότων. Χωρὶς δὲ τῶν ἄλλων πλημμελημάτων, οἱ ἂν ἐκ τοῦ παραχρῆμα λέγουσιν, εἰς ἀμετρίαν δεινὴν ἐμπίπτουσι καὶ πολυλογίαν. Σκέψις δὲ οὐκ ἐᾷ τῆς ἱκνουμένης συμμετρίας τὸν λόγον ἐμπίπτειν. Ὁ Περικλῆς, ὡς ἡμῖν ἀκούειν παραδέδοται, καλούμενος ὑπὸ τοῦ δήμου, πολλάκις οὐχ ὑπήκουσε, λέγων ἀσύντακτος εἶναι. Ὡσαύτως δὲ καὶ Δημοσθένης ζηλωτὴς τῆς τούτου πολιτείας γενόμενος, καλούντων αὐτὸν τῶν Ἀθηναίων σύμβουλον, ἀντέβαινεν, οὐ συντέταγμαι, λέγων. Καὶ ταῦτα μὲν ἴσως ἀδέσποτός ἐστι καὶ πεπλασμένη παράδοσις. Ἐν δὲ τῷ κατὰ Μειδίου τὴν τῆς σκέψεως ὠφέλειαν ἐναργῶς παρίστησι. Φησὶ γοῦν, Ἐγὼ δ' ἐσκέφθαι μέν, ὦ Ἀθηναῖοι, φημί, κοὐκ ἂν ἀρνηθείην καταμεμελετηκέναι γε ὡς ἐνὴν μάλιστα ἐμοί· καὶ γὰρ ἂν ἄθλιος ἦν, εἰ τοιαῦτα παθὼν καὶ πάσχων ἠμέλουν, ὧν περὶ τούτων ἐρεῖν ἔμελλον. Τὸ δὲ δὴ παντάπασιν ἀποδοκιμάζειν τῶν λόγων τὴν ἑτοιμότητα, ἢ πάλιν αὖ ταύτην οὐκ ἐπ' ἀξίοις ἀσκεῖν, οὐ φαίην ἂν ἔγωγε· ἀλλ' ὡς ἐν φαρμάκου μοίρᾳ τοῦτο ποιητέον ἐστί. Μέχρι δὲ τῆς τῶν ἀνδρῶν ἡλικίας οὐδὲν ἐκ τοῦ παρατυχόντος ἀξιῶ λέγειν· ἀλλ' ὅταν τις ῥιζώσῃ τὴν δύναμιν, τότε τῶν καιρῶν καλούντων, ἐλευθεριάζειν τοῖς λόγοις προσήκον. Ὥσπερ γὰρ οἱ πολὺν χρόνον δεδέντες, κἂν λυθεῖεν ὕστερον, ὑπὸ τῆς πολυχρονίου τῶν δεσμῶν συνηθείας οὐ δυνάμενοι βαδίζειν, ὑποσκελίζονται· τὸν αὐτὸν τρόπον οἱ πολλῷ χρόνῳ τὸν λόγον σφίγξαντες, κἂν εἴποτε ἐκ τοῦ παραχρῆμα δεήσειεν εἰπεῖν, οὐδὲν ἧττον τὸν αὐτὸν τῆς ἑρμηνείας χαρακτῆρα φυλάσσουσι. Τὸ δ' ἔτι παῖδας ὄντας ἐν ἐπὶ καιροῦ λέγειν ματαιολογίας τῆς ἐσχάτης αἴτιον καθίσταται. Ζωγράφος, φασίν, ἄθλιος Ἀπελλῆ δείξας εἰκόνα, ταύτην, ἔφη, νῦν γέγραφα· ὁ δέ, καὶ ἣν μὴ λέγῃς, εἶπεν, οἶδα, ὅτι ταχὺ γέγραπται· θαυμάζω δέ, πῶς οὐχὶ τοιαύτας πλείους γέγραφας. Ὥσπερ τοίνυν, (ἐπανάγω γὰρ πρὸς τὴν ἐξ αὐτῆς τοῦ λόγου ὑπόθεσιν) τὴν θεατρικὴν καὶ παρατράγῳδον, οὕτως αὖ πάλιν καὶ τὴν σμικρολογίαν τῆς λέξεως καὶ ταπείνωσιν παραινῶ διευλαβεῖσθαι καὶ φεύγειν· ἡ μὲν γὰρ ὑπέρογκος ἀπολίτευτός ἐστιν· ἡ δὲ ἰσχνὴ λίαν ἀνέκπληκτος. Καθάπερ δὲ τὸ σῶμα οὐ μόνον ὑγιεινόν, ἀλλὰ καὶ εὐεκτικὸν εἶναι χρή· καὶ τὸν λόγον ὡσαύτως οὐκ ἄνοσον, μόνον, ἀλλὰ καὶ εὔρωστον εἶναι δεῖ. Τὸ

---

6. Ἀ ὑντ.) Τοὐτέστιν ἀπροετοίμαστος. — 25. Τὸν αὐτὸν χαρακτῆρα φυλάττ.) Ὁ Συγγραφεὺς θέλει τοὺς νέους νὰ μὴ ὁμιλήσουν ἐκ τοῦ προχείρου, ἕως οὗ δὲν γυμνασθῶσιν εἰς τὴν εὐγλωττίαν τοῦ λέγειν διότι ἀφ' οὗ συνειθίσωσιν ἅπαξ εἰς κακὸν ὕφος, δύσκολα ἠμποροῦν νὰ ἀποσυνειθίσουν. — 31. Τὴν θεατρικὴν παρατράγῳδον... τῆς λέξεως] Ἀντὶ τὴν .. λέξιν· ἰδὲ Σιντ. — 36. Εὔρωστον λόγον]

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μὲν γὰρ ἀσφαλὲς ἐπαινεῖται μόνον, τὸ δ' ἐπικίνδυνον καὶ θαυμάζεται. Τὴν δὲ τυγχάνω γνώμην ἔχων καὶ περὶ τῆς ἐν τῇ ψυχῇ διαθέσεως· οὔτε γὰρ θρασὺν, οὔτ' ἄτολμον καὶ καταπλῆγα προσῆκεν εἶναι· τὸ μὲν γὰρ εἰς ἀναισχυντίαν, τὸ δὲ εἰς ἀνδραποδωδίαν περίσταται· ἔντεχνον δὲ, τὸ τὴν μέσην ἐν ἅπασι τέμνειν ἐμμελέσταται. Βούλομαι δ', ἕως ἔτι μέμνημαι τῆς παιδείας, ὡς ἔχω δόξης περὶ αὐτῆς, εἰπεῖν, ὅτι τὸν μονόκωλον λόγον πρῶτον μὲν ἀμουσίας οὐ μικρὸν ποιοῦμαι τεκμήριον· ἔπειτα δὲ καὶ πρὸς τὴν ἄσκησιν ἀψίκορον, καὶ πάντῃ ἀνεπίμονον εἶναι νομίζω. Μονῳδία γὰρ ἐν ἅπασιν ἐστι πλήσμιόν τε καὶ πρόσαντες· ἡ δὲ ποικιλία τερπνὸν· καθάπερ κἀν τοῖς ἄλλοις ἅπασιν, οἷον ἀκούσμασιν ἢ θεάμασιν.

ζ. Δεῖ τοίνυν τὸν παῖδα τὸν ἐλεύθερον μηδενὸς μηδὲ τῶν ἄλλων τῶν καλουμένων ἐγκυκλίων παιδευμάτων μήτ' ἀνήκοον μήτ' ἀθέατον, ἐὰν εἶναι, ἀλλὰ ταῦτα μὲν ἐκ παραδρομῆς μαθεῖν, ὥσπερεὶ γεύματος ἕνεκεν, (ἐν ἅπασι γὰρ τὸ τέλειον ἀδύνατον) τὴν δὲ φιλοσοφίαν προσθεῖναι. Ἔχω δὲ δι' εἰκόνος παραστῆσαι τὴν ἐμαυτοῦ γνώμην· ὥσπερ γὰρ περιπλεῦσαι μὲν πολλὰς πόλεις καλὸν, ἐνοικῆσαι δὲ τῇ κρατίστῃ χρήσιμον. Ἀστείως δὲ καὶ Βίων ἔλεγεν ὁ Φιλόσοφος, ὅτι, ὥσπερ οἱ μνηστῆρες τῇ Πηνελοπῇ πλησιάζειν μὴ δυνάμενοι, ταῖς ταύτης ἐμίγνυντο θεραπαίναις, οὕτω καὶ οἱ φιλοσοφίας μὴ δυνάμενοι κατατυχεῖν, ἐν τοῖς ἄλλοις παιδεύμασι τοις οὐδενὸς ἀξίοις ἑαυτοὺς κατασκελετεύουσι. Διὸ δεῖ τῆς ἄλλης παιδείας ὥσπερ κεφάλαιον ποιεῖν τὴν φιλοσοφίαν. Περὶ μὲν γὰρ τὴν τοῦ σώματος ἐπιμέλειαν διττὰς εὗρον

ἀνθ. καταπεπιστικόν. — 5. Τὴν μέσην] Ὁδὸν ἤγ. — 7. Λόγος μονόκωλος] Τοῦ ὁποίου οἱ περίοδοι ἔχουσι πάντοτε τὸ αὐτὸ εἶδος τῆς κατασκευῆς· καθὼς ὅταν ὁμοιῇ ἡ ψάλλῃ τις πάντοτε μὲ ἕνα τόνον τῆς φωνῆς — 9. Μονῳδία] Ἄτομα ἀδόμενον εἰς ἕνα τόνον, καὶ εἰς τὴν μελῳδίαν δὲν γίνεται κἀμμία ποικιλότης του τόνου· τὸ ὁποῖον ὁμοίως εἶναι δυσάρεστον καὶ ἀκόμη εἰς τοὺς ἀκροατὰς· καθὼς ὅταν κρούῃ τις πάντοτε τὴν αὐτὴν χορδὴν τῆς κιθάρας, φέρ' εἰπεῖν, ἢ ἄλλου τινὸς μουσικοῦ ὀργάνου.

ζ. Ἐγκύκλια παιδεύματα εἶναι τὰ στοιχειώδη μαθήματα· οἷον, ἡ Γραμματική, Ποιητική, Ῥητορική, Μυθολογία, Γεωγραφία, Ἱστορία, Ἀριθμητική, Μαθηματική, καὶ ὅσα ἄλλα περιχέει ἡ προκειμένη εἰς ἐκδοσιν Ἐγκυκλοπαιδεία τῶν Παίδων χωρὶς τῶν ὁποίων εἶναι ἀδύνατον νὰ γένῃ τις Φιλόσοφος. Ἐγκύκλια δὲ λέγονται, ὅτι οὕτω συνέχονται ἀλλήλοις, ὡς τὰ σημεῖα τῆς γραμμῆς εἰς τὴν περιφέρειαν τοῦ κύκλου· διότι καθὼς ταῦτα ὁμοῦ λαμβανόμενα κάμνουσι τὴν περιφέρειαν τοῦ κύκλου, οὕτω καὶ ἑκεῖνα ἀλληλένδετα ὄντα καὶ διδασκόμενα κατὰ συνέχειαν τὸ ἓν κατόπιν τοῦ ἄλλου τοιουτοτρόπως, ὥστε τὸ πρῶτον γίνεται διδακτικὸν τοῦ δευτέρου, καὶ τοῦτο πάλιν τοῦ τρίτου, καὶ οὕτω καθεξῆς, συμπληρούσι τὴν παρ' ἡμῖν λεγομένην Φιλολογίαν. Ὅθεν καὶ ὅλων τούτων ἡ περιοχὴ ὀνομάζεται Ἐγκυκλοπαιδεία

— 4. Τὸ τέλειον ἀδύνατον] Ὅτι ὁ μὲν βίος βραχὺς, ἡ δὲ τέχνη μακρὰ κατὰ τὸν Ἱπποκράτην. — 5. Τὴν δὲ φιλοσοφίαν προσθεῖναι] Τουτέστιν μετὰ πάσης ἐπιμελείας εἰς τὴν φιλοσοφίαν νὰ ἀριερωθῇ Φιλοσοφία ἐνταῦθα ἐννοεῖ μόνον τὸ ἠθικὸν μέρος τῆς πρακτικῆς· τῆς δὲ θεω-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐπιστήμας οἱ ἄνθρωποι, τὴν ἰατρικὴν καὶ γυμναστικήν· ὧν ἡ μὲν τὴν ὑγείαν, ἡ δὲ τὴν εὐεξίαν ἐντίθησι. Τῶν δὲ τῆς ψυχῆς ἀρρωστημάτων καὶ παθῶν ἡ φιλοσοφία * μόνη φάρμακόν ἐστι. Διὰ γὰρ ταύτην ἐστὶ καὶ μετὰ ταύτης γνῶναι, τί τὸ καλὸν, τί τὸ αἰσχρόν· τί τὸ δίκαιον, τί τὸ ἄδικον· τί τὸ συλλήδδην αἱρετὸν, τί φευκτόν· πῶς Θεοῖς, πῶς γονεῦσι, πῶς πρεσβυτέροις, πῶς νόμοις, πῶς ἀλλοτρίοις, πῶς ἄρχουσι, πῶς φίλοις, πῶς γυναιξί, πῶς τέκνοις, πῶς οἰκέταις χρηστέον ἐστίν· ὅτι δεῖ Θεοὺς μὲν σέβεσθαι, γονέας δὲ τιμᾶν, πρεσβυτέρους αἰδεῖσθαι, νόμοις πειθαρχεῖν, ἄρχουσιν ὑπείκειν, φίλους ἀγαπᾶν, πρὸς γυναῖκας σωφρονεῖν, τέκνων στερκτικοὺς εἶναι, δούλους μὴ περιῤῥοΐζειν· τὸ δὲ μέγιστον, μήτ' ἐν ταῖς εὐπραγίαις περιχαρεῖς, μήτ' ἐν ταῖς συμφοραῖς περιλύπους ὑπάρχειν, μήτ' ἐν ταῖς ἡδοναῖς ἐκλύτους εἶναι, μήτ' ἐν ταῖς ὀργαῖς ἐκπαβεῖς καὶ θηριώδεις. Ἅπερ ἐγὼ πάντων τῶν ἐκ φιλοσοφίας περιγινομένων ἀγαθῶν πρεσβύτατα κρίνω. Τὸ μὲν γὰρ εὐγενῶς εὐτυχεῖν, ἀνδρός· τὸ δ' ἀνεπιφθόνως, εὐμενίου ἀνθρώπου· τὸ δὲ τοῖς λογισμοῖς περιεῖναι τῶν ἡδονῶν, σοφῶν· τὸ δὲ ὀργῆς καταμρατεῖν, ἀνδρὸς οὐ τοῦ τυχόντος ἐστί. Τελείους δ' ἀνθρώπους ἡγοῦμαι τοὺς δυναμένους τὴν πολιτικὴν δύναμιν μίξαι καὶ κεράσαι τῇ φιλοσοφίᾳ· καὶ δυσὶν ὄντοιν μεγίστοιν ἀγαθοῖν ἐπιβόλους ὑπάρχειν ὑπολαμβάνω, τοῦ τε κοινωφελοῦς βίου, πολιτευομένους, τοῦ τε ἀκυμονος καὶ γαλανοῦ, διατριβοντας περὶ φιλοσοφίαν. Τριῶν γὰρ ὄντων βίων, ὧν ὁ μὲν ἐστι πρακτικὸς, ὁ δὲ θεωρητικὸς, ὁ δὲ ἀπολαυστικὸς, ὁ μὲν ἔκλυτος καὶ δοῦλος τῶν ἡδονῶν, ζωώδης καὶ μικροπρεπής ἐστιν· ὁ δὲ θεωρητικὸς τοῦ πρακτικοῦ διαμαρτάνων, ἀνωφελής· ὁ δὲ πρακτικὸς, ἀμοιρήσας φιλοσοφίας, ἄγυσος καὶ πλημμελής. Πειρατέον οὖν εἰς δύναμιν καὶ τὰ κοινὰ πράττειν, καὶ τῆς φιλοσοφίας ἀντιλαμβάνεσθαι κατὰ τὸ παρεῖκον τῶν καιρῶν. Οὕτως

ρατικῆς ὅλιγη φροντὶς ἦτο παρὰ τοῖς παλαιοῖς. — Ἡ γυμναστικὴ ἐπιστήμη] Περιλαμβάνει τὴν χειρουργικὴν, παλαιστικὴν, ἱππευτικὴν καὶ τὴν σταδιοδρομίαν κατὰ τοὺς παλαιούς. * ἐνταῦθα συμπεριλαμβάνεται καὶ ἡ θεωρητικὴ φιλοσοφία. — 4. Διὰ ταύτην] Τὴν φιλοσοφίαν ὅλη. — 8. Θεῶν σέβεσθαι] Καὶ φιλαττεῖν ὁσιοῦσθαι τὸ πρὸς τὴν θρησκείαν χρέος τοῦ. —10. Ἄρχουσιν ὑπείκειν] Κατὰ τὸ Εὐαγγέλιον ὅστε τὰ τοῦ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. — 16. Τὸ μὲν εὐγενῶς εὐτυχεῖν, ἀνδρός· τὸ δ' ἀνεπιφθόνως, εὐτυχεῖν ὅλη. εὐμενίου ἀνθρώπου] Ἡ ἔννοια εἶναι αὕτη κατὰ τὴν γνώμην μου· τὸ νὰ εὐτυχῇ ἐλευθεριοις εἶναι ἔργον μεγάλου ἀνδρός, τὸ δὲ νὰ εὐτυχῇ χωρὶς νὰ φθονῶσι εἶναι ἔργον ἀνθρώπου ὅστις ἀρνεῖ εὐκόλα τὰς ἡδονὰς τοῦ διαιτεῖν, τουτέστι πιστεύεται. — 18. οὐ τοῦ τυχόντος ἐστί] Οὐ τυχὸν ὅλη. —20. Μίξαι καὶ κεῖσθαι τῇ φιλοσοφίᾳ] Ἡ ἔννοια τελείους ἀνθρώπους ἡγοῦμαι ἐνοίους τοὺς διοικοῦντας καὶ ῥεμματικοὺς, ὅσοι θεμελιώνουσι τὴν δύναμιν καὶ ἐξουσίαν τῶν ἐπάνω εἰς δόγματα τῶν σοφῶν. — 20. Κατὰ τὸ παρεῖκον τῶν καιρῶν] Κατὰ τὰς καιρικὰς περιστάσεις ὅλη. —

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἐπολιτεύσατο Περικλῆς, οὕτως Ἀρχύτας ὁ Ταραντῖνος, οὕτω Δίων ὁ Συρακούσιος, οὕτως Ἐπαμεινώνδας ὁ Θηβαῖος· ὧν ἑκάτερος Πλάτωνος ἐγένετο συνουσιαστής. Καὶ περὶ μὲν παιδείας οὐκ οἶδ' ὅ,τι δεῖ πλείονα λέγοντα διατρίβειν. Πρὸς δὲ τοῖς εἰρημένοις χρήσιμον, μᾶλλον δὲ ἀναγκαῖόν ἐστι, μηδὲ τῆς τῶν παλαιῶν συγγραμμάτων κτήσεως ὀλιγώρως ἔχειν, ἀλλὰ καὶ τούτων ποιεῖσθαι συλλογὴν κατὰ τὸ γεωργῶδες· τὸν γὰρ αὐτὸν τρόπον ὄργανον τῆς παιδείας ἡ χρῆσις τῶν βιβλίων ἐστί, καὶ ἀπὸ πηγῆς τὴν ἐπιστήμην τηρεῖν συμβέβηκεν.

ἡ. Οὐ τοίνυν ἄξιον οὐδὲ τὴν τῶν σωμάτων ἀγωνίαν παρορᾶν, ἀλλὰ πέμποντας ἐς παιδοτρίβου τοὺς παῖδας ἱκανῶς ταῦτα διαπονεῖν, ἅμα μὲν τῆς τῶν σωμάτων εὐρυθμίας ἕνεκεν, ἅμα δὲ καὶ πρὸς ῥώμην. Καλοῦ γὰρ γήρως θεμέλιον ἐν παισὶν ἡ τῶν σωμάτων εὐεξία. Καθάπερ οὖν ἐν εὐδίᾳ τὰ πρὸς τὸν χειμῶνα προσήκε παρασκευάζειν, οὕτως ἐν νεότητι τὴν εὐταξίαν καὶ τὴν σωφροσύνην ἐφόδιον εἰς τὸ γῆρας ἀποτίθεσθαι. Οὕτω δὲ δεῖ ταμιεύεσθαι τὸν τοῦ σώματος πόνον, ὡς μὴ καταξήρους γινομένους πρὸς τὴν τῆς παιδείας ἐπιμέλειαν ἀπαγορεύειν. Κατὰ γὰρ Πλάτωνα ὕπνοι καὶ κόποι μαθήμασι πολέμιοι. Καὶ τί ταῦτα; ἀλλ' ὁ πάντων ἐστὶ κυριώτατον τῶν εἰρημένων, σπεύδω λέγειν. Πρὸς γὰρ τοὺς στρατιωτικοὺς ἀγῶνας τοὺς παῖδας ἀσκητέον, ἐν ἀκοντισμοῖς αὐτοὺς καταβλοῦντας, καὶ τοξείαις καὶ θήραις. Τὰ γὰρ τῶν ἡττωμένων ἐν ταῖς μάχαις ἀγαθά, τοῖς νικῶσιν ἆθλα πρόκειται· πόλεμος δὲ ἐσκιατραφημένην σωμάτων ἔξιν οὐ δέχεται· ἰσχνὸς δὲ στρατιώτης πολεμικῶν ἀγώνων ἐθάς, ἀθλητῶν καὶ πολεμίων φάλαγγας διωθεῖ. Τί οὖν ἄν τις εἴποι; σὺ δὲ δὴ περὶ τῆς τῶν ἐλευθέρων παίδων ἀγωγῆς ὑποσχόμενος παραγγέλματα δώσειν, ἔπειτα φαίνῃ τῆς μὲν τῶν πενήτων καὶ δημοτικῶν παραμελῶν ἀγωγῆς, μόνοις δὲ τοῖς πλουσίοις ὁμονοεῖς τὰς ὑποθήκας διδόναι. Πρὸς οὓς οὐ χαλεπὸν ἀπαντῆσαι. Ἐγὼ γὰρ μάλιστα ἂν βουλοίμην, πᾶσι κοινῇ χρήσιμον εἶναι τὴν ἀγωγήν· εἰ δέ τινες ἐνδεῶς τοῖς ἰδίοις πράττοντες ἀδυνατήσουσι τοῖς ἐμοῖς χρήσασθαι παραγγέλμασι, τὴν τύχην αἰτιάσθωσαν, οὐ τὸν ταῦτα συμβουλεύοντα. Πειρατέον μὲν οὖν εἰς δύναμιν, τὴν κρατίστην ἀγωγὴν ποιεῖσθαι τῶν παίδων, καὶ τοῖς πένησιν· εἰ δὲ μή, τῇ γε δυνατῇ χρηστέον. Καὶ ταῦτα μὲν δὴ

7. Κατὰ τὸ γεωργῶδες] Τουτέστιν ὡς ποιοῦσιν οἱ γεωργοί. — Οὐ κτῆσις, ἀλλ' ἡ ... ὄργανον τῆς παιδείας] Τουτέστιν ἀχι ἡ κτῆσις, ἀλλ' ἡ μεταχείρισις τῶν βιβλίων κάμνει τὸν ἄνθρωπον πεπαιδευμένον ἡ. 6. Φάλαγξ] ἡ Μακεδονικὴ συνίστατο ἀπὸ 8000 ἐκλελεγμένους πραστιώτας πεζούς· ἰδὲ περὶ ταύτης Ἀρβιανόν, Ἑλλ. Κ. Νεοφύτου.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῷ λόγῳ παρεφορτισάμην, ἵν' ἐρεξῆς καὶ τἆλλα τὰ φέροντα πρὸς τὴν ὀρθὴν τῶν νέων ἀγωγὴν συνάψω.

Θ΄. Κἀκεῖνό φημι, δεῖν τοὺς παῖδας ἐπὶ τὰ καλὰ τῶν ἐπιτηδευμάτων ἄγειν παραινέσεσι καὶ λόγοις, μὴ μὰ Δία πληγαῖς μηδ' αἰκισμοῖς. Δοκεῖ γάρ που ταῦτα τοῖς δούλοις μᾶλλον, ἢ τοῖς ἐλευθέροις πρέπειν· ἀποναρκῶσι γὰρ καὶ φοίττουσι πρὸς τοὺς πόνους, τὰ μὲν διὰ τὰς ἀλγηδόνας τῶν πληγῶν, τὰ δὲ καὶ διὰ τὰς ὕβρεις. Ἔπαινοι δὲ καὶ ψόγοι πάσης εἰσὶν αἰκίας ὠφελιμώτεροι τοῖς ἐλευθέροις· οἱ μὲν ἐπὶ τὰ καλὰ παρορμῶντες, οἱ δὲ ἀπὸ τῶν αἰσχρῶν ἀνείργοντες. Δεῖ δ' ἐναλλὰξ καὶ ποικίλως χρήσθαι ταῖς ἐπιπλήξεσι καὶ τοῖς ἐπαίνοις· κἀπειδάν ποτε εὐφραινῶνται, ταῖς ἐπιπλήξεσιν ἐν αἰσχύνῃ ποιεῖσθαι· καὶ πάλιν ἀνακαλεῖσθαι τοῖς ἐπαίνοις· καὶ μιμεῖσθαι τὰς τιτθάς, αἵτινες, ἐπειδὰν τὰ παιδία κλαυθμυρίσωσιν, εἰς παρηγορίαν πάλιν τὸν μαστὸν ὑπέχουσι. Δεῖ δὲ αὐτοὺς μηδὲ τοῖς ἐγκωμίοις ἐπαίρειν καὶ φυσᾶν· χαυνοῦνται γὰρ ταῖς ὑπερβολαῖς τῶν ἐπαίνων καὶ θρύπτονται. Ἤδη δέ τινας ἐγὼ εἶδον πατέρας, οἷς τὸ λίαν φιλεῖν τοῦ μὴ φιλεῖν αἴτιον κατέστη. Τί οὖν ἐστιν, ὃ βούλομαι λέγειν; ἵνα τῷ παραδείγματι φωτεινότερον ποιήσω τὸν λόγον. Σπεύδοντες γὰρ τοὺς παῖδας ἐν πᾶσι τάχιον πρωτεῦσαι, πόνους αὐτοῖς ὑπερμέτρους ἐπιβάλλουσιν, οἷς ἀπαυδῶντες ἐκπίπτουσι, καὶ ἄλλως βαρυνόμενοι ταῖς κακοπαθείαις οὐ δέχονται τὴν μάθησιν εὐηνίως. Ὥσπερ γὰρ τὰ φυτὰ τοῖς μὲν μετρίοις ὕδασι τρέφεται, τοῖς δὲ πολλοῖς πνίγεται, τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχή, τοῖς μὲν συμμέτροις αὔξεται πόνοις, τοῖς δὲ ὑπερβάλλουσι βαπτίζεται. Δοτέον οὖν τοῖς παισὶν ἀναπνοὴν τῶν συνεχῶν πόνων, ἐνθυμουμένους, ὅτι πᾶς ὁ βίος ἡμῶν εἰς ἄνεσιν καὶ σπουδὴν διῄρηται· καὶ διὰ τοῦτο οὐ μόνον ἐγρήγορσις, ἀλλὰ καὶ ὕπνος εὑρέθη· οὐδὲ πόλεμος, ἀλλὰ καὶ εἰρήνη· οὐδὲ χειμών, ἀλλὰ καὶ εὐδία· οὐδ' ἐνεργοὶ πράξεις, ἀλλὰ καὶ ἑορταί. Συνελόντι δὲ εἰπεῖν, ἡ ἀνάπαυσις τῶν πόνων ἄρτυμά ἐστι. Καὶ οὐκ ἐπὶ τῶν ζώων μόνον τοῦτο ἴδοι τις γινόμενον, ἀλλὰ καὶ ἐπὶ τῶν ἀψύχων· καὶ γὰρ τὰ τόξα καὶ τὰς λύρας ἀνίεμεν, ἵνα ἐπιτεῖναι δυνηθῶμεν. Καθόλου δὲ σώζεται, σῶμα μέν, ἐνδείᾳ καὶ πληρώσει· ψυχὴ δέ, ἀνέσει καὶ πόνῳ. Ἄξιον δὲ ἐπιτιμᾶν τῶν πατέρων ἐνίοις, οἵτινες παιδαγωγοῖς καὶ διδασκάλοις ἐπιτρέψαντες τοὺς υἱεῖς, αὐτοὶ τῆς τούτων μαθήσεως οὔτε αὐτόπται γίγνονται τοπαράπαν, οὔτε αὐτήκοοι, πλείστον τοῦ δέοντος ἁμαρτάνοντες. Αὐτοὺς

Θ΄. 10. Ἐν αἰσχύνῃ ποιεῖσθαι] Ἀντὶ αἰσχύνειν, εὐηνίως, μετὰ χασᾶς, ἄρμενοι. Τινὲς πατέρες κυριευμένοι ὄντες ἀπὸ ψευδεῖς καὶ τραλεράς δόξας ὑπολαμβάνουσιν ὅτι, ἐὰν, εἰς τοὺς παῖδας αὐτῶν παραδοθῶσι πολλὰ μαθήματα νὰ μάθωσιν, εὐθὺς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γὰρ παρ' ὀλίγας ἡμέρας δεῖ δοκιμασίαν λαμβάνειν τῶν παίδων, ἀλλὰ μὴ τὰς ἐλπίδας ἔχειν ἐν μισθωτοῦ διαθέσει· καὶ γὰρ ἐκεῖνοι πλείονα ποιήσονται τὴν ἐπιμέλειαν τῶν παίδων, μέλλοντες ἑκάστοτε διδόναι τὰς εὐθύνας. Κἀνταῦθα δὴ τὸ ῥηθὲν ὑπὸ τοῦ ἱπποκόμου χάριεν, ὡς οὐδὲν οὕτω πιαίνει τὸν ἵππον ὡς βασιλέως ὀφθαλμός. Πάντων δὲ μάλιστα τὴν μνήμην τῶν παίδων ἀσκεῖν καὶ συνεθίζειν· αὕτη γὰρ ὥσπερ τῆς παιδείας ἐστὶ ταμιεῖον· καὶ διὰ τοῦτο μητέρα τῶν Μουσῶν ἐμυθολόγησαν εἶναι τὴν Μνημοσύνην, αἰνιττόμενοι καὶ παραδηλοῦντες, ὅτι οὕτως οὐδὲν γεννᾷ καὶ τρέφει, ὡς ἡ μνήμη, πέφυκε. Καὶ τοίνυν ταύτην κατ' ἀμφότερα ἀσκητέον, εἴτ' ἐκ φύσεως μνήμονες εἶεν οἱ παῖδες, εἴτε καὶ τοὐναντίον ἐπιλήσμονες. Τὴν γὰρ πλεονεξίαν τῆς φύσεως ἐπιῤῥώσομεν, τὴν δ' ἔλλειψιν ἀναπληρώσομεν· καὶ οἱ μὲν τῶν ἄλλων ἔσονται βελτίονες, οἱ δ' ἑαυτῶν. Τὸ γὰρ Ἡσιόδειον καλῶς εἴρηται,

Εἰ γὰρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο,
Καὶ θαμὰ τοῦθ' ἕρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο.

Μὴ λανθανέτω τοίνυν μηδὲ τοῦτο τοὺς πατέρας, ὅτι τὸ μνημονικὸν τῆς μαθήσεως μέρος· οὐ μόνον πρὸς τὴν παιδείαν, ἀλλὰ καὶ πρὸς τὰς τοῦ βίου πράξεις, οὐκ ἐλαχίστην συμβάλλεται μοῖραν. Ἡ γὰρ τῶν γεγενημένων πράξεων μνήμη τῆς περὶ τῶν μελλόντων εὐβουλίας γίγνεται παράδειγμα.

ι. Καὶ μέν τοι καὶ τῆς αἰσχρολογίας ἀπακτέον τοὺς υἱεῖς. Λόγος γὰρ ἔργου σκιά, κατὰ Δημόκριτον. Εἶτα γεμὴν ἐντευκτικοὺς αὐτοὺς εἶναι παρασκευαστέον καὶ φιλοπροσηγόρους· οὐδὲν γάρ, ὡς τὰ ἀνέντευκτα τῶν ἠθῶν, ἐστὶν οὕτως ἀξιομίσητον. Ἔτι τοίνυν οἱ παῖδες ἀμισεῖς γίγνοιντ' ἂν τοῖς συνοῦσι, μὴ παντελῶς ἐν ταῖς ζητήσεσιν ἀπαραχώρητοι γιγνόμενοι. Οὐ γὰρ τὸ νικᾶν μόνον, ἀλλὰ καὶ τὸ ἡττᾶσθαι ἐπίστασθαι καλόν, ἐν οἷς τὸ νικᾶν βλαβερόν· ἔστι γὰρ ὡς ἀληθὲς καὶ * νίκη Καδμεία. Ἔχω δὲ μάρτυρα τούτων Εὐριπίδην τὸν σοφὸν ἐπαγάγεσθαι, λέγοντα,

Δυοῖν λεγόντοιν, θατέρου θυμουμένου,
Ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος.

Ἀ τοίνυν τῶν εἰρημένων οὐδενὸς ἥττόν ἐστιν, ἀλλὰ καὶ μᾶλλον ἐπιτηδευτέα τοῖς νέοις, καὶ δὴ λεκτέον. Ταῦτα δὲ ἐστι, τὸν βίον

θέλουν γένει σοφή. — 5. Ἱπποκόμου] Οὗτος κατὰ τὸν Ἀριστοτ. βιβλ. βʹ. οἰκ. ἤτοι Πέρσης. — 8. Μνημοσύνην καὶ Μοῦσαι] ἴδε Μυθολ.

ι. 2. Σκιὰ ἰων. ἀντὶ σκιά. * Νίκη Καδμεία ὅπου ἑκάτερα τὰ μέρη δὲν ἀπέλαυσαν, τίθεται ἡ Παροιμία προελθοῦσα ἐκ τῆς μονομαχίας τῶν δύο ἀδελφῶν Ἐτεοκλέους καὶ Πολυνείκους, οὗτοι ἦσαν υἱοὶ τοῦ Οἰδίποδος βασιλέως τῶν Θηβῶν (αἱ ὁπῶαι λέγονται καὶ Καδμεῖα) οἵ τινες μετὰ τὸν θάνατον τοῦ Πατρὸς αὐτῶν ἐσυμφώνησαν περὶ τῆς βασιλείας νὰ διοικῶσιν ὁ ἕτερος παρ' ἐναυτὸν, τουτέστιν ὁ εἷς τὸν ἕνα χρόνον, καὶ ὁ ἕτερος τὸν ἄλλον· καὶ ἐπειδὴ Ἐτεοκλῆς παρέβη τὴν συμφωνίαν, μο-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀτρύφητον ἀσκεῖν, τὸ τὴν γλῶτταν κατέχειν, τὸ τῆς ὀργῆς ὑπερᾶνω γίγνεσθαι, τὸ τῶν χειρῶν κρατεῖν. Τούτων ἕκαστον ἡλίκον ἐστὶ σκεπτέον· ἔσται δὲ ἐπὶ παραδειγμάτων γνωριμώτερα. Οἷον, ἵνα ἀπὸ τοῦ τελευταίου πρῶτον ἄρξωμαι, τὰς χεῖρας τινὲς ὑποσχόντες λήμμασιν ἀδίκοις, τὴν δόξαν τῶν προδεδωμένων ἐξέχεαν· ὡς Γύλιππος ὁ Λακεδαιμόνιος, τὰ σακκία τῶν χρημάτων παραλύσας, φυγὰς ἀπηλάθη τῆς Σπάρτης. Τόγε μὴν ἄοργητον ἀνδρός ἐστι σοφοῦ. Σωκράτης μὲν γάρ, λακτίσαντος αὐτὸν νεανίσκου θρασέος μάλα καὶ βδελυροῦ, τοὺς ἀμφ' αὐτὸν ὁρῶν ἀγανακτοῦντας καὶ σφαδάζοντας, ὡς καὶ διώκειν αὐτὸν ἐθέλειν, ἄρα, ἔφησε, καὶ εἴ με ἕνος ἐλάκτισεν, ἀντιλακτίσαι τοῦτον ἠξιώσατε ἄν; οὐ μὴν ἐκεῖνός γε παντελῶς κατεπροΐξατο· πάντων δ' αὐτὸν ὀνειδιζόντων καὶ λακτιστὴν ἀποκαλούντων, ἀπήγξατο. Ἀριστοφάνους δὲ, ὅτε τὰς νεφέλας ἐξέφερε, παντοίως πᾶσαν ὕβριν αὐτοῦ κατασκεδαννύντος, καί τινος τῶν παρόντων, τὰ τοιαῦτα ἀνακωμῳδοῦντος, οὐκ ἀγανακτεῖς, εἰπόντος, ὦ Σώκρατες; μὰ Δί' οὐκ ἔγωγε, ἔφησεν, ὡς γορ ἐν συμποσίῳ μεγάλῳ τῷ θεάτρῳ σκώπτομαι. Ἀδελφὰ τούτοις καὶ σύζυγα φανήσονται πεποιηκότες Ἀρχύτας ὁ Ταραντῖνος καὶ Πλάτων. Ὁ μὲν γὰρ ἐπανελθὼν ἀπὸ τοῦ πολέμου (στρατηγῶν δὲ ἐτύγχανε) γῆν καταλαβὼν κεχερσωμένην, τὸν ἐπίτροπον καλέσας αὐτῆς, Ὤμωξας ἄν, ἔφησεν, εἰμὴ λίαν ὀργιζόμην. Πλάτων δὲ δούλῳ λίχνῳ καὶ βδελυρῷ θυμωθεὶς, τὸν τῆς ἀδελφῆς υἱὸν Σπεύσιππον καλέσας. Τοῦτον ἔφησεν, ἀπελθὼν κρότησον· ἐγὼ γὰρ πάνυ θυμοῦμαι. Χαλεπὰ δὲ ταῦτα καὶ δυσμίμητα, φαίη τις ἄν. Οἶδα κἀγώ. Πειρατέον οὖν εἰς ὅσον οἷόν τ' ἐστι, τούτοις παραδείγμασι χρωμένους, τὸ πολὺ τῆς ἀκρατοῦς καὶ μαινομένης ὑφαιρεῖν ὀργῆς. Οὐδὲ γὰρ ἐς τἄλλα ἐναντίοι ταῖς ἐκείνων ἐσμὲν οὔτ' ἐμπειρίαις, οὔτε καλοκἀγαθίαις· ἀλλ' οὐδὲν ἧττοι ἐκείνων, ὥσπερ Θεῶν ἱερόφανται καὶ δαδοῦχοι τῆς σοφίας ὄντες, ἴσα πέρ ἐστιν ἐν δυνατῷ, ταῦτα μιμεῖσθαι καὶ περικνίζειν ἐπιχειροῦμεν. Τὸ τοίνυν τῆς γλώττης κρατεῖν· περὶ τούτου γάρ, ὅσπερ ὑπεδέμην, εἰπεῖν λοιπόν· εἴτις μικρὸν καὶ φαῦλον ὑπείληφε, πλεῖστον διαμαρτάνει τοῦ δέοντος. Σοφὸν γὰρ εὔκαιρος σιγὴ καὶ παντὸς λόγου κρείττων. Καὶ διὰ τοῦτο, μοὶ

νομαχήσαντες ἐφύνευσαν ἀλλήλους. — 14. Νεφέλας] Τὴν ὠμῳδίαν, ἥτις ἐπιγράφεται Νεφέλαι. — 8. Ἀδελφὰ τούτοις] Ἐπιθετικῶς λαμβάνται ἐνταῦθα. — 27. Οὐδὲ γὰρ ἐς τἄλλα . . ἀλλ' οὐδὲν ἧττον . . . μιμεῖσθαι καὶ περικνίζειν ἐπιχειροῦμεν) Ἤ ἔνοια, ἡμεῖ ἐκείνοις δὲν φθάνομεν οὔτε εἰς τὰς ἐπιστήμας, οὔτε εἰς τὰς ἀρετὰς, μ' ὅλον τοῦτο πρέπει νὰ πασχίζωμεν ὀχι ὀλιγώτερον ἀπὸ ἐκείνους, ὅσον εἶναι δυνατὸν ὡς ἱερεῖς τῶν θεῶν καὶ ὑπηρέται τῆς σοφίας νὰ μιμώμεθα καὶ νὰ ἀκολουθῶμεν αὐτούς (τὸν Ἀρχύταν καὶ Πλα-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δοκεῖ, τὰς μυστηριώδης τελετὰς οἱ παλαιοὶ κατέδειξαν, ἵνα ἐν ταύταις σωφρονῶν ἐθισθέντες, ἐπὶ τὴν τῶν ἀνθρωπίνων μυστηρίων πίστιν τὸν ἀπὸ τῶν Θεῶν μεταφέρωμεν φόβον. Καὶ γὰρ αὖ, σιωπήσας μὲν οὐδεὶς μετενόησε, λαλήσαντες δέ, παμπληθεῖς. Καὶ τὸ μὲν σιγηθὲν ἐξειπεῖν ῥᾴδιον, τὸ δὲ ῥηθὲν ἀναλαβεῖν ἀδύνατον. Μυρίους δ' ἔγωγε οἶδα ἀκούσας ταῖς μαιρίσταις συμφοραῖς περιπεσόντας διὰ τὴν τῆς γλώττης ἀκρασίαν. Ὧν τοὺς ἄλλους παραλιπών, ἑνὸς ἥδυσιν, τύπου ἕνεκεν, ἐπιμνησθήσομαι. Τοῦ γὰρ Φιλαδέλφου γήμαντος τὴν ἀδελφὴν Ἀρσινόην, Σωτάδης εἰπών,

Εἰς οὐχ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖς,

ἐν δεσμωτηρίῳ πολλοὺς κατεσάπη χρόνους, καὶ τῆς ἀκαίρου λαλιᾶς οὐ μεμπτὴν ἔδωκεν δίκην· ἵνα δὲ γέλωτα παρόσχῃ τοῖς ἄλλοις, αὐτὸς πολὺν χρόνον ἔλαυσεν. Ἐνάμιλλα δὲ τούτοις καὶ σύζυγα καὶ Θεόκριτος ὁ σοφιστὴς εἶπέ τε καὶ ἔπαθε, καὶ πολὺ δεινότερα. Ἀλεξάνδρου γὰρ πορφυρᾶς ἐσθῆτας κελεύσαντος κατασκευάζειν τοὺς Ἕλληνας, ἵνα ἐπανελθὼν τὰ ἐπινίκια τοῦ πολέμου τοῦ κατὰ τῶν βαρβάρων θύσειε, καὶ τῶν ἐθνῶν κατὰ κεφαλὴν εἰσφερόντων ἄργυρον. Πρότερον μέν, ἔφησεν, ἠμφισβήτουν, νῦν δ' ἥσθημαι σαφῶς, ὅτι ὁ πορφύρεος Ὁμήρου θάνατος οὗτός ἐστι. Ἐξ ὧν ἐχθρὸν ἐκτήσατο τὸν Ἀλέξανδρον. Ἀντίγονον δὲ τὸν βασιλέα τῶν Μακεδόνων ἑτερόφθαλμον ὄντα, τὴν πήρωσιν προφέρων, εἰς οὐ μετρίαν ὀργὴν κατέστησε. Τὸν γὰρ ἀρχιμάγειρον Εὐτροπίωνα γεγενημένον ἐν τάξει ἐκπέμψας, παραγενέσθαι πρὸς αὐτὸν ἠξίου, καὶ λόγον δοῦναι καὶ λαβεῖν· ταῦτα δὲ ἀπαγγέλοντος ἐκείνου πρὸς αὐτόν, καὶ πολλάκις προσιόντα. — 1. Μυστηριώδεις τελεταί] Ἐλέγοντο τὰ ἐν τῇ Ἐλευσῖνι μεγάλα καὶ μικρὰ μυστήρια, τῶν ὁπόσων τὰ μὲν ἐτελοῦντο μὲ ἄγραν σιωπὴν εἰς τιμὴν τῆς Δήμητρος κατὰ πέμπτον ἔτος· τὰ δὲ εἰς τὸν Ἡρακλέα κατὰ τρίτον ἔτος· Φιλαδέλφου] Οὗτος ἦτον ὁ τρίτος Πτολεμαῖος βασιλεὺς τῆς Αἰγύπτου καὶ υἱὸς τοῦ δευτέρου Πτολεμαίου Λάγου. Ἐπωνομάσθη δὲ Φιλάδελφος, διότι ἔλαβεν εἰς γυναῖκα τὴν ἀγαπητὴν ἀδελφήν· τὸν αὐτὸς διώρισε τοὺς 70 Ἑρμηνευτὰς νὰ μεταφράσουν, τὴν ἁγίαν Γραφὴν εἰς τὴν Ἑλληνικήν, ἐσύστησε καὶ τὴν βιβλιοθήκην τῆς Ἀλεξανδρείας. — 16. Τὰ ἐπινίκια θύσειε] Διὰ νὰ θυσιάσῃ καὶ νὰ ἑορτάσῃ διὰ τὴν κατὰ τῶν βαρβάρων. — 17. Κατὰ κεφαλὴν, εἰσφερόντων ἄργυρον] Τοῦτο σημαίνει τὸ Γερμανιστὶ ἐφορταζόμενον Kopf Steuer geben. — 19. Οὗτός ἐστιν ὁ πορφύρεος θάνατος τοῦ Ὁμήρ.] Εἰς τὴν Ἰλ. ι. 82. ἱστορεῖται οὕτω·

«Τὸν δὲ κατ' ὄπα
«Ἔλλαβε πορφύρεος θάνατος καὶ
«μοῖρα κραταιή.»

ὁ Ποιητὴς ἀποβλέπων εἰς τὸν τρόπον τοῦ θανάτου, κατὰ τὸ ὁποῖον ἐρωτεύθη ὁ Τρῶας ἀπὸ τὸν Εὐφόρβου, ὀνομάζει πορφύρεον, διὰ τὸ πορφυροῦν χρῶμα τοῦ αἵματος· ἐπειδὴ ἔλαβε τοιοῦτον θανατηφόρον πληγὴν εἰς ὀνόμου, ὥστε ἀφ' οὗ ἐβάφη τὸ σῶμα τοῦ παντοχρόνου ἀπὸ τὴν δύσιν τοῦ αἵματος ἀνάγκη ἦτο νὰ ἀποθάνῃ καὶ αὐτὸς κατβαπτισμένος μέσα εἰς τὸ αἷμα· ἡ δὲ ἔννοια τοῦ Θεοκρίτου εἶναι αὕτη· Ὅτι ἐποφύσησεν εἰς τὸν Τρῶνα τὸ αἱμοβαφὲς πνεῦμα, τοῦτο προξενοῦσιν εἰς τοὺς Ἕλληνας αἱ πορφυραῖ ἐσθῆτες τοῦ Ἀλεξάνδρου· οὐτοῦ ἕστιν ὁ μὲν ἐθανατώθη, οἱ δὲ κατατῶσιν εἰς τὴν ἐχθρὰν πτωχείαν, ἡ ὁποία εἶναι χειροτέρα ἀπὸ τὸν θάνατον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τος, Εὖ οἶδα, ἔφησεν ὅτι ὠμόν με θέλεις τῷ Κύκλωπι παραθεῖναι· ὀνειδίζων, τῷ μέν, ὅτι πηρός, τῷ δέ, ὅτι μάγειρος ἦν· κἀκεῖνος, Τοιγαροῦν, εἰπών, τὴν κεφαλὴν οὐχ ἕξεις, ἀλλὰ τῆς ἀθυροστομίας ταύτης καὶ μανίας δώσεις δίκην, ἀπήγγειλε τὰ εἰρημένα τῷ βασιλεῖ· καὶ ὁ μὲν πέμψας ἀνεῖλε τὸν Θεόκριτον. Παρὰ πάντα δὲ ταῦτα, ὅπερ ἐστὶν ἱεροπρεπέστατον, συνεθιστέον τοὺς παῖδας τἀληθῆ λέγειν· τὸ γὰρ ψεύδεσθαι, δουλοπρεπές, καὶ πᾶσιν ἀνθρώποις μισεῖσθαι ἄξιον, καὶ οὐδὲ μετρίοις δούλοις συγγνωστόν.

ιά΄. Ταῦτα μὲν οὖν οὐκ ἐκδοιάσας οὐδὲ μελλήσας περὶ τῆς τῶν παίδων εὐκοσμίας καὶ σωφροσύνης διείλεγμαι· περὶ δὲ τοῦ ῥηθήσεσθαι μέλλοντος ἀμφιδοξός εἰμι καὶ διεγγνώμων, καὶ τῇδε κἀκεῖσε κλίνων ὡς ἐπὶ πλάστιγγος, πρὸς οὐδέτερον ῥῦψαι δύναμαι· πολὺς δ' ὄκνος ἔχει με καὶ τῆς εἰσηγήσεως καὶ τῆς ἀποτροπῆς τοῦ πράγματος. Ἀποτολμητέον οὖν ὅμως εἰπεῖν αὐτό. Τί οὖν τοῦτό ἐστι; πότερα δεῖ τοὺς ἐρῶντας τῶν παίδων ἐᾶν τούτοις συνεῖναι καὶ συνδιατρίβειν, ἢ τοὐναντίον εἴργειν αὐτοὺς καὶ ἀποσοβεῖν τῆς πρὸς τούτους ὁμιλίας προσήκεν; Ὅταν μὲν γὰρ ἀποβλέψω πρὸς τοὺς πατέρας αὐδεκάστους καὶ τὸν τρόπον ὁμφακίας καὶ στρυφνούς, οἱ διὰ τὴν τῶν τέκνων ὕβριν οὐκ ἀνεκτὴν νομίζουσι τὴν τῶν ἐρώντων ὁμιλίαν, εὐλαβοῦμαι ταύτης εἰσηγητὴς γενέσθαι καὶ σύμβουλος· ὅταν δ' αὖ πάλιν ἐνθυμηθῶ τὸν Σωκράτην, τὸν Πλάτωνα, τὸν Ξενοφῶντα, τὸν Αἰσχίνην, τὸν Κέβητα, τὸν πάντα χορὸν ἐκείνων τῶν ἀνδρῶν, οἳ τοὺς ἄῤῥενας ἐδοκίμασαν ἔρωτας, καὶ τὰ μειράκια προήγαγον, ἐπί τε παιδείαν καὶ δημαγωγίαν καὶ τὴν ἀρετὴν τῶν τρόπων, πάλιν ἕτερος γίνομαι, καὶ κάμπτομαι πρὸς τὸν ἐκεῖνον τῶν ἀνδρῶν ζῆλον. Μαρτυρεῖ δὲ τούτοις Εὐριπίδης οὕτω λέγων,

Ἀλλ' ἔστι δή τις ἄλλος ἐν βροτοῖς ἔρως,
Ψυχῆς δικαίας σώφρονός τε κἀγαθῆς.

Τὸ δὴ τοῦ Πλάτωνος σπουδῇ καὶ χαριεντισμῷ μεμιγμένον οὐ παραλειπτέον· ἐξεῖναι γάρ φησι δεῖν τοῖς ἀριστεύσασιν, ὃν ἂν βούλωνται τῶν καλῶν φιλῆσαι. Τοὺς μὲν οὖν τῆς ὥρας ἐπιθυμοῦντας ἀπελαύνειν προσήκε· τοὺς δὲ τῆς ψυχῆς ἐραστὰς, ἐγκρίνειν κατὰ τὸ σύνολον. Καὶ τοὺς μὲν Θήβησι καὶ τοὺς Ἴλιδι φευκτέον ἔρωτας, καὶ τὸν ἐκ Κρήτης καλούμενον ἁρπαγμόν· τοὺς δὲ Ἀθήνησι καὶ τοὺς ἐν Λακεδαίμονι ζηλωτέον, καὶ τῶν παίδων μιμητέον. Περὶ μὲν οὖν τούτων, ὅπως ἕκαστος αὐτὸς ἑαυτὸν πέ-

---

ιά΄. 26. Θήβησι, Ἴλιδι, Ἀθήνησι) ἰδὲ τὸν ἐποῖον ἥρπασεν ὁ Ζεὺς ἐκ τῆς Κρήτης· διότι εἰς τὰς Θήβας, Ἴλιδα καὶ Κρήτην ἐνυρίευεν ἡ παιδεραστία παρὰ τοῖς Ἑθνικοῖς.

— 27. Ἁρπαγμὸν] Τὸν τοῦ Γανυμήδους φαίνεται νὰ ἐννοῇ ἐνταῦθα ὁ Συγγραφεύς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πεικεν, οὕτως ὑπολαμβανέτω· ἐγὼ δὲ, ἐπειδὴ περὶ τῆς τῶν παίδων εὐτελείας εἴρηκα καὶ κοσμιότητος, καὶ ἐπὶ τὴν τῶν μειρακίων ἡλικίαν ἤδη μεταβήσομαι, μικρὰ παντάπασιν εἰπών.

ιϛ'. Πολλάκις γὰρ κατεμεμψάμην τοὺς μοχθηρῶν ἐθῶν γεγονότας εἰσηγητὰς, οἵτινες τοῖς μὲν παισὶ παιδαγωγοὺς καὶ διδασκάλους ἐπέστησαν, τὴν δὲ τῶν μειρακίων ὁρμὴν ἄνετον εἴασαν νέμεσθαι· δέον αὖ τοὐναντίον πλείω ποιεῖσθαι τούτων εὐλάβειαν καὶ φυλακὴν ἢ τῶν παίδων. Τίς γὰρ οὐκ οἶδεν, ὅτι τὰ μὲν τῶν παίδων πλημμελήματα μικρὰ καὶ παντελῶς εἰσιν ἰάσιμα, παιδαγωγῶν ἴσως ἀλιγωρία, καὶ διδασκάλων παρ' ἀγωγὴν ἀνηκουστία· τὰ δὲ τῶν ἤδη νεανισκευομένων ἀδικήματα πολλάκις ὑπερῳᾷ γίνεται καὶ σχέτλια, ἀμετρία γαστρὸς, καὶ κλοπαὶ πατρῴων χρημάτων, καὶ κῶδοι, καὶ κῶμοι, καὶ πότοι, καὶ παρθένων ἔρωτες, καὶ γυναικῶν οἰκοφθορίαι γαμετῶν. Οὐκοῦν τὰς τούτων ὁρμὰς ταῖς ἐπιμελείαις δεσμεύειν καὶ κατέχειν προσήκεν. Ἀταμίευτον γὰρ τῶν ἡδονῶν ἡ ἀκμὴ, καὶ σκιρτητικὸν, καὶ χαλινοῦ δεόμενον· ὥσθ' οἱ μὴ τῆς ἡλικίας ταύτης ἐρρωμένος ἀντιλαμβανόμενοι τῇ διανοίᾳ δ δόντες ἐξουσίαν ἐπὶ τὰ ἀδικήματα λανθάνουσι. Δεῖ τοίνυν τοὺς ἔμφρονας πατέρας παρὰ τοῦτον μάλιστα τὸν καιρὸν φυλάττειν, ἐγκαρτερεῖν, σωφρονίζειν τοὺς μειρακίσκους, διδάσκοντας, ἀπειλοῦντας, δεομένους, συμβουλεύοντας, ὑπισχνουμένους, παραδείγματα δεικνύντας, τῶν μὲν διὰ φιληδονίαν συμφοραῖς περιπεσόντων, διὰ δὲ καρτερίαν ἔπαινον καὶ δόξαν ἀγαθὴν περιποιησαμένων. Δύο γὰρ ταῦτα ὥσπερεὶ στοιχεῖα τῆς ἀρετῆς εἰσιν, ἐλπίς τε τιμῆς, καὶ φόβος τιμωρίας· ἡ μὲν γὰρ ὁρμητικωτέρους πρὸς τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων, ἡ δὲ ἀνιηρούς πρὸς τὰ φαῦλα τῶν ἔργων ἀπεργάζεται. Καὶ καθόλου δὲ ἀπείργειν προσήκει τοὺς παῖδας τῆς πρὸς τοὺς πονηροὺς ἀνθρώπους συνουσίας. Ἀποφέρονται γάρ τι τῆς τούτων κακίας. Τοῦτο δὲ παρήγγελλε καὶ Πυθαγόρας αἰνίγμασιν, ἅπερ ἐγὼ παραθεὶς ἐξηγήσομαι· καὶ γὰρ ταῦτα πρὸς ἀρετῆς κτῆσιν συμβάλλεται ῥοπὴν οὐκ ἐλαχίστην, οἷον, Μὴ γεύεσθαι μελανούρων· τουτέστι, μὴ συνδιατρίβειν μέλασιν ἀνθρώ-

ιϛ'. 15. Ἀνηθάνουσι διδόντες ἰδὲ Σωτ. — 27. Αἴνιγμασι] Αἴνιγμα σημαίνει λόγον σκοτεινὸν, τουτέστιν εἰς τοιοῦτον τρόπον ἐκφερόμενον, ὥστε νὰ μὴ δύναται τις νὰ καταλάβῃ εὐθὺς τὴν κυρίαν ἔννοιαν αὐτοῦ· ὁ Πυθαγόρας ὑπερέχων κατὰ πάλλα, ἤθελε νὰ εἐέχῃ καὶ εἰς τὴν μέθοδον τῆς Ἠθικῆς διδασκαλίας· ὅθεν δ' αἰνιγμάτων ἐδίδασκε τὴν ἠθικὴν, διὰ νὰ νομίζωσιν οἱ ἄνθρωποι ὅτι ὑπὸ τὰ τοιαῦτα αἰνίγματα κρύπτεται ἡ ἀκριβεστάτη τῶν πραγμάτων ἀλήθεια.

— 29. Γεύεσθαι, ὑπεροβαίνειν καὶ τλ.] ἀπαρέμφατον ἀντὶ προστακτικῆς, ἰδὲ Σωτ. — Μελανούρος· Ὀφράσθαι τι, ἔχον μαύρην οὐράν· τί ἔννοεῖ διὰ τοῦ αἰνιγματικοῦ λόγου, τὸ ἐξηγεῖ ὁ ἴδιος. Σωζόμενος· τουτέστι μὴ συναπατρίβεσθαι μὲ κακοήθεις καὶ διεστραμμένους ἀνθρώπους

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ποις διὰ κακόηθειαν. Μηδὲ ζυγὸν ὑπερβαίνειν· ὅτι δεῖ τῆς δικαιοσύνης πλεῖστον ποιεῖσθαι λόγον, καὶ μὴ ταύτην ὑπερβαίνειν. Μηδὲ ἐπὶ χοίνικα καθίσαι· φεύγειν ἀργίαν, καὶ προνοεῖν, ὅπως τὴν ἀναγκαίαν παρασκευάσωμεν τροφήν. Μὴ παντὶ ἐμβάλλειν δεξιάν· ἀντὶ τοῦ, προχείρως οὐ δεῖ συναλλάσσειν. Μὴ φορεῖν στενὸν δακτύλιον· ὅτι δεῖ τὸν βίον ἐπιτηδεύειν, καὶ μὴ δεῖν δεσμῷ προσάπτειν αὐτόν. Πῦρ σιδήρῳ μὴ σκαλεύειν· ἀντὶ τοῦ, μὴ ἐρεθίζειν θυμούμενον, οὐ γὰρ προσήκεν, ἀλλ' ὑπείκειν τοῖς ὀργιζομένοις. Μὴ ἐσθίειν καρδίαν· μὴ βλάπτειν τὴν ψυχήν, ταῖς φροντίσιν αὐτὴν κατατρύχοντα. Κυάμων ἀπέχεσθαι· ὅτι οὐ δεῖ πολιτεύεσθαι· κυαμευταὶ γὰρ ἦσαν ἔμπροσθεν αἱ ψηφοφορίαι, δι' ὧν πέρας ἐπετίθεσαν ταῖς ἀρχαῖς. Σιτίον εἰς ἀμίδα μὴ ἐμβάλλειν· ἐπισημαίνει γάρ, ὅτι εἰς πονηρὰν ψυχὴν ἀστεῖον λόγον ἐμβάλλειν οὐ προσήκεν· ὁ μὲν γὰρ λόγος τροφὴ διανοίας ἐστί· τοῦτον δ' ἀκαθαρτον ἡ πονηρία ποιεῖ τῶν ἀνθρώπων. Μὴ ἐπιστρέφεσθαι ἐπὶ τοὺς ὅρους ἐλθόντας· τουτέστι, μέλλοντας ἀποθνήσκειν, καὶ τὸν ὅρον τοῦ βίου πλησίον ὄντα ὁρῶντας, φέρειν εὐκόλως καὶ μὴ ἀθυμεῖν. Ἀνακάμψω δὲ ἐπὶ τὴν ἐξ ἀρχῆς τοῦ λόγου πρόθεσιν· ἁπάντων μὲν γὰρ, ὅπερ ἔφην, τῶν πονηρῶν ἀνθρώπων ἀπάγειν δεῖ τοὺς παῖδας, μάλιστα δὲ τῶν κολάκων. Ὅπερ γὰρ πολλάκις καὶ πρὸς πολλοὺς τῶν πατέρων διατελῶν λέγω, καὶ νῦν ἂν εἴποιμι· γένος οὐδὲν ἐστιν ἐξωλέστερον, οὐδὲ μᾶλλον καὶ ἧττον ἐκτραχηλίζον τὴν νεότητα, ὡς τῶν κολάκων, οἱ καὶ τοὺς πατέρας καὶ τοὺς παῖδας προρρίζους ἐκτρίβουσι, τῶν μὲν τὸ γῆρας ἐπίλυπον,

---

διότι τὸ μέλαν χρῶμα ἐθεωρεῖτο πάντοτε ὡς σημεῖον κακίας· διὰ τοῦτο καὶ ὁ Συνγρ. Ἀκεῖνος λέγει, hic niger est, hunc tu Romane caveto. οὗτος μέλας ἐστί, τοῦτον Ῥωμαῖε φύλαξαι. — Μηδὲ ζυγὸν ὑπερβαίνειν] Τοῦτο σαφηνίζεται ἐκ τῶν ἑξῆς· ὅταν ἡ εἰς τὸ μέσον τοῦ ζυγοῦ ἐπὶ τῆς πλαστιγκος γλῶσσα κεῖται ἀπ' ἀκριβὲς μεταξὺ τῶν πόλων τοῦ Ἄξονος, τουτέστι δὲν ῥέπει ἐφ' ἑκάτερα τὰ μέρη, λέγεται ὅτι ὁ ζυγος ἵσταται ὀρθῶς, ὑπερβαίνεται δὲ, ὅταν ἐπὶ θάτερον ῥέπῃ· ὁ δὲ Πυθαγόρας αἰνίττεται τὸ, νὰ μὴ ζυγιάζῃ τις ψευδῶς πράττων ἄθικα, ἀλλ' ὀρθῶς, ὥστε ἡ γλῶσσα (ἥτις καὶ ἀνάκρισις λέγεται) νὰ ἰσορρόπῃ πάντοτε ἐπὶ τοῦ ζυγοῦ, τουτέστι νὰ δίδῃ ἕκαστον τὰ δίκαια προστιμῶν τὴν δικαιοσύνην. Περὶ τῆς κατασκευῆς τοῦ ζυγοῦ καὶ τῆς ὀνομασίας ἡ τῶν αὐτοῦ μερῶν, ἰδὲ εἰς τὸ περὶ Φυσικῆς ἐν τῇ Ἐγκυκλοπ τῶν παιδων· τὸ εἰς τὴν τοῦ Θεοτόκου Τ. Α΄. Σελ. 152. — 3. Χοῖνιξ] Εἶδος μέτρου, μὲ τὸ ὁποῖον ἐνεπρεπεῖτο ἡ καθημερινὴ τροφὴ τῶν δούλων· αἰνίττεται δὲ, τὸ νὰ μὴν ἦναί τις ἀργὸς, ἀλλὰ νὰ προνοῇ πάντοτε περὶ τῆς ἀναγκαίας τροφῆς καὶ τοῦ μισθοῦ τῶν δούλων· καὶ συντομώτερον, νὰ δίδῃ εἰς τοὺς δούλους του τὸν ἄξιον μισθόν. — 5. Μὴ φορεῖν στενὸν δακτύλιον] Τουτέστι πολιτεύου ὡς ἐλεύθερος, καὶ μὴ ὡς σκλάβος δεμένος. — 9. Μὴ ἐσθίειν καρδίαν] Τουτέστε μὴ θανατόνῃς σεαυτὸν μὲ τὰς φροντίδας. — 11. Κυαμευταὶ γὰρ αἱ ψηφοφορίαι] Διότι τὸ παλαιὸν διὰ τῶν κυάμων ἐγίνοντο αἱ ἐλλογαὶ τῶν πολιτικῶν. — 13. Εἰς πονηρὰν ψυχὴν] Κατὰ τὸ, μὴ δότε τὰ ἅγια τοῖς κυσὶ· μηδὲ βάλετε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων. — 19. Τῶν πονηρῶν ἀπάγειν] Ἡ γενικὴ δυνάμει, τῆς ἀπὸ, ὡς τὸ, ἀπείργειν· ἰδὲ Συντ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῶν δὲ τὴν νεότητα ποιοῦντες, τῶν δὲ συμβουλευμάτων δέλεαρ ἀφύλακτον προτείνοντες τὴν ἡδονήν. Τοῖς παισὶ τοῖς πλουσίοις οἱ πατέρες νήφειν παραινοῦσιν, οἱ δὲ μεθύειν· σωφρονεῖν, οἱ δὲ ἀσελγαίνειν· φυλάττειν, οἱ δὲ δαπανᾶν· φιλεργεῖν, οἱ δὲ ῥαθυμεῖν· στιγμὴ χρόνου πᾶς ὁ βίος ἐστί, λέγοντες· ζῆν καὶ οὐ παραζῆν προσήκει· τί δὲ φρονιστέον ὑμῖν τῶν τοῦ πατρὸς ἀπειλῶν; κρονόληρος καὶ σοροδαίμων ἐστί· καὶ μετέωρον αὐτὸν ἀράμενοι, τὴν ταχίστην ἐξείσομεν. Καθῆκε δέ τις καὶ χαμαιτύπην, καὶ προσηγάγευσε γαμετήν, καὶ τὰ τῶν πατέρων ἐφόδια τοῦ γήρως περικέκλοφε καὶ σεσύληκε. Μιαρὸν τὸ φῦλον, ὑποκριταὶ φιλίας, ἄγευστοι παῤῥησίας, πλουσίων μὲν κόλακες, πενήτων δὲ ὑπερόπται, ὡς ἐκ Λυρικῆς τέχνης ἐπὶ τοὺς νέους ἀγόμενοι, σεσηρότες, ὃ δ' οἱ τρέφοντες γελῶσι, καὶ ψυχῆς ὑποβολιμαῖα καὶ νόθα μέρη βίου· πρὸς δὲ τὸ τῶν πλουσίων νεῦμα ζῶντες, τῇ τύχῃ μὲν ἐλεύθεροι, τῇ προαιρέσει δὲ δοῦλοι· ὅταν δὲ μὴ ὑβρίζωνται, τότε ὑβρίζεσθαι δοκοῦντες, ὅτι μὴ μάτην παρατρέφονται. Ὥστε, εἴ τῳ μέλει τῶν πατέρων τῆς τῶν τέκνων εὐαγωγίας, ἐκδιωκτέον τὰ μυσαρὰ ταῦτα θρέμματα. Ἐκδιωκτέον δὲ καὶ τὰς τῶν συμφοιτητῶν μοχθηρίας. Καὶ γὰρ οὗτοι τὰς ἐπιεικεστάτας φύσεις ἱκανοὶ διαφθείρειν εἰσί. Ταῦτα μὲν οὖν καλὰ καὶ συμφέροντα· ἃ δὲ μέλλω λέγειν, ἀνθρώπινα. Οὐδὲ γὰρ αὖ πάλιν τοὺς πατέρας ἔγωγε ἀξιῶ τελέως σκληροὺς καὶ τραχεῖς εἶναι τὴν φύσιν, ἀλλὰ πολλαχοῦ καὶ συγχωρῆσαί τινα τῷ νεωτέρῳ τῶν ἁμαρτημάτων, καὶ ἑαυτοὺς ἀναμιμνήσκειν, ὅτι ἐγένοντο νέοι. Καὶ καθάπερ ἰατροὶ τὰ πικρὰ τῶν φαρμάκων τοῖς γλυκέσι χυμοῖς καταμιγνύντες τὴν τέρψιν ἐπὶ τὸ συμφέρον πάροδον εὗρον, οὕτω δὴ τοὺς πατέρας τὴν τῶν ἐπιτιμημάτων ἀποτομίαν τῇ πραότητι μιγνύναι· καὶ ποτὲ μὲν ταῖς ἐπιθυμίαις τῶν παίδων ἀφιέναι καὶ χαλᾶσι τὰς ἡνίας, ποτὲ δ' αὖ πάλιν ἀντιτείναι· καὶ μάλιστα μέν, εὐκόλως φέρειν τὰς ἁμαρτίας· εἰ δὲ μή γε, προσορογισθέντας, ταχέως ἀποφλεγμῆναι. Μᾶλλον γὰρ ὀξύθυμον εἶναι δεῖ τὸν πατέρα, ἢ βαρύθυμον· ὡς τό γε δυσμενὲς καὶ δυσκατάλλακτον μισοτεκνίας οὐ μικρὸν τεκμήριόν ἐστιν. Καλὸν δέ, ἕνια τῶν ἁμαρτημάτων μηδὲ

— 3. Οἱ δὲ (οἱ κόλακες ὅλ.) μεθύειν, οἱ δὲ καὶ τλ] Λείπει ὁ μέν, ἰδὲ Συντ.

— 7. Κρονόληρος καὶ σοροδαίμων] Ὁ πατὴρ ὅλ. σύνθετα, τὸ μὲν ἐκ τοῦ Κρόνου καὶ ἤρης, τὸ δὲ ἐκ τοῦ σορὸς καὶ δαίμων· ὅτι ὁ Κρόνος παριστάνεται ἀπὸ τοῦς ποιητὰς ὡς δυσκόρεστος ἄνθρωπος, ὅστις ἔκαμε καὶ πολλὰ ἀνάρμοστα πράγματα. — 8. Καθῆκε (ἀπὸ τὸ καθίημι). 9. Προσηγάγευσε Περικέκλοφε, σεσύληκε] Ἀντὶ Ἔνεστ. ἰδὲ Συντ.

— 12. Σεσηρότες] Ἀντὶ Ἐνεστ. σαίρω ἐπὶ τῶν κυνῶν κυριολεκτεῖται· οἱ γελῶντες μὲ τὸ στόμα ἀνοικτόν, καὶ μὲ τοὺς ὀδόντας γυμνοὺς, τουτέστι προσποιοῦνται ὅτι γελῶσι. — 29. Καὶ χαλᾶσαι τὰς ἡνίας] Ἡ μεταφορὰ ἐλήφθη ἐκ τῶν ἀλόγων, τὰ ὁποῖα διοικοῦνται διὰ τῆς ἀφέσεως, ἀπολύσεως, καὶ ἐλξεως

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἰδέναι δοκεῖν, ἀλλὰ τὸ τοῦ γήρως ἀμβλυῶτον καὶ δύσκωφον ἐπὶ τὰ γιγνόμενα μεταφέρειν, ὡς ἔνια τῶν πραττομένων ὁρῶντας μὴ ὁρᾶν, καὶ μὴ ἀκούειν ἀκούοντας. Φίλων ἁμαρτήματα φέρομεν· τί θαυμαστόν, εἰ τέκνων; δούλων πολλάκις κραιπαλώντων μέθην οὐκ ἐξηλέγξαμεν· ἐρεῖσω ποτέ, ἀλλὰ καὶ χορήγησον· ἠγανάκτησάς ποτε, ἀλλὰ καὶ σύγγνωθι· ἐδυσκόλησε ποτε δι' οἰκέτου, τὴν ὀργὴν κατάσχε· ἐξ ἀγροῦ ποτε ζεῦγος ἀφείλετο, ἦλθέ ποτε γθιζῆς μέθης ἀποπνέων, ἀγνόησον· μύρων ἀπόζων, σίγησον· οὕτω σκιρτῶσα νεότης πωλοδαμνεῖται. Πειρατέον δὲ τοὺς τῶν ἡδονῶν ἥττους καὶ πρὸς τὰς ἐπιτιμήσεις δυσκόους γάμῳ καταζεῦξαι· δεσμὸς γὰρ οὗτος τῆς νεότητος ἀσφαλέστατος. Ἐγγυᾶσθαι δὲ δεῖ τοῖς υἱεῖς γυναῖκας μήτε εὐγενεστέρας πολλῷ, μήτε πλουσιωτέρας· τὸ γὰρ, »Τὴν κατὰ σαυτὸν ἕλα«, σοφόν· ὡς οἵγε μακρῷ κρείττους ἑαυτῶν λαμβάνοντες οὐ τῶν γυναικῶν ἄνδρες, τῶν δὲ προικῶν δοῦλοι λανθάνουσι γινόμενοι.

ιγ΄. Βραχέα δὲ προσθεὶς αὐτοῖς, περιγράψω τὰς ὑποθήκας. Πρὸ πάντων γὰρ δεῖ τοὺς πατέρας τῷ μηδὲν ἁμαρτάνειν, ἀλλὰ πάντα ἃ δεῖ, πράττειν, ἐναργὲς ἑαυτοὺς παράδειγμα τοῖς τέκνοις παρέχειν, ἵνα πρὸς τὸν τούτων βίον, ὥσπερ κάτοπτρον ἀποβλέποντες ἀποτρέπωνται τῶν αἰσχρῶν ἔργων καὶ λόγων. Ὡς οἵτινες, τοῖς ἁμαρτάνουσιν υἱοῖς ἐπιτιμῶντες, τοῖς αὐτοῖς ἁμαρτήμασι περιπίπτουσιν, ἐπὶ τῷ ἐκείνων ὀνόματι λανθάνουσιν ἑαυτῶν κατήγοροι γιγνόμενοι. Οἱ δ' ὅλως φαύλως ζῶντες οὐδὲ τοῖς δούλοις παρρησίαν ἄγουσιν ἐπιτιμᾶν, μήτοιγε δὴ τοῖς υἱοῖς. Χωρὶς δὲ τούτων γένοιντο ἂν αὐτοῖς τῶν ἀδικημάτων σύμβουλοι καὶ διδάσκαλοι· ὅπου γὰρ γέροντες εἰσὶν ἀναίσχυντοι, ἐνταῦθ' ἀνάγκη καὶ νέους ἀναιδεστάτους εἶναι. Πειρατέον οὖν εἰς τὸν τῶν τέκνων σωφρονισμὸν πάνθ', ὅσα προσῆκεν, ἐπιτηδεύειν, ζηλώσαντας τὴν Εὐρυδίκην, ἥτις Ἰλλυρὶς οὖσα καὶ τριβάρβαρος, ἔρως ἐπὶ τῇ μαθήσει τῶν τέκνων, ἀψὲ τῆς ἡλικίας ἥψατο παιδείας· ἱκανῶς δ' αὐτῆς τὴν φιλοτεκνίαν σημαίνει τοὐπίγραμμα, ὅπερ ἀνέθηκε ταῖς Μούσαις,

Εὐριδίκη Ἱεραπολῖτις τόν δ' ἀνέθηκε.

τῶν χαλινῶν. — 4. Εἰ τέκνων;] Φέρομεν ἁμαρτήματα δηλ. — 8. Τοὺς τῶν ἡδονῶν ἥττους] Τοὺς κυριευομένους ὑπὸ τῶν ἡδονῶν. — 13. Τὴν κατὰ σαυτὸν ἕλα] Ἀπὸ τοῦ ἕλω· ἡ ἔννοια, λάβε τὴν ὁμοίαν σου.

ιγ΄. 7. Λανθάνουσιν ἑαυτῶν κατήγοροι γιγνόμενοι] Ἡ κοινὴ τὸ ἐκφραζει οὕτως, οἱ τοιοῦτοι πατέρες κατηγοροῦσιν ἑαυτοὺς καὶ δὲν τὸ γνωρίζουν.

— 13. Ἰλλυρὶς] Γυνὴ δηλ. καὶ τριβάρβαρος, ἴδε Γραμ. τὰ εἰς ις. — ις΄. περὶ τοῦ τρὶς ἐν συνθέτοις. — 15. Ὀψὲ τῆς ἡλικίας] Αὕτη ἡ φράσις εἰς τὴν κοινὴν ἐκφράζεται διὰ τοῦ, εἰς τὰ γηρατειά της, ἢ ἀφ' οὗ ἔγιν γερέτη. — 16. Εὐρυδίκη] Πεισθεῖσα ὅτι ἦτον ἡ γυνὴ τοῦ Ὀρφέως, τοῦ ἐκ τῆς Θράκης· ἐνομάζεται δὲ Ἰλλυρὶς διὰ τοῦ Ἰλλυροῦ τοῦ ἀνδρός της, ὅτι τὸ παλαιὸν ἡ Σλαβωνία, Δαλματία, καὶ Σερβία ἕως τοῦ Ἑλλησπόντου ὠνομάζοντο γενικῶς Ἰλλυρίς, καὶ ἔτι γενικώτερον Θράκη· αὕτη δὲ ἦτον ἐκ τῆς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Μούσαις, εὔϊστον ψυχῇ ἑλοῦσα πόθον.
Γράμματα γὰρ, μνημεῖα λόγων, μάτηρ γεγαυῖα
Παίδων ἡβώντων, ἐξεπόνησε μαθεῖν.

Τὸ μὲν οὖν πάσας τὰς προειρημένας συμπεριλαβεῖν παραινέσεις εὐχῆς ἴσως ἔργον ἐστί· τὸ δὲ τὰς πλείους ζηλῶσαι, καὶ αὐτὸ μὲν εὐμοιρίας δεόμενόν ἐστι καὶ πολλῆς ἐπιμελείας· ἀνυστὸν δ' οὖν ἀνθρωπίνῃ φύσει καθέστηκεν.

Β'. ΠΕΡΙ ΤΟΥ ΑΚΟΥΕΙΝ.

ά. Τὴν γενομένην μοι σχολὴν περὶ τοῦ ἀκούειν, ὦ Νίκανδρε, ἀπέσταλκά σοι γράψας, ὅπως εἰδῇς τοῦ πείθοντος ὀρθῶς ἀκούειν, ὅτε τῶν προσταττόντων ἀπήλλαξαι, τὸ ἀνδρεῖον ἀπει-
2 λημμένως ἱμάτιον. Ἀναρχία μὲν γὰρ, ἣν ἔνιοι τῶν νέων ἐλευθερίαν ἀπαιδευσίᾳ νομίζουσι, χαλεπωτέρους ἐκείνων τῶν ἐν παισὶ διδασκάλων καὶ παιδαγωγῶν δεσπότας ἐφίστησι, τὰς ἐπι-
3 θυμίας, ὥσπερ ἐκ δεσμῶν λυθείσας. Καὶ, καθάπερ Ἡρόδοτός φησιν, ἅμα τῷ χιτῶνι συνεκδύεσθαι τὴν αἰδῶ τὰς γυναῖκας, οὕτως ἔνιοι τῶν νέων ἅμα τῷ τὸ παιδικὸν ἱμάτιον ἀποθέσθαι,

---

Ἱεραπόλεως τῆς ἐν τῇ Ἀσίᾳ· τοῦτο τὸ Ἐπίγραμμα τὸ ἀριέρωσεν εἰς τὰς Μούσας σημαίνουσα τὸν πόθον καὶ τὴν ποθὸς τὴν σπουδὴν ἐπιμέλειαν· ἡ ὁποία μ' ὅλον ὅτι ἦτον ὑπέσχηρως, κατέβαλεν ὅμως πᾶσαν ἐπιμέλειαν διὰ νὰ μάθῃ τὰς τέχνας καὶ ἐπιστήμας δίδουσα παράδειγμα τῆς ἐπιμελείας εἰς τοὺς παῖδας της καὶ ἐμψυχόνουσα αὐτοὺς εἰς τὴν μετ' ἐπιμελείας τῆς αὐτῆς σπουδήν. — 5. Τοῦτο εὐχῆς ἔργον ἐστί] Ἐπιθυμητὸν μόνον δηλ. ἀλλ' ὄχι καὶ δυνατὸν (ἐννοεῖται.)

Β'. Περὶ τοῦ ἀκούειν) Τουτέστι τῶν φιλοσόφων καὶ ἰδίως τῶν παραινετικῶν. Διότι τὸ ἀκούειν καὶ συνθέτως διακούειν καὶ ἀκροᾶσθαι (ἐξ οὗ ἀκροατής, ἀκρόασις) λέγεται πολλάκις περὶ τῶν μαθητῶν, οἵτινες διατριβουσι περὶ τὴν φιλοσοφίαν, προστιθεμένου κατὰ γενικὴν τοῦ σουμπ. τοῦ ἡ φιλοσόφου, ἤ τινος τοιούτου. Ἀλλ' ὁ συγγραφεὺς ἐνταῦθα, ὡς καὶ ἀλλαχοῦ πολλάκις, παρέλιπε τὴν συνταχτικὴν τοῦ ῥήματος πτῶσιν ὑπονοουμένην. Ἡ δὲ ἐπιγραφὴ »Περὶ τοῦ ἀκούειν« τῆς πραγματείας ταύτης ἐδύνατο ἄλλως ἐντενέστερα νὰ ἐκφρασθῇ οὕτω, »Περὶ τοῦ πῶς δεῖ τὸν νέον τῶν φιλοσόφων ἀκούειν,« κατὰ τὴν »Περὶ τοῦ πῶς δεῖ τὸν νέον τῶν ποιημάτων ἀκούειν,« ἐπιγραφὴν ἄλλης τοῦ αὐτοῦ πραγματείας.

ά. Σχολὴν) Ἡ λέξις σημαίνει παρὰ φιλοσόφοις τὴν ὑπὸ φιλοσόφου περί τινος ὁμιλίαν ἢ διδασκαλίαν ἐν τῇ σχολῇ, ὡς καὶ τὴν περιέχουσαν ταύτην βίβλον.

— Ὦ Νίκανδρε) Τοῦ Νικάνδρου τούτου, τοῦ Εὐθυδάμου, μνημονεύει καὶ ἀλλαχοῦ »Περὶ τοῦ τὰ ἔλλογα λόγου χρῆσθαι« ὁ συγγραφεύς, ἑταίρου ὄντος τῶν αὐτοῦ παίδων.

— Τὸ ἀνδρεῖον) Τὸ τῶν ἀνδρῶν δηλαδὴ, ὀνομαζόμενον καὶ ἁπλῶς ἱμάτιον. Οἱ δὲ παῖδες καὶ μάλιστα οἱ ἐφηβοι ἐφόρουν τὴν χλαμύδα ἢ ἄλλως παιδικὸν ἱμάτιον λεγομένην, ἥτις ἦτον καὶ τῶν ἀρχόντων καὶ στρατιωτῶν ἰδιαίτερον ἔνδυμα.

3. Ἡρόδοτος) »Ἅμα δὲ κιθῶνι ἐκδυομένῳ συνεκδύεται καὶ τὴν αἰδῶ γυνή«. Ἡρόδ. βιβλ. Γ. 8. Ηηγὴ δὲ, ἐξ ἧς ἠρύσαντο ὁ Πλούταρχος καὶ Ἡρόδοτος τὴν ἔννοιαν ταύτην, ἴσως εἶναι τὸ παρὰ Διογ. Λαερτίῳ τῆς Πυθαγορικῆς Θεανοῦς· »Τῇ δὲ πρὸς τὸν ἴδιον ἄνδρα μελλούσῃ πορεύσθαι, παρήνει, ἅμα τοῖς ἐνδύμασι καὶ τὴν αἰσχύνην ἀποτίθεσθαι, ἀνισταμένην δὲ πάλιν ἅμα αὐτοῖσιν ἀναλαμβάνειν.«

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

συναποθέμενοι τὸ αἰδεῖσθαι καὶ φοβεῖσθαι, καὶ λύσαντες τὴν κατασχηματίζουσαν αὐτοὺς περιβολὴν, εὐθὺς ἐμπίπλανται τῆς ἀναγωγίας. Σὺ δὲ πολλάκις ἀκηκοὼς, ὅτι ταὐτόν ἐστι τὸ ἕπε- 4
σθαι θεῷ, καὶ τὸ πείθεσθαι λόγῳ, νόμιζε τὴν εἰς ἄνδρας ἐκ παίδων ἀγωγὴν οὐκ ἀρχῆς εἶναι τοῖς εὖ φρονοῦσιν ἀποβολὴν, ἀλλὰ μεταβολὴν ἄρχοντος, ἀντὶ μισθωτοῦ τινος ἢ ἀργυρωνήτου θεῖον ἡγεμόνα τοῦ βίου λαμβάνουσι τὸν λόγον· ᾧ τοὺς ἑπομένους ἄξιόν ἐστι μόνους ἐλευθέρους νομίζειν. Μόνοι γὰρ, ἃ δεῖ, βούλεσθαι μαθόντες, ὡς βούλονται, ζῶσι. Ταῖς δὲ ἀπαι- 5
δεύτοις καὶ παραλόγοις ὁρμαῖς καὶ πράξεσιν ἀγεννὲς ἔνεστι καὶ μικρὸν ἐν πολλῷ τῷ μετανοοῦντι τὸ ἑκούσιον.

β'. Ἐπεὶ δ' ὥσπερ τῶν ἐγγραφομένων εἰς τὰς πολιτείας οἱ μὲν ἀλλοδαποὶ καὶ ξένοι κομιδῇ πολλὰ μέμφονται καὶ δυσκολαίνουσι τῶν γινομένων, οἱ δ' ἐκ μετοίκων σύντροφοι καὶ συνήθεις ὄντες τῶν νόμων οὐ χαλεπῶς προσδέχονται τὰ ἐπιθάλλοντα καὶ στέργουσιν, οὕτως ἔδει πολὺν χρόνον ἐν φιλοσοφίᾳ παρατρεφόμενον, καὶ πᾶν μάθημα καὶ ἄκουσμα παιδικὸν ἀπ' ἀρχῆς ἐθισθέντα προσφέρεσθαι λόγῳ φιλοσόφῳ μεμιγμένον, εὐμενῆ καὶ οἰκεῖον ἥκειν εἰς φιλοσοφίαν, ἣ μόνη τὸν ἀνδρεῖον καὶ τέλειον ὡς ἀληθῶς ἐκ λόγου τοῖς νέοις περιτίθησι κόσμον. Οὐκ 2
ἂν ἀηδῶς δ' οἶμαί σε προσακοῦσαι περὶ τῆς ἀκουστικῆς αἰσθήσεως, ἣν ὁ Θεόφραστος παθητικωτάτην εἶναί φησι πασῶν. Οὔτε 3
γὰρ ὁρατὸν οὐδὲν, οὔτε γευστὸν, οὔτε ἁπτὸν, ἐκστάσεις ἐπιφέρει καὶ ταραχὰς καὶ πτοίας τηλικαύτας, ἡλίκαι καταλαμβάνουσι τὴν ψυχὴν, κτύπων τινῶν καὶ πατάγων καὶ ἤχων τῇ ἀκοῇ προσπεσόντων. Ἔστι δὲ λογικωτέρα μᾶλλον ἢ παθητι- 4
κωτέρα. Τῇ μὲν γὰρ κακίᾳ πολλὰ χωρία καὶ μέρη τοῦ σώματος παρέχει δι' αὐτῶν ἐνδῦσαν ἅψασθαι τῆς ψυχῆς· τῇ δὲ ἀρετῇ μία λαβὴ τὰ ὦτα τῶν νέων ἐστὶν, ἂν ᾖ καθαρὰ καὶ ἄδρυπτα κολακείᾳ, καὶ λόγοις ἄθικτα φαύλοις ἀπ' ἀρχῆς φυλάττηται. Διὸ καὶ Ξενοκράτης τοῖς παισὶ μᾶλλον ἢ τοῖς ἀθλη- 5
ταῖς ἐκέλευε περιάπτειν ἀμφώτιδας, ὡς ἐκείνων μὲν τὰ ὦτα

5. Ταῖς δὲ ἀπαιδεύτοις) Τουτέστιν οἱ ἀπαίδευτοι, παρασυρόμενοι ἀπὸ τὰς παραλόγους καὶ σφοδρὰς ὁρμὰς τῶν παθῶν των, μετανοοῦσι πολλάκις, ἐπειδὴ δὲν ἔχουσιν εἰς τὰς πράξεις ἐλευθέραν τὴν θέλησιν.

β'. Τὰ ἐπιβάλλοντα) Τὰ καθήκοντα, τὰ ὁποῖα ἐπιβάλλουσιν εἰς αὐτοὺς οἱ νόμοι διὰ νὰ ἐκτελῶσιν, εἴτε ὠφελοῦντες, εἴτε καὶ βλάπτοντες ἐκ τούτου. — Παρατρεφόμενον) Ἐπιπολαίως πῶς παιδευόμενον, μὴ δυνάμενον ἔτι διὰ τὴν ἡλικίαν νὰ κατανοήσῃ τὰ τῆς φιλοσοφίας.

4. Τῇ δὲ ἀρετῇ . . .) »Φησὶ δ' Ἀπολλώνιος ὁ Τύριος, ἔλκοντος αὐτὸν Κρατήτος τοῦ ἱματίου ἀπὸ Στίλπωνος, εἰπεῖν, ὦ Κράτης, λαβὴ φιλοσόφων ἐστὶν ἐπιδέξιος ἡ διὰ τῶν ὤτων«. Διογ. Λαερτ. VII. 24.

5. Ἀμφώτιδας) Ἀμφώτιδες ἢ ἄλλως

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ταῖς πλημμυραῖς, τούτων δὲ τοῖς λόγοις τὰ ἤθη διαστρεφομένων· οὐκ ἀνηκοΐαν οὐδὲ κωφότητα προμνώμενος, ἀλλὰ τῶν λόγων τοὺς φαύλους φυλάττεσθαι παραινῶν, πρὶν ἑτέρους χρηστοὺς, ὥσπερ φύλακας ἐντραφέντας ὑπὸ φιλοσοφίας, τῷ ἤθει τὴν μάλιστα κινουμένην αὐτοῦ καὶ ἀναπειθομένην χώραν κατασχεῖν.

6 Καὶ Βίας ὁ παλαιὸς Ἀμάσιδι, κελευσθεὶς τὸ χρηστότατον ὁμοῦ καὶ φαυλότατον ἐκπέμψαι κρέας τοῦ ἱερείου, τὴν γλῶτταν ἐξελὼν ἀπέπεμψεν, ὡς καὶ βλάβας καὶ ὠφελείας τοῦ λέγειν ἔ-

7 χοντος μεγίστας. Οἵτε πολλοὶ τὰ μικρὰ παιδία καταφιλοῦντες, αὐτοί τε τῶν ὤτων ἅπτονται, κἀκεῖνα τοῦτο ποιεῖν κελεύουσιν, αἰνιττόμενοι μετὰ παιδιᾶς, ὅτι δεῖ φιλεῖν μάλιστα τοὺς διὰ

8 τῶν ὤτων ὠφελοῦντας. Ἐπεί, ὅτι γε πάσης ἀκροάσεως ἀπειργόμενος ὁ νέος, καὶ λόγου μηδενὸς γευσάμενος, οὐ μόνον ἄκαρπος ὢν ὅλος καὶ ἀβλαστὴς διαμένει πρὸς ἀρετὴν, ἀλλὰ καὶ διαστρέφοιτο πρὸς κακίαν, ὥσπερ ἐκ χώρας ἀκινήτου καὶ ἀρ-

9 γῆς ἄγρια πολλὰ τῆς ψυχῆς ἀναδιδοὺς, δῆλόν ἐστι. Τὰς γὰρ ἐφ' ἡδονὴν ὁρμὰς, καὶ πρὸς πόνου ὑποψίας, οὐ θυραίας οὐδ' ὑπὸ λόγων ἐπεισάκτους, ἀλλ' ὥσπερ αὐτόχθονας οὔσας μυρίων παθῶν καὶ νοσημάτων πηγὰς, ἂν ἐᾷ τις ἀφέτους, ἢ πεφύκασι, χωρεῖν, καὶ μὴ λόγοις χρηστοῖς ἀραιῶν ἢ παρατρέπων, καταστὴ τὴν φύσιν, οὐκ ἔστιν ὁ τῶν θηρίων οὐκ ἂν ἡμερώτερον ἀνθρώπου φανεῖη.

ἀντώτιδες ἦσαν καλύμματα, διὰ τῶν ὁποίων οἱ ἀθληταὶ περιεκάλυπτον τὰ ὦτα, διὰ νὰ ἀποφύγωσι τὴν ὁποίαν ἐδύνατο νὰ ὑποφέρωσιν εἰς αὐτὰ βλάβην ὑπὸ τῶν κτυπημάτων τῶν ἐναντίων. Καὶ Κλήμας ὁ Ἀλεξανδεὺς λέγει, »Ὁ Θεῖος παιδαγωγὸς κατὰ τὰ αὐτὰ τοῖς παλαίουσι τῶν παιδίων, ὡς μὴ τὰ ὦτα θραύοιτο αὐτῶν, τοὺς σώφρονας περιτίθησι λόγους, καθάπερ αὐτώτιδας.«

6. Βίας) Ἐρωτηθεὶς (ὁ Ἀνάχαρσις) τί ἐστὶν ἐν ἀνθρώποις ἀγαθόν τε καὶ φαῦλον; ἔφη, Γλῶττα. Διογ. Λαερτ. I. 105.

7. Τῶν ὤτων) Καὶ παρὰ Θεοκρίτῳ ὁ Κομάτας λέγει, οὐκ ἔραμ' Ἀλκίππας, ὅτι με πολὺ οὐκ ἐφίλασε, τῶν ὤτων κἀμελεῖ, (λαβοῦσά με ἀπὸ τῶν ὤτων) ὅκα οἱ τὰν φύσσαν ἔδωκα. Εἰδ ε. Φοίνεται δὲ, ὅτι οἱ ἀρχαῖοι εἶχον συνήθειαν φιλοῦντες ἢ ἀντιφιλούμενοι νὰ λαμβάνουσιν ἀλλήλους ἐνίοτε ἀπὸ τῶν ὤτων.

9. Πόνου) Ἄλλως »Ἀφορμὴ πρὸς λύπην.« ἀντιτίθεται δὲ »Τῇ πρὸς ἡδονὴν ὁρμῇ.« Πόνος δὲ σημαίνει πολλάκις παρὰ φιλοσόφοις πᾶν αἴσθημα δυσάρεστον εἰς τὴν ψυχὴν καὶ τὸ σῶμα. Τὸ δὲ «ὑποψία» εἶνε ταὐτοδύναμον ἐνταῦθα μὲ τὸ »Φόβος ἢ ἀφορμή.«

— Θυραίας) Θυραῖος καὶ ἐπείσακτος λέξεις ταυτόσημοι σχεδὸν, σημαίνουσι τὰ ἔξωθεν εἰσερχόμενα εἰς τὴν ψυχὴν εἴτε διὰ τῆς ὁράσεως, εἴτε διὰ τῆς ἀκοῆς, καὶ μὴ ὄντα οἰκεῖα. Ἀντιτάσσονται δὲ μὲ τὸ αὐτόχθων, τουτέστιν ἔμφυτος καὶ ἔγγειος. »Ἂν δὲ σαυτὸν ἐνδοθεν ἀνοιξῇς, ποικίλον τε καὶ πολυπαθὲς κακῶν ταμιεῖον εὑρήσεις καὶ θησαύρισμα, ὡς φησι Δημόκριτος, οὐκ ἔξωθεν ἐπιβρέοντων, ἀλλ' ὥσπερ ἐγγείους καὶ αὐτόχθονας πηγὰς ἐχόντων, ἃς ἀνίησιν ἡ κακία, πολύχυτος καὶ δαψιλὲς οὖσα τοῖς πάθεσιν.« Πλούτ.

— Ἀφαιρεῖν) Σύνηθες τὸ ῥῆμα παρὰ Πλουτάρχῳ, καὶ σημαίνει ἐνίοτε τὸ ἐλαττοῦν ἢ ἐκριζοῦν καὶ ἀφανίζειν τὰς ψυχὰς τὰς κακίας καὶ τὰ παθήματα.

— Καταστὴ) Καταστύειν (ἐξ οὗ κατάστυσις καὶ ἐξάστυσις) ἐν χρήσει μά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γ'. Διὸ δὴ μεγάλην μὲν ὠφέλειαν, οὐκ ἐλάττω δὲ κίνδυνον τοῖς νέοις τοῦ ἀκούειν ἔχοντος, οἶμαι καλῶς ἔχειν καὶ πρὸς αὐτὸν ἀεὶ καὶ πρὸς ἕτερον διαλέγεσθαι περὶ τοῦ ἀκούειν. Ἐπεὶ 2
καὶ τούτῳ κακῶς τοὺς πλείστους χρωμένους ὁρῶμεν, οἱ λέγειν ἀσκοῦσι, πρὶν ἀκούειν ἐθισθῆναι· καὶ λόγου μὲν οἴονται μάθησιν εἶναι καὶ μελέτην, ἀκροάσει δὲ καὶ τοὺς ὁπωσοῦν χρωμένους ὠφελεῖσθαι. Καί τοι τοῖς μὲν σφαιρίζουσιν ἅμα τοῦ βα- 3
λεῖν καὶ τοῦ λαβεῖν τὴν σφαῖραν ἡ μάθησις· ἐν δὲ τῇ τοῦ λόγου χρείᾳ τὸ δέξασθαι καλῶς τοῦ προέσθαι πρότερόν ἐστιν, ὥσπερ τοῦ τεκεῖν τὸ συλλαβεῖν τι καὶ κατασχεῖν τῶν γονίμων. Τοῖς μὲν οὖν ὄρνισι τὰς ὑπηνεμίους λοχείας καὶ ὠδῖνας ἀτελῶν τινῶν καὶ ἀψύχων ὑπολειμμάτων ἀρχὰς λέγουσιν εἶναι· τῶν δὲ ἀκούειν μὴ δυναμένων νέων, μηδὲ ὠφελεῖσθαι δι' ἀκοῆς ἐθισθέντων, ὑπηνέμιος ὄντως ὁ λόγος ἐκπίπτων,

Ἀκλειὴς ἀΐδηλος ὑπαὶ νεφέεσσι σκεδάσθη.

Τὰ μὲν γὰρ ἀγεῖα πρὸς τὴν ὑποδοχὴν τῶν ἐγχεομένων ἐπι- 5
κλίνουσι καὶ συνεπιστρέφουσιν, ἵν' ἔγχυσις ἀληθῶς, μὴ ἔκχυσις γένηται· αὐτοὺς δὲ τῷ λέγοντι παρέχειν καὶ συναρμόττειν τῇ προσοχῇ τὴν ἀκρόασιν, ὡς μηδὲν ἐκφύγοι τῶν χρησίμως λεγομένων, οὐ μανθάνουσιν· ἀλλ, ὃ πάντων καταγελαστότατόν ἐστιν, ἂν μέν τινι προστύχωσι δεηγουμένῳ δεῖπνον, ἢ πομπήν, ἢ ὄνειρον, ἢ λοιδορίαν γεγενημένην αὐτῷ πρὸς ἄλλον, ἀκροῶνται σιωπῇ, καὶ προσλιπαροῦσιν· ἂν δέ τις αὐτοὺς ἐπισπασάμενος διδάσκῃ τι τῶν χρησίμων, ἢ παραινῇ τῶν δεόντων, ἢ νουθετῇ πλημμελοῦντας, ἢ καταπραΰνῃ χαλεπαίνοντας, οὐχ ὑπομένουσιν, ἀλλ', ἐὰν μὲν δύνωνται, φιλοτιμούμενοι περίγενέσθαι διαμάχονται πρὸς τὸν λόγον· εἰ δὲ μή, φεύγοντες ἀπίασι πρὸς ἑτέρους λόγους καὶ φλυάρους, ὡς ἀγεῖα φαῦλα καὶ σαθρὰ τὰ ὦτα πάντων μᾶλλον ἢ τῶν ἀναγκαίων ἐμπιπλάντες.

λιστα παρὰ τοῖς Πυθαγορικοῖς, καὶ σημαίνει τὴν διὰ τῆς παιδείας διάπλασιν, διαμόρφωσιν καὶ διαρρύθμισιν τοῦ ἀνθρωπίνου νοός. Προκαταρτύοντες δὲ ἐλέγοντο, ὅσοι πρὸ τῶν ἀγώνων ἐδάμαζον καὶ ἐπαίδευον τοὺς ἵππους.

γ'. Πρὸς αὐτόν) Πρὸς ἑαυτόν.

2. Ὁπωσοῦν) Ὁπωσδήποτε.

3. Τοῦ σφαιρίζουσιν) Οἱ ἀρχαῖοι πολλάκις παραβάλλουσι μὲ τὸ σφαιρίσμα τὸν λόγον, ἐπειδή, καθὼς οἱ σφαιρίζοντες ἐναλλὰξ ῥίπτουσι καὶ δέχονται τὴν σφαῖραν, οὕτω καὶ εἰς τὸ λέγειν δέχονται καὶ προτείνεται τὸν λόγον οἱ λέγοντες. Καὶ ὁ Διονυσόδωρος ὥσπερ σφαῖραν ἐκδεξάμενος τὸν λόγον πάλιν ἐστοχάζετο τοῦ μειρακίου. Πλάτ.

4. Ὑπηνεμίους) Ὑπηνέμιος καὶ Ἀττικῶς ἀνεμιαῖος σημαίνουσιν ἠνεμωμένος, ἀνεμώδης· καὶ μεταφορικῶς μάταιος, κενός, ἀνωφελής. Ὅθεν ὠὰ ὑπηνέμια ἢ ἄλλως κυοῖσυρα, ξερύρια καὶ οὔρια τὰ ἄγονα.

5. Προσλιπαροῦσι) Παρακαλοῦσιν αὐτὸν νὰ ἐξακολουθήσῃ τὴν διήγησιν. . .

— Ἐπισπασάμενοι) Ἑλκύσας πρὸς ἑαυτόν, ὡς καὶ ἀλλαχοῦ εἶπε. »Τρεῖδόνιος περὶ τὰς Θύρας Ἀντώνιον ἐπισπασάμενος καὶ προσομιλῶν ἔξω κατέσχεν.»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

6 Τοὺς μὲν οὖν ἵππους οἱ καλῶς τρέφοντες εὐστόμους τῷ χαλινῷ, τοὺς δὲ παῖδας εὐηκόους τῷ λόγῳ παρέχουσι, πολλὰ μὲν
7 ἀκούειν, μὴ πολλὰ δὲ λέγειν διδασκομένους. Καὶ γὰρ τὸν Ἐπαμινώνδαν ὁ Σπίνθαρος ἐπαινῶν, ἔφη, μήτε πλείονα γινώσκον-
8 τι, μήτε ἐλάττονα φθεγγομένῳ ῥᾳδίως ἐντυχεῖν ἑτέρῳ. Καὶ τὴν φύσιν ὑμῶν ἑκάστῳ λέγουσι δύω μὲν ὦτα δοῦναι, μίαν δὲ γλῶτταν, ὡς ἐλάττονα λέγειν ἢ ἀκούειν ὀφείλοντι.

δ'. Πανταχοῦ μὲν οὖν τῷ νέῳ κόσμος ἀσφαλής ἐστιν ἡ σιωπή, μάλιστα δ', ὅταν ἀκούων ἑτέρου μὴ συνταράττηται, μηδ' ἐξυλακτῇ πρὸς ἕκαστον, ἀλλά, κἂν ὁ λόγος ᾖ μὴ λίαν ἀρεστός, ἀνέχηται καὶ περιμένῃ παύσασθαι τὸν διαλεγόμενον· καὶ παυσαμένου, μὴ εὐθέως ἐπιβάλλῃ τὴν ἀντίρρησιν, ἀλλ', ὡς Αἰσχίνης φησί, διαλοίπῃ χρόνον, εἴτε προσθεῖναί τι βούλοιτο
2 τοῖς λελεγμένοις ὁ εἰρηκώς, εἴτε μεταθέσθαι καὶ ἀφελεῖν. Οἱ δὲ εὐθὺς ἀντικόπτοντες, οὔτε ἀκούοντες, οὔτε ἀκουόμενοι, λέ-
3 γοντες δὲ πρὸς λέγοντας, ἀσχημονοῦσιν. Ὁ δ' ἐγκρατῶς καὶ μετ' αἰδοῦς ἀκούειν ἐθισθεὶς τὸν μὲν ὠφέλιμον λόγον ἐδέξατο καὶ κατέσχε, τὸν δὲ ἄχρηστον ἢ ψευδῆ μᾶλλον διεῖδε καὶ κατεφώρασε, φιλαλήθης φανείς, οὐ φιλόνεικος, οὐδὲ προπετὴς καὶ
4 δύσερις. Ὅθεν οὐ κακῶς ἔνιοι λέγουσιν, ὅτι δεῖ τῶν νέων μᾶλλον ἐκπνευματοῦν τὸ οἴημα καὶ τὸν τύφον, ἢ τῶν ἀσκῶν τὸν ἀέρα, τοὺς ἐγχέαι τι βουλομένους χρήσιμον· εἰ δὲ μή, γέμοντες ὄγκου καὶ φυσήματος οὐ προσδέχονται.

Ταὐτοδυναμεῖ δὲ τὸ ἐπισπᾶσθαι μὲ τὸ ἰδία λαμβάνειν.

6. Εὔστομους) Εὔστομος ἵππος ὀνομάζεται ὁ τετιθασσευμένος καὶ πεπαιδευμένος οὕτως, ὥστε νὰ πείθηται εὐκόλως εἰς τὸν χαλινόν.

7. Σπίνθαρος) Καὶ ἀλλαχοῦ ἀναφέρει ὁ συγγραφεὺς τοὺς ὁποίους οὗτος ἀπένεμεν ἐπαίνους εἰς τὸν Ἐπαμινώνδαν. »Σπίνθαρος ὁ Ταραντῖνος οὐκ ὀλίγον αὐτῷ (τῷ Ἐπαμινώνδᾳ) συνδιατρίψας ἐνταῦθα χρόνον ἀεὶ δήπου λέγει, μηδένι πω τῶν καθ' ἑαυτὸν ἀνθρώπων ἐντετυχέναι, μήτε πλείονα γινώσκοντι, μήτε ἐλάττονα φθεγγομένῳ.« Δὲν πρέπει δὲ νὰ ὑπολάβωμεν διὰ τοῦτο συγγραφέα τὸν Σπίνθαρον. Ἀλλὰ πιθανὸν, ὅτι ὁ υἱὸς τούτου Ἀριστόξενος, περίφημος μουσικὸς καὶ φιλόσοφος, ἀνέφερεν εἰς κανὲν σύγγραμμά του ταύτην τὴν περὶ τοῦ Ἐπαμινώνδου ἰδέαν τοῦ πατρός του. Ἴσως δὲ, ὡς πολλῶν ἄλλων, καὶ τοῦ Ἐπαμινώνδου τὸν βίον ἔγραφεν.

8. Μίαν) Καὶ Ζήνων πρὸς φλυαροῦν μειράκιον, »Διὰ τοῦτο, εἶπε, δύο ὦτα ἔχομεν, στόμα δὲ ἕν, ἵνα πλείω μὲν ἀκούωμεν, ἥττονα δὲ λέγωμεν.« Διογ. VII. 23.

δ'. Κόσμος) Καὶ Σοφοκλῆς ἐν Αἴαντι λέγει τοιοῦτόν τι περὶ γυναικῶν. »Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.«

— Αἰσχίνης) Ἀμφίβολον ἢ δυςδιάγνωστον πότερον ἐννοεῖ Αἰσχίνην τὸν ῥήτορα ἢ Αἰσχίνην τὸν Σωκρατικὸν, ἐπειδὴ τοιαύτην τινὰ ἀκριβῶς ἔννοιαν παρ' οὐδετέρῳ εὑρίσκομεν.

4. Ἐκπνευματοῦν) Ἐκκενοῦν τοῦ πνεύματος ἢ τοῦ τύφου. Αὕτη δὲ ἡ σημασία τοῦ ῥήματος ἔχει μοναδικὸν παράδειγμα τοῦτο, ἐπειδὴ ἀλλαχοῦ σημαίνει ὅτι καὶ τὸ ἐξαεροῦν· ὁλκαῖῃ μεταποιεῖ τι εἰς ἀέρα, ὡς τὸ ἐξυδατοῦν, ἐκπυροῦν· μεταποιεῖν τι εἰς ὕδωρ, πῦρ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ε. Φθόνος τοίνυν μετὰ βασκανίας καὶ δυσμενείας, οὐδενὶ μὲν ἔργῳ παρὼν, ἀγαθόν, ἀλλὰ πᾶσιν ἐμπόδιος τοῖς καλοῖς, κάκιστος δὲ ἀκροωμένῳ πάρεδρος καὶ σύμβουλος, ἀνιαρὰ καὶ ἀηδῆ καὶ δυσπρόσδεκτα ποιῶν τὰ ὠφέλιμα, διὰ τὸ πᾶσι μᾶλλον ἥδεσθαι τοὺς φθονοῦντας ἢ τοῖς εὖ λεγομένοις. Καί τοι 2
πλοῦτος μὲν ὄντινα δάκνει, καὶ δόξα καὶ κάλλος, ἑτέροις ὑπάρχοντα, φθονερός ἐστι μόνον· ἄχθεται γὰρ ἄλλων εὐτυχούντων· ὁ δὲ λόγῳ καλῶς λεγομένῳ δυσχεραίνων ὑπὸ τῶν ἰδίων ἀγαθῶν ἀνιᾶται. Ὡς γὰρ τὸ φῶς τῶν βλεπόντων, καὶ ὁ λό- 3
γος τῶν ἀκουόντων ἀγαθόν ἐστιν, ἂν βούλωνται δέχεσθαι. Τὸν 4
μὲν οὖν ἐφ' ἑτέροις φθόνον ἄλλαι τινὲς ἀπαίδευτοι καὶ κακαὶ διαθέσεις ἐμποιοῦσιν, ὁ δὲ πρὸς τοὺς λέγοντας ἐκ φιλοδοξίας ἀκαίρου καὶ φιλοτιμίας ἀδίκου γενόμενος οὐδὲ προσέχειν ἐᾷ τοῖς λεγομένοις τὸν οὕτω διακείμενον· ἀλλὰ θορυβεῖ καὶ περισπᾷ τὴν διάνοιαν, ἅμα μὲν τὴν ἑαυτῆς ἕξιν ἐπισκοποῦσαν, εἰ λείπεται τῆς τοῦ λέγοντος, ἅμα δὲ τοὺς ἄλλους ἐπιβλέπουσαν, εἰ ἄγονται καὶ θαυμάζουσιν, ἐκπληττομένην τε ὑπὸ τῶν ἐπαίνων, καὶ ἀγριαίνουσαν πρὸς τοὺς παρόντας, ἂν ἀποδέχωνται τὸν λέγοντα· τῶν δὲ λόγων τοὺς μὲν εἰρημένους ἐῶσαν καὶ προϊεμένην, ὅτι λυποῦσι μνημονευόμενοι, πρὸς δὲ τοὺς ἐπιόντας ταραττομένην καὶ τρέμουσαν, μὴ τῶν εἰρημένων βελτίονες γένωνται· σπεύδουσαν δὲ τάχιστα παύσασθαι τοὺς λέγοντας, ὅταν κάλλιστα λέγωσι· λυθείσης δὲ τῆς ἀκροάσεως, πρὸς οὐδενὶ τῶν εἰρημένων οὖσαν· ἀλλὰ τὰς φωνὰς καὶ διαθέσεις τῶν παρόντων ἐπιψηφίζουσαν· καὶ τοὺς μὲν ἐπαινοῦντας ὥσπερ ἐμμανῆ φεύγουσαν καὶ ἀποπηδῶσαν· προστρέχουσαν δὲ καὶ συναγελαζομένην τοῖς ψέγουσι τὰ εἰρημένα καὶ διαστρέφουσιν· ἂν δὲ μηδὲν ᾖ διαστρέψαι, παραβάλλουσαν νεωτέρους τινάς, ὡς ἄμεινον εἰρηκότας εἰς τὸ αὐτὸ καὶ δυνατώτερον, ἕως διαφθείρασα καὶ λυμηναμένη τὴν ἀκρόασιν ἀχρεῖον ἑαυτῇ καὶ ἀνάξιον ἀπεργάσηται.

ς΄. Διὸ δεῖ τῇ φιληκοΐᾳ πρὸς τὴν φιλοδοξίαν σπεισάμενον ἀκροᾶσθαι τοῦ λέγοντος ἕλεων καὶ πρᾶον, ὥσπερ ἐφ' ἑστίασιν ἱερᾶν καὶ θυσίας ἀπ' ἀρχὴν παρειλημμένον, ἐπαινοῦντα μέν, οἷς ἐπιτυγχάνει, τὴν δύναμιν, ἀγαπῶντα δὲ τὴν προθυμίαν αὐτὴν τοῦ φέροντος εἰς μέσον, ἃ γινώσκει, καὶ πείθοντος ἑτέρους, δι'

ς΄. Ἐφ' ἑστίασιν) Ὡς κατωτέρω «ἐπὶ λόγων ἀφιγμένος ἑστίασιν, καθ' ἣν μεταφορὰν ὁ μὲν λέγων ἑστιάτωρ, οἱ δὲ ἀκροώμενοι δαιτυμόνες λέγονται· εἷς, δύο, τρεῖς· ὁ δὲ δὴ τέταρτος ἡμῶν, ὦ φίλε Τίμαιε, ποῦ, τῶν χθὲς μὲν δαιτυμόνων, τανῦν δὲ ἑστιατόρων;» Πλάτ. ἐν Τιμ. — Παρειλημμένον) Παραλαμβάνειν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

2 ὧν αὐτὸς πέπεισται. Τοῖς μὲν οὖν κατορθουμένοις ἐπιλογιστέον, ὡς οὐκ ἀπὸ τύχης οὐδὲ αὐτομάτως, ἀλλ' ἐπιμελείᾳ καὶ πόνῳ καὶ μαθήσει κατορθοῦνται· καὶ μιμητέον ταῦτα θαυμάζοντάς γε δὴ καὶ ζηλοῦντας· τοῖς δὲ ἁμαρτανομένοις ἐφιστάναι χρὴ τὴν διάνοι-
3 αν, ὑφ' ὧν αἰτιῶν καὶ ὅθεν ἡ παρατροπὴ γέγονεν. Ὡς γὰρ ὁ Ξενοφῶν φησι τοὺς οἰκονομικοὺς καὶ ἀπὸ τῶν φίλων ὀνίνασθαι καὶ ἀπὸ τῶν ἐχθρῶν· οὕτως τοὺς ἐγρηγορότας καὶ προσέχοντας οὐ μόνον κατορθοῦντες, ἀλλὰ καὶ διαμαρτάνοντες ὠφελοῦσιν οἱ λέ-
4 γοντες. Καὶ γὰρ διανοήματος εὐτέλεια, καὶ ῥήματος κενότης, καὶ σχῆμα φορτικόν, καὶ πτόησις μετὰ χαρᾶς ἀπειροκάλου πρὸς ἔπαινον, καὶ ὅσα τοιαῦτα, μᾶλλον ἀκροωμένοις ἐφ' ἑτέρων, ἢ λέ-
5 γουσιν ἐφ' ἑαυτῶν καταφαίνεται. Διὸ δεῖ μεταφέρειν τὴν εὐθύνην ἐφ' ἑαυτοὺς ἀπὸ τοῦ λέγοντος, ἀνασκοποῦντας, εἴ τι τοιοῦτον λαν-
6 θάνομεν ἁμαρτάνοντες. Ῥᾷστον γάρ ἐστι τῶν ὄντων τὸ μέμψασθαι τὸν πλησίον· ἀχρήστως τε καὶ κενῶς γινόμενον, ἂν μὴ πρός
7 τινα διόρθωσιν ἢ φυλακὴν ἀναφέρηται τῶν ὁμοίων. Καὶ τὸ τοῦ Πλάτωνος οὐκ ἀκνητέον ἀεὶ πρὸς αὐτὸν ἐπὶ τῶν ἁμαρτανόντων ἀναφθέγγεσθαι, Ἤ που ἄρ' ἐγὼ τοιοῦτος; Ὡς γὰρ ἐν τοῖς ὄμμασι τῶν πλησίων ἐλλάμποντα τὰ ἑαυτῶν ὁρῶμεν, οὕτως ἐπὶ τῶν λόγων δεῖ τοὺς ἑαυτῶν ἐνεικονίζεσθαι τοῖς ἑτέροις, ἵνα μήτε ἄγαν θρασέως καταφρονῶμεν ἄλλων, αὐτοῖς τε προσέχωμεν ἐν τῷ λέ-
8 γειν ἐπιμελέστερον. Χρήσιμον δὲ πρὸς τοῦτο καὶ τὸ τῆς παραβολῆς· ὅταν γενόμενοι καθ' αὑτοὺς ἀπὸ τῆς ἀκροάσεως, καὶ λαβόντες τι τῶν μὴ καλῶς ἢ μὴ ἱκανῶς εἰρῆσθαι δοκούντων, ἐπιχειρῶμεν εἰς ταὐτό, καὶ προάγωμεν αὐτούς, τὰ μὲν ὥσπερ ἀναπληροῦν, τὰ δὲ ἐπανορθοῦσθαι, τὰ δὲ ἑτέρως πράττειν, τὰ δ'
9 ὅλως εἰσφέρειν ἐξ ὑπαρχῆς πειρώμενοι πρὸς τὴν ὑπόθεσιν. Ὁ

. . σημαίνει δέχεσθαι εἰς τὸ δεῖπνον τὸν προσκεκλημένον· παρακαλεῖν δὲ, προσκαλεῖν τινα.

2. Κατορθουμένοις) Τοῖς εἰρημένοις ὀρθῶς, καλῶς. Τὸ δὲ κατορθοῦσθαι μεταχειρίζονται πολλάκις διὰ νὰ φανερώσωσι τὰ κατὰ τὴν μάχην πραττόμενα καὶ ἀποβαίνοντα καλῶς, καθὼς καὶ τὰ διαπραγματευόμενα ὑπό τινος γράφοντος ἢ λέγοντος, ὅταν ὀρθῶς καὶ καλῶς πραγματεύηται αὐτά.

3. Ξενοφῶν) Εἰς τὸν Οἰκονομικόν. Περὶ τούτου δὴ καὶ ὁ Πλούταρχος ἔγραψεν ἰδιαιτέραν πραγματείαν ἐπιγραφομένην «Πῶς ἄν τις ὑπ' ἐχθρῶν ὠφελοῖτο.»

6. Ἀχρήστως) Ἀνωφελῶς, κενῶς. Ἴσως δὲ πρέπει νὰ τρέψωμεν τὸν τὲ εἰς τὸν δε, ὥστε, ὑπηνοουμένου τοῦ ἐστί, νὰ ἦνε ἡ σύνταξις γιγνόμενόν ἐστιν, ἀντὶ τοῦ γίγνεται, καθὼς καὶ ἐν Ταμ. παραγ. εἶπε· «Τοῦτο δ' οὐχ ἁπλῶς γιγνόμενόν ἐστιν».

7. Ἁμαρτανόντων) Τουτέστι καὶ τὸ τοῦ Πλάτωνος δὲν πρέπει τις νὰ ὀκνῇ, ὅταν παρατηρῇ τὰ ἁμαρτήματα τῶν ἄλλων, νὰ λέγῃ πρὸς ἑαυτόν.

— Ἐνεικονίζεσθαι) Τοιουτοτρόπως εἰς τοὺς λόγους τῶν ἄλλων πρέπει νὰ ἐνεικονίζωνται οἱ ἰδικοί μας· τουτέστιν ὅταν ἀκούωμεν ἄλλους λέγοντας, πρέπει νὰ σκεπτώμεθα ὥστε δι' αὐτῶν νὰ βλέπωμεν ὁποῖοι θὰ ἦταν οἱ ἐδικοί μας εἰς τοιαύτην περίστασιν.

8. Ἐπιχειρῶμεν) Σύνηθες τὸ ῥῆμα παρὰ διαλεκτικοῖς καὶ ῥήτορσι, καὶ σημαίνει τὸ, συλλογίζεσθαι, διαλέγεσθαι περί τινος. — Ἐξ ὑπαρχῆς) Ἐκ νέου.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ Πλάτων ἐποίησε πρὸς τὸν Λυσίου λόγον. Τὸ μὲν γὰρ ἀντιπεῖν οὐ χαλεπόν, ἀλλὰ καὶ πάνυ ῥᾴδιον, εἰρημένου λόγου· τὸ δ' ἕτερον ἀνταναστῆσαι βελτίονα παντάπασιν ἔργῶδες. Ὥσπερ ὁ Λακεδαιμόνιος ἀκούσας, ὅτι Φίλιππος Ὄλυνθον κατέσκαψεν, Ἀλλ' οὐκ ἀναστῆσαί γε τοιαύτην ἔφη πόλιν ἐκεῖνος ἂν δυνηθεῖν. Ὅταν οὖν ἐν τῷ διαλέγεσθαι πρὸς τὴν αὐτὴν ὑπόθεσιν μὴ πολὺ 10 φαινώμεθα τῶν εἰρηκότων διαφέροντες, πολὺ τοῦ καταφρονεῖν ἀφαιροῦμεν, καὶ τάχιστα κολούεται τὸ αὔθαδες ἡμῶν καὶ φίλαυτον ἐν ταῖς τοιαύταις ἐλεγχόμενον ἀντιπαραβολαῖς.

ζ΄ Τῷ τοίνυν καταφρονεῖν τὸ θαυμάζειν ἀντικείμενον εὐγνωμονεστέρας μέν ἐστι δήπου καὶ ἡμερωτέρας φύσεως, δεῖται γε μὴν οὐδ' αὐτὸ μικρᾶς εὐλαβείας, τάχα δὲ καὶ μείζονος, ὅσῳ οἱ μὲν καταφρονητικοὶ καὶ θρασεῖς ἧττον ὠφελοῦνται ὑπὸ τῶν λεγόντων, οἱ δὲ θαυμαστικοὶ καὶ ἄκακοι μᾶλλον βλάπτονται· καὶ τὸν Ἡράκλειτον οὐκ ἐλέγχουσιν εἰπόντα, Βλάξ ἄνθρωπος ἐπὶ παντὶ λόγῳ ἐπτοῆσθαι φιλεῖ. Δεῖ δὲ τὸν μὲν ἔπαινον ἀφελῶς τοῖς λέγουσι, τὴν δὲ πίστιν σύ- 2 λαβῶς προΐεσθαι τοῖς λόγοις· καὶ τῆς μὲν λέξεως καὶ προφορᾶς τῶν ἀγωνιζομένων εὐμενῆ καὶ ἁπλοῦν εἶναι θεατήν, τῆς δὲ χρείας καὶ τῆς ἀληθείας τῶν λεγομένων ἀκριβῆ καὶ πικρὸν ἐξεταστήν· ἵν' οἱ μὲν λέγοντες μὴ μισῶσιν, οἱ δὲ λόγοι μὴ βλάπτωσιν. Ὡς πολλὰ 3 ψευδῆ καὶ πονηρὰ δόγματα λανθάνομεν εὐνοίᾳ καὶ πίστει τῇ πρὸς τοὺς λέγοντας ἐνδεχόμενοι. Οἱ μὲν οὖν Λακεδαιμονίων ἄρχοντες, 4 ἀνδρὸς οὐκ εὖ βεβιωκότος γνώμην δοκιμάσαντες, ἑτέρῳ προσέταξαν εἰπεῖν εὐδοκιμοῦντι περὶ τὸν βίον καὶ τὸ ἦθος· ὀρθῶς πάνυ καὶ πολιτικῶς ἐθίζοντες τὸν δῆμον ὑπὸ τοῦ τρόπου μᾶλλον ἢ τοῦ λόγου τῶν συμβουλευόντων ἄγεσθαι. Τοὺς δὲ ἐν φιλοσοφίᾳ λό- 5

---

9. Πλάτων). Εἰς τὸν Φαῖδρον. Διῆσχυρίζεται δέ τις τῶν φιλολόγων, ὁ Ταῦλορος, ὅτι ὁ Λυσίας οὗτος εἶνε ἄλλος ἢ ὁ εἷς τῶν δέκα Ἀττικῶν ῥητόρων περιώνυμος Λυσίας. Ὅμως οἱ λόγοι του ὄντως εἶνε τόσον πειστικοί.

— Λακεδαιμόνιος). «Ἀγησίπολις ὁ Κλεομβρότου, εἰπόντος τινός, ὅτι Φίλιππος ἐν ὀλίγαις ἡμέραις Ὄλυνθον κατέσκαψε. Μὰ τοὺς θεούς, εἶπεν, ἄλλην τοιαύτην ἐν πολλαπλασίονι χρόνῳ οὐκ οἰκοδομήσει». Πλούτ. ἐν Ἀποφθ. Λακων.

ζ΄. Ἡράκλειτον) Καὶ τὸ τοῦ Ἡρακλείτου δὲν κατακείνουσι, ἀλλ' ἀποδέχονται. Ἦτο δὲ οὗτος φιλόσοφος τῆς Ἰωνικῆς σχολῆς ἐξ Ἐφέσου τῆς μικρᾶς Ἀσίας, ὃς τις ἐπωνομάζετο Κλαυστικὸς διὰ τὰς κλαυστικὰς περὶ πλούτων ἰδέας του.

2. Ἀγωνιζομένων) Ἀγών, ἀγωνίζεσθαι κυριολεκτικῶς ἐπὶ τῆς εἰς τὴν ἐκκλησίαν πρὸς τὸν δῆμον ὁμιλίας τῶν δημαγωγῶν ἢ ἄλλων, μετὰ ταῦτα δὲ ἐλήφθη καὶ περὶ τῆς σχολαστικῆς καὶ δικανικῆς ὁμιλίας.

3. Ὡς πολλὰ) Ἀντὶ τοῦ ἐπὶ πολλά.

4. Οἱ μὲν οὖν Λακεδ.) Τοῦ τοιούτου παρὰ τοῖς Λακεδαιμονίοις ἔθους καὶ ἀλλαχοῦ μνημονεύει ὁ συγγραφεύς. «Ἐν Λακεδαίμονι τινὸς Δημοτυένους, ἀνδρὸς ἀκολάστου, γνώμας εἰπόντος ἀρμόζουσας, ἀπέβριψεν ὁ δῆμος· οἱ δὲ ἔφοροι κληρώσαντες ἕνα τῶν γερόντων, ἐκέλευσαν εἰπεῖν τὸν αὐτοῦ λόγον ἐπαινοῦντα, ὥσπερ εἰς κύβους ἀγγεῖον ἐκ ἐύπαρου μετακεκασμένες, ὅπως εὐπρόσδεκτος γένηται τοῖς πολλοῖς.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γους ἀφαιροῦντα χρὴ τὴν τοῦ λέγοντος δόξαν αὐτοὺς ἐφ' ἑαυτῶν
ἐξετάζειν. Ὡς γὰρ πολέμου, καὶ ἀκροάσεως πολλὰ τὰ κενά ἐ-
6 στι. Καὶ γὰρ πολιὰ τοῦ λέγοντος, καὶ πλάσματα, καὶ ὀρροῦς,
καὶ περιαυτολογία, μάλιστα δὲ αἱ κραυγαὶ καὶ οἱ θόρυβοι καὶ
τὰ πηδήματα τῶν παρόντων συνεκπλήττει τὸν ἄπειρον ἀκροα-
7 τὴν καὶ νέον, ὥσπερ ὑπὸ ῥεύματος παραφερόμενον. Ἔχει δέ τι
καὶ ἡ λέξις ἀπατηλόν, ὅταν ἡδεῖα καὶ πολλὴ καὶ μετ' ὄγκου τι-
8 νὸς καὶ κατασκευῆς ἐπιφέρηται τοῖς πράγμασιν. Ὡς γὰρ τῶν
ὑπὸ αὐλὸν ᾀδόντων αἱ πολλαὶ τοὺς ἀκούοντας ἁμαρτίαι διαφεύ-
γουσιν, οὕτως περιττὴ καὶ σοβαρὰ λέξις ἀντιλάμπει τῷ ἀκρο-
9 ατῇ πρὸς τὸ δηλούμενον. Ὁ μὲν γὰρ Μελάνθιος, ὡς ἔοικε, περὶ
τῆς Διογένους τραγῳδίας ἐρωτηθεὶς, οὐκ ἔφη κατιδεῖν αὐτὴν
10 ὑπὸ τῶν ὀνομάτων ἐπιπροσθουμένην. Αἱ δὲ τῶν πολλῶν διαλέ-
ξεις καὶ μελέται σοφιστῶν οὐ μόνον τοῖς ὀνόμασι παραπετάσμα-
σι χρῶνται τῶν διανοημάτων, ἀλλὰ καὶ τὴν φωνὴν ἐμμελείαις τισὶ
καὶ μαλακότησι καὶ περιάσεσιν ἐρηδύνοντες ἐκβακχεύουσι καὶ πα-
ραφέρουσι τοὺς ἀκροωμένους, κενὴν ἡδονὴν διδόντες, καὶ κενωτέ-
ραν δόξαν ἀντιλαμβάνοντες. Ὥστε αὐτοῖς συμβαίνει τὸ ὑπὸ Διο-
11 νυσίου ῥηθέν. Ἐκεῖνος γάρ, ὡς ἔοικεν, εὐδοκιμοῦντι κιθαῳδῷ
παρὰ τὴν θέαν ἐπαγγειλάμενος δωρεάς τινας μεγάλας, ὕστερον

5. Αὐτοὺς ἐφ' ....) Αὐτοὺς καθ' ἑαυτοὺς τοὺς λόγους, κατὰ μόνας.

6. Πλάσματα) Πλάσμα σημαίνει τὸν πρὸς ἡδύτητα καὶ εὐρυθμίαν σχηματισμὸν τῆς φωνῆς, ὡς πλάττειν τὴν φωνὴν, το νὰ σχηματίζῃ τις καὶ νὰ ποικίλλῃ αὐτὴν εὐρύθμως.

— Περιαυτολογία) Περιαυτολογεῖν, ἰσοδυναμεῖ μὲ τὸ ἑαυτὸν ἐπαινεῖν.

7. Λέξις ... πολλὴ) Ἀφθονία λόγου.

— Ὄγκου) Ὄγκος λόγου, τὸ λίαν τετονευμενον καὶ σοβαρὸν τῆς φράσεως, τὸ ὁποῖον καὶ κατὰ τοὺς ἀρχαίους κακία μᾶλλον πολλάκις ἢ ἀρετὴ εἶναι.

8. Ἀντιλάμπει) Σκοτίζει. Ὁ δὲ νοῦς καθὼς εἰς τὸ πολὺ φῶς δὲν δύναται ὁ ἄνθρωπος νὰ ἴδῃ, ἐπειδὴ ἀμαυροῦνται οἱ ὀφθαλμοί του, τοιουτοτρόπως τὸ περιττὸν καὶ σοβαρὸν τῆς φράσεως ἐκπλήττει τὸν ἀκροατὴν, ὥστε δὲν δύναται νὰ σκεφθῇ περὶ τοῦ λεγομένου.

9. Μελάνθιος) Τραγικὸς ποιητὴς, τὸν ὁποῖον ὁ Ἀριστοφάνης καὶ ἄλλοι κωμῳδοποιοὶ σκῶπτουσιν ὡς ἀδηφάγον.

— Ὡς ἔοικεν) Ὡς λέγεται.

— Διογένους) Ἀναφέρουσι δύο Διογένεις τραγῳδοποιοὺς, Διογένην τὸν καὶ Οἰνόμαον ἐπικληθέντα, καὶ Διογένην τὸν Κυνικόν. Ἐκ τούτων δὴ ἐκεῖνος μὲν, ἀνάμασας κατὰ τὸν Μελάνθιον, ἐποίησε τραγῳδίας, οὗτος δὲ ἡμαρτημένως ἀναφέρεται τραγῳδιῶν ποιητὴς, ἐπειδὴ ταύτας ἐποίησεν ὁ μαθητὴς αὐτοῦ Φιλίσκος. Εἶδε δὲ ἀμφίβολον ὁπότερον ἐννοεῖ ἐνταῦθα. Ἴσως ὅμως ἡ ἀληθὴς γραφὴ εἶνε ὄχι Διογένους, διότι τὰς μὲν τοῦ Οἰνομάου οὐδεὶς τῶν ἀρχαίων ἐλέγχει, τὰς δὲ τοῦ Φιλίσκου δὲν εἶδε βέβαια ὁ Μελάνθιος, ἀλλὰ Διονυσίου, τοῦ ὁποίου τὰς τραγῳδίας πολλοὶ διαύρουσι τῶν ἀρχαίων.

— Ἐπιπροσθουμένην) Ἐπισκοτουμένην. Ἐλέχθη δὲ κατὰ μεταφορὰν ἀπὸ τῶν πραγμάτων, τὰ ὁποῖα ἐπισκοτίζονται διὰ τῆς παρεμπτώσεως μεταξὺ αὐτῶν καὶ τοῦ φωτὸς ἄλλων.

11. Παρὰ τὴν θέαν) Ἡ παρὰ μὲ αἰτιατικὴν σημαίνει τὸν καθ' ὃν γίνεται τι τόπον καὶ χρόνον. Πρέπει δὲ νὰ ἀποδώσωμεν τὸ προθετόπτωτον τοῦτο εἰς τὴν μετοχ. ἐπαγγειλάμενος· ὁ δὲ νοῦς· Καθ' ὃν χρόνον Διονύσιος ὁ τύραννος ἤκουεν αὐτὸν ᾄδοντα εἰς τὸ θέατρον. Ἐξηγήσαμεν δὲ τὸ «παρὰ τὴν θέαν, ἤκουεν» ἐπειδὴ τὰς σημαντικὰς τῆς ἐνεργείας τῆς ὁράσεως λέξεις πολλάκις μεταχειρίζονται διὰ νὰ ση-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐδὲν ἔδωκεν, ὡς ἀποδεδωκὼς τὴν χάριν· Ὅσον γάρ, ἔφη, χρόνον εὔφραινες ᾄδων, τοσοῦτον ἔχαιρες ἐλπίζων. Τοῦτον δὲ τὸν ἔ- 12
ρανον αἱ τοιαῦται πληροῦσιν ἀκροάσεις τοῖς λέγουσι· θαυμάζονται γάρ, ἐφ' ὅσον τέρπουσιν, εἶτα ἅμα τῆς ἀκοῆς ἐξερρύη τὸ ἡδύ, κἀκεῖνος προλέλοιπεν ἡ δόξα, καὶ μάτην τοῖς μὲν ὁ χρόνος, τοῖς δὲ καὶ ὁ βίος ἀνάλωται.

ἡ. Διὸ δεῖ τὸ πολὺ καὶ κενὸν ἀφαιροῦντα τῆς λέξεως αὐτὸν διώκειν τὸν καρπὸν καὶ μιμεῖσθαι μὴ τὰς στεφηπλόκους, ἀλλὰ τὰς μελίσσας. Αἱ μὲν γὰρ ἐπινοοῦσαι τὰ ἄνθηρὰ καὶ εὐώδη 2
τῶν φύλλων, συνείρουσι καὶ διαπλέκουσιν ἡδὺ μέν, ἐφήμερον δὲ καὶ ἄκαρπον ἔργον· αἱ δέ, πολλάκις ἴων καὶ ῥόδων καὶ ὑακίνθων διαπετόμεναι λειμῶνας, ἐπὶ τὸν τραχύτατον καὶ δριμύτατον θύμον καταίρουσι, καὶ τούτῳ προσκάθηνται,

Ἔκθον μέλι μηδόμεναι,

καὶ λαβοῦσαί τι τῶν χρησίμων, ἀποπέτονται πρὸς τὸ οἰκεῖον ἔργον. Οὕτω δὴ δεῖ τὸν φιλότεχνον καὶ καθαρὸν ἀκροατὴν τὰ μὲν 3
ἀνθηρὰ καὶ τρυφερὰ τῶν ὀνομάτων, καὶ τῶν πραγμάτων τὰ δραματικὰ καὶ πανηγυρικά, κηφήνων βοτάνην σοφιστιόντων ἡγούμενον ἐᾷν· αὐτὸν δὲ τῇ προσοχῇ καταδυόμενον εἰς τὸν νοῦν τοῦ λόγου, καὶ τὴν διάθεσιν τοῦ λέγοντος, ἕλκειν ἀπ' αὐτῆς τὸ χρήσιμον καὶ ὠφέλιμον, μεμνημένον, ὡς οὐκ εἰς θέατρον οὐδὲ ᾠδεῖον, ἀλλ' εἰς σχολὴν καὶ διδασκαλεῖον ἀφῖκται, τῷ λόγῳ τὸν βίον ἐπανορθωσόμενος. Ὅθεν δὴ καὶ ποιητέον ἐπίσκεψιν καὶ κρί- 4

μαίνωσι καὶ τῶν ἄλλων αἰσθήσεων τὴν ἐνέργειαν, ὡς καὶ τὴν τοῦ νοός.

12. Ἔρανον) Ἔρανος κατὰ Κοραῆν (ἐν Χ. Θεοφρ. σελ. 166) ἐκαλεῖτο Α) τὸ ἐκ συνεισφορᾶς τῶν συνδαιτυμόνων δεῖπνον, ἔτι δὲ καὶ τὸ ὑπὸ φίλων ἀμοιβαίως ποιούμενον, ὡς Ἡσύχιος λέγει « ἔρανος τὸ ἐκ συμβολῆς δεῖπνον, ἢ τὸ ἀνὰ μέρος δεῖπνον. Β) Ἅπαντες οἱ κάτοικοι τῆς Ἀττικῆς ἦσαν διῃρημένοι εἰς 174 Δήμους, ὑπαγομένους εἰς 10 φυλάς· ἑκάστη δὲ τούτων ἦτο διῃρημένη εἰς 3 Φρατρίας, καὶ ἑκάστη τῶν Φατριῶν εἰς 30 Γένη. Οἱ ἐκ τοῦ αὐτοῦ δὲ Δήμου πολῖται Δημόται, οἱ ἐκ τῆς αὐτῆς Φυλῆς Φυλέται, οἱ ἐκ τῆς αὐτῆς Φρατρίας Φράτορες, καὶ τελευταῖον οἱ ἐκ τοῦ αὐτοῦ γένους Γενῆται ἐκαλοῦντο, ἔχοντες ἅπαντες ναοὺς, ἑορτὰς καὶ θυσίας ἰδίας. Εἰς δαπάνην δὲ τῶν ἰδίων τούτων ἑορτῶν καὶ θυσιῶν, καὶ τῶν μετ' αὐτὰς δείπνων, ἔπρεπεν ἕκαστος κατὰ μῆνα νὰ συνεισφέρῃ ὡρισμένην τινὰ χρημάτων ποσότητα, ἂν δὲ δὲν ἤθελεν, ἠναγκάζετο ὑπὸ τοῦ καλουμένου Ἐρανικοῦ Νόμου. Αὕτη δὲ ἡ ποσότης, ὡς καὶ τὰ μετὰ τὰς θυσίας δεῖπνα, ἐκαλεῖτο ἔρανος. Γ) Ἔρανος ἐκαλεῖτο καὶ ἡ εἰσφορὰ, τὴν ὁποίαν πολλοί τινες φίλοι, εἰσέφερον διὰ νὰ βοηθήσωσι δυστυχήσαντα φίλον· καὶ Δ) ὁ φόρος, τὸν ὁποῖον ἕκαστος τῶν πολιτῶν κατὰ τὰς προσόδους τοῦ ἔφερεν εἰς τὸ δημόσιον.

ἡ. Τὸ πολὺ καὶ κενὸν) Τὸ «πολὺ» δὲν σημαίνει ὅ,τι «πολλὴ λέξις» (ἀφθονία λόγου) ἀνωτέρω, ἀλλ' ἁπλῶς ὡς ἐπίθετον ἀναφέρεται εἰς τὸ «κενὸν», ὥστε «τὸ πολὺ καὶ κενὸν» ἰσοδυναμεῖ μὲ τὸ « τὸ πολὺ κενόν,» ἐπειδὴ ὁ «καὶ» δὲν συμπλέκει, ἀλλ' ἐντείνει μόνον, ὡς καὶ ἀλλαχοῦ δύναταί τις νὰ εὕρῃ τὸν τοιοῦτότροπον «καί» «οἷον πολλοὶ καὶ σοφοὶ πολλὰ καὶ ἀγαθά.»

3. Καθαρὸν) Καθαρὸς ἀκροατὴς λέγεται, ὅστις οὔτε ἀπὸ ἔννοιαν πρὸς τὸν λέγοντα διὰ τὸ καλλιεπὲς, ἢ καὶ δι' ἄλλην τινὰ αἰτίαν ἐπαινεῖ καὶ ἐγκρίνει τὰ λεγόμενα, οὔτε πάλιν ἀπὸ μῖσος καταφέρεται, ἀλλ' ἐξετάζει αὐτὰ καθ' ἑαυτὰ τὰ πράγματα.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σιν τῆς ἀκροάσεως ἐξ αὐτοῦ, καὶ τῆς περὶ αὐτὸν διαθέσεως, ἀναλογιζόμενον, εἴτι τῶν παθῶν γέγονε μαλακώτερον, εἴτι τῶν ἀνιαρῶν κουφότερον, εἰ θαρσος, εἰ φρόνημα βέβαιον, εἰ πρὸς ἀρετὴν καὶ τὸ καλὸν ἐνθουσιασμός. Οὐ γὰρ ἐκ κουρείου μὲν ἀναστάντα δεῖ τῷ κατόπτρῳ παραστῆναι, καὶ τῆς κεφαλῆς ἅψασθαι, τὴν περικοπὴν τῶν τριχῶν ἐπισκοποῦντα καὶ τῆς κουρᾶς τὴν διαφοράν· ἐκ δὲ ἀκροάσεως ἀπιόντα καὶ σχολῆς, οὐκ εὐθὺς ἀφορᾶν χρὴ πρὸς ἑαυτόν, καταμανθάνοντα τὴν ψυχὴν, εἴτι τῶν ἐχλήρων ἀποτεθειμένη καὶ περιττῶν ἐλαφροτέρα γέγονε καὶ ἡδίων. Οὔτε γὰρ βαλανείου, φησὶν ὁ Ἀρίστων, οὔτε λόγου μὴ καθαίροντος ὄφελός ἐστιν.

Ζ'. Ἡδέσθω μὲν οὖν ὑπὸ λόγων ὠφελούμενος ὁ νεος· οὐ δεῖ δὲ τὸ ἡδὺ τῆς ἀκροάσεως ποιεῖσθαι τέλος· οὐδὲ αἴεσθαι δεῖν ἐκ σχολῆς ἀπιέναι φιλοσόφου μυνυρίζοντα καὶ γεγανωμένον· οὐδὲ ζητεῖν μυρίζεσθαι, δεόμενον ἐμβροχῆς καὶ καταπλάσματος· ἀλλὰ χάριν ἔχειν, ἐάν τις, ὥσπερ καπνῷ σμήνος, λόγῳ θρυμεῖ τὴν διάνοιαν ἀχλύος πολλῆς καὶ ἀμβλύτητος γέμουσαν ἐκκαθάρῃ. Καὶ γὰρ εἰ τοῖς λέγουσι προσήκει μὴ παντάπασιν ἡδονὴν ἐχούσης καὶ πιθανότητα, λέξεως παραμελεῖν, ἐλάχιστα τούτου φροντιστέον ἐστὶ τῷ νέῳ, τό γε πρῶτον. Ὕστερον δέπου, καθάπερ οἱ πίνοντες, ὅταν παύσωνται διψῶντες, τότε τὰ τορεύματα τῶν ἐκπωμάτων ὑποθεωροῦσι καὶ στρέφουσιν, οὕτως ἐμπλησθέντι δογμάτων καὶ ἀναπνεύσαντι δοτέον τὴν λέξιν, εἴτι κομψὸν ἔχει καὶ περιττόν, ἐπισκοπεῖν. Ὁ δ' εὐθὺς ἐξ ἀρχῆς μὴ τοῖς πράγμασιν ἐμφυόμενος, ἀλλὰ τὴν λέξιν Ἀττικὴν ἀξιῶν εἶναι καὶ ἰσχνὴν, ὅμοιός ἐστι μὴ βουλομένῳ πιεῖν ἀντίδοτον, ἂν μὴ τὸ ἀγγεῖον ἐκ τῆς Ἀττικῆς Κωλιάδος ᾖ κεκεραμευμένον· μηδὲ ἱμάτιον περιβαλέσθαι χειμῶνος, εἰ μὴ προβάτων Ἀττικῶν εἴη τὸ ἔριον· ἀλλ', ὥσπερ ἐν τριβωνι Λυσιακοῦ λόγου λεπτῷ καὶ ψιλῷ

6. Ἀρίστων) Στωϊκὸς φιλόσοφος Χῖος, μαθητὴς τοῦ Ζήνωνος, καὶ θεμελιωτὴς Σχολῆς φιλοσοφικῆς, ἥτις ἐπλησίαζε μᾶλλον προς τὴν τῶν Κυνικῶν.

Ζ'. Μυυρίζοντα) «Μυυρίζειν» ἐκ τοῦ «μυύειν» ἐλαττοῦν σημαινει κατὰ Σουίδαν «ὀλίγῃ τῇ φωνῇ χρᾶσθαι, θρηνεῖν,» ἔτι δὲ καὶ «ἡσεμα ᾄδειν», ὡς ἐνταῦθα. Π' δὲ ἔννοια τοιαύτη τις· «ἡδή τις καὶ ὑπὸ αὐλημάτων ἀνὴρ ἄμουσος, διετέθη μουσικῶς, καὶ τὰ ὦτα ἔναυλος ὢν διαμέμηκται τοῦ μέλους, καὶ μυυρίζει πρὸς ἑαυτόν.

—Γεγανωμένον) «Γανόω» ἀπαυγάζω, φαιδρύνομαι, ἐκ τοῦ «γάνος», ἀπαύγασμα, φαιδρότης. Ὅθεν «ἐγανώθη», ἐφαιδρώθη.

— Σμήνος) Καθὼς οἱ μελίτουργοι ἀποδιώκουσι τὰς μελίσσας διὰ τοῦ καπνοῦ, ὅταν δρέπωνται τὸ μέλι.

3. Ἀναπνεύσαντι) Τουτέστι τῶν ταραχῶν καὶ παθῶν τῆς ψυχῆς.

4. Κωλιάδος) Κωλιὰς, ἄκρα τις κατὰ τὸ Φάληρον τῆς Ἀττικῆς, ἔνθα ἐκεραμεύοντο περίφημα παρὰ τοῖς ἀρχαίοις ἀγγεῖα.

—Ἔριον) Καὶ ὁ Συνέσιος εἴς τινα τῶν πρὸς τὸν αὐτάδελφόν του ἐπιστολῶν ζητεῖ «στολὰς Ἀττικουργεῖς», ἐξιχούσας μᾶλλον κατὰ τὴν ἐργασίαν ἢ τὸ ἔριον.

—Τριβωνι Αυσι...) Τοιαύτη τις ἡδιά-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καθήμενος, ἄπρακτος καὶ ἀκίνητος. Ταῦτα γὰρ τὰ νοσήματα 5
πολλὴν μὲν ἐρημίαν νοῦ καὶ φρενῶν ἀγαθῶν, πολλὴν δὲ τερ-
θρείαν καὶ στωμυλίαν ἐν ταῖς σχολαῖς πεποίηκε· τῶν μειρακίων,
οὔτε βίον, οὔτε πρᾶξιν, οὔτε πολιτείαν φιλοσόφου παραφυλαττόντων ἀνδρός, ἀλλὰ λέξεις καὶ ῥήματα, καὶ τὸ καλῶς ἀπαγγέλειν, ἐν ἐπαίνῳ τιθεμένων, τὸ δὲ ἀπαγγελλόμενον εἴτε χρήσιμον, εἴτε ἄχρηστον, εἴτε ἀναγκαῖον, εἴτε κενόν ἐστι καὶ περιττὸν, οὐκ ἐπισταμένων, οὐδὲ βουλομένων ἐξετάζειν.

ι. Ἀκολουθεῖ δὲ τούτοις τὸ περὶ τῶν προβλημάτων παράγγελμα. Δεῖ γὰρ τὸν ἐπὶ δεῖπνον ἥκοντα τοῖς παρακειμένοις χρῆ- 2
σθαι, καὶ μηδὲν αἰτεῖν ἄλλο, μηδ' ἐξελέγχειν· ὁ δ' ἐπὶ λόγων ἀφιγμένος ἑστίασιν, ἂν μὲν ἐπὶ ῥητοῖς, ἀκροάσθω σιωπῇ τοῦ λέγοντος· οἱ γὰρ εἰς ἄλλας ὑποθέσεις ἐξάγοντες καὶ παρεμβάλλοντες ἐρωτήματα, καὶ προσδιαποροῦντες, οὐχ ἡδεῖς οὐδὲ εὐσυνάλλακτοι πρὸς ἀκρόασιν ὄντες, ὠφελοῦνται μὲν οὐδὲν, τὸν δὲ λέγοντα καὶ τὸν λόγον ὁμοῦ συνταράσσουσιν· ὅταν δὲ τοὺς ἀκούοντας ὁ λέγων ἐρωτᾷν καὶ προβάλλειν κελεύσῃ, χρήσιμόν τι δεῖ καὶ ἀναγκαῖον ἀεὶ προβάλλοντα φαίνεσθαι. Ὁ μὲν γὰρ 3
Ὀδυσσεὺς καταγελᾶται παρὰ τοῖς μνηστῆρσιν,

Αἰτίζων ἀκόλους, οὐκ ἄορας, οὐδὲ λέβητας·

μεγαλοψυχίας γὰρ ἡγοῦντο σημεῖον, ὡς τὸ διδόναι τι τῶν μεγάλων, καὶ τὸ αἰτεῖν. Μᾶλλον δ' ἄν τις ἀκροατοῦ καταγελάσειεν 4
εἰς μικρὰ καὶ γλίσχρα προβλήματα τὸν διαλεγόμενον κινοῦντος. Οἷα τερθρευόμενοί τινες τῶν νέων, καὶ παρεπιδεικνύμενοι διαλεκ- 5
τικὴν ἢ μαθηματικὴν ἕξιν, εἰώθασι προβάλλειν περὶ τῆς τῶν ἀορίστων τομῆς, καὶ τίς ἡ κατὰ πλευρὰν ἢ κατὰ διάμετρον κίνησις. Πρὸς οὓς ἐστιν εἰπεῖν τὸ ὑπὸ Φιλοτίμου πρὸς τὸν ἔμπυον 6
καὶ φθισιῶντα ῥηθέν. Ἐπεὶ γὰρ ἐλάλησεν αὐτῷ φαρμάκιον αἰ-

ταξις τῆς φράσεως· «ἀλλ' ἐν Λυσιακῷ λόγῳ, ὥσπερ τρίβωνι λεπτῷ καὶ ψιλῷ, κάθηται ἄπρακτος καὶ ἀκίνητος». Ὁ δὲ νοῦς· ἀλλὰ καθὼς οὗτος εἰς καινὸν χειμῶνος ἐνδεδυμένος ἱμάτιον λεπτὸν καὶ ψιλὸν κάθηται ἄπρακτος καὶ ἀκίνητος διὰ τὸ ψύχος, τοιουτοτρόπως ἐκεῖνος εὐχαριστούμενος εἰς Λυσιακὴν φράσιν, δὲν φροντίζει παντάπασι περὶ τῶν πραγμάτων, μηδὲ θέλει νὰ ἐνεργήσῃ τι.

5. Τερθρεία) Κατὰ τὸν ἐτυμολόγον τερθρεία, γοητεία, περιπάθεια, παρὰ τὸ τέρας, τέρατος, τερατεύω, τερατεία. Ὁ δὲ Ἡσύχιος ἑρμηνεύει τὴν λέξιν διὰ τοῦ λογομαχία, ἀπατη, φλυαρία, φληναφία.

ι. Προβλημάτων) Τουτέστι τῶν προβλημάτων, τὰ ἁποῖα οἱ ἀκροαταὶ προβάλλουσιν εἰς τὸν διδάσκοντα διὰ νὰ τὰ λύσῃ.

2. Παρακειμένοις) Τὰ ἐπὶ τῆς τραπέζης παρατεθειμένα σῖτα λέγονται τὰ παρακείμενα.

—Εὐσυνάλλακτοι) Ἐκεῖνοι, μετὰ τῶν ὁποίων εὐκόλως δύναταί τις νὰ ἔλθῃ εἰς συμπεριφοράν, ἄλλως «εὐκοινώνητοι, εὐσύμβολοι, εὐσυμπεριφοροι, εὐεπίμικτοι, εὐέντευκτοι» λεγόμενοι.

5. Τῆς τῶν ἀορ. τομῆς) Ἰδὲ Διογ. Λαέρτ. VII. 197, 69, 70, 82, 195.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῶν πρὸς παρωνυχίαν, αἰσθόμενος ἀπὸ τῆς χρόας καὶ τῆς ἀναπνοῆς τὴν διάθεσιν, «Οὐκ ἔστι σοι, φησὶν, ὦ βέλτιστε, περὶ παρωνυχίας ὁ λόγος». Οὐδέ σοι τοίνυν, ὦ νεανία, περὶ τοιούτων ζητημάτων ὥρα σκοπεῖν· ἀλλὰ πῶς οἰήματος καὶ ἀλαζονείας, ἐρώτων τε καὶ φλυαρίας ἀπολυθείς, εἰς βίον ἄτυφον καὶ ὑγιαίνοντα καταστήσεις σαυτόν.

ιά. Εὖ μάλα δὲ χρὴ καὶ πρὸς τὴν τοῦ λέγοντος ἐμπειρίαν ἢ φυσικὴν δύναμιν ἡρμοσμένον, ἐν οἷς αὐτὸς ἑαυτοῦ κράτιστός ἐστι, ποιεῖσθαι τὰς ἐρωτήσεις· καὶ μὴ παραβιάζεσθαι τὸν μὲν ἠθικώτερον φιλοσοφοῦντα, φυσικὰς ἐπάγοντα καὶ μαθηματικὰς ἀπορίας· τὸν δὲ τοῖς φυσικοῖς σεμνυνόμενον, εἰς συνημμένων ἐπικρίσεις ἕλκοντα, καὶ ψευδομένων λύσεις. Ὡς γὰρ ὁ τῇ κλειδὶ τὰ ξύλα σχίζειν, τῇ δὲ ἀξίνῃ τὴν θύραν ἀνοίγειν πειρώμενος οὐκ ἐκεῖνα δόξειεν ἂν ἐπηρεάζειν, ἀλλ' αὐτὸν ἀποστερεῖν τῆς ἑκατέρου χρείας καὶ δυνάμεως· οὕτως οἱ παρὰ τοῦ λέγοντος, ὃ μὴ πέφυκε μηδὲ ἤσκησεν, αἰτοῦντες, ὃ δ' ἔχει καὶ διδῶσι, μὴ δρεπόμενοι μηδὲ λαμβάνοντες, οὐ τοῦτο βλάπτονται μόνον, ἀλλὰ καὶ κακοήθειαν καὶ δυσμένειαν προσορλισκάνουσιν.

ιβ. Φυλακτέον δὲ καὶ τὸ πολλὰ καὶ πολλάκις αὐτὸν προβάλλειν· ἔστι γὰρ καὶ τοῦτο τρόπον τινὰ παρεπιδεικνυμένου. Τὸ δὲ ἑτέρου προτείνοντος ἀκροᾶσθαι μετ' εὐκολίας, φιλόλογον καὶ κοινωνικόν· ἐὰν μή τι τῶν ἰδίων ἐνοχλῇ καὶ κατεπείγῃ πάθος ἐπισχέσεως δεόμενος, ἢ νόσημα παρηγορίας. Τάχα μὲν γὰρ οὐδὲ ἀμαθίαν κρύπτειν ἄμεινον, ὥς φησιν Ἡράκλειτος, ἀλλ' εἰς μέσον τιθέναι καὶ θεραπεύειν. Ἂν δὲ ὀργή τις ἢ προσβολὴ δεισιδαιμονίας, ἢ διαφορὰ πρὸς οἰκείους σύντονος, ἢ περιμανὴς ἐξ ἔρωτος ἐπιθυμία,

Κινοῦντα χορδὰς τὰς ἀκινήτους φρενῶν,

ἐπιταράξῃ τὴν διάνοιαν, οὐ φευκτέον εἰς ἑτέρους λόγους ἀποδιδράσκοντας τὸν ἔλεγχον· ἀλλὰ περὶ αὐτῶν τούτων ἀκουστέον ἐν ταῖς διατριβαῖς, καὶ μετὰ τὰς διατριβάς, ἰδίᾳ προσιόντας αὐτοὺς καὶ προσανακρίνοντας. Ἀλλὰ μὴ τοὐναντίον, ὥσπερ οἱ πολλοὶ χαίρουσι τοῖς φιλοσόφοις περὶ ἄλλων διαλεγομένοις, καὶ θαυμάζουσιν· ἐὰν δὲ τοὺς ἄλλους ἐάσας ὁ φιλόσοφος αὐτοῖς ἐκείνοις ἰδίᾳ παῤῥησιάζεται περὶ τῶν διαφερόντων, καὶ ὑπομιμνήσκῃ, δυσχεραίνουσι καὶ περίεργον νομίζουσιν· ἐπιεικῶς γάρ, ὥσπερ τῶν τραγῳδῶν ἐν τοῖς θεάτροις, καὶ τῶν φιλοσόφων ἐν

Περὶ δὲ τοῦ «συνημμένων ἐπικρίσεις τῶν ψευδομένων λύσεις», ἰδὲ τὸν αὐτὸν, VII, 69—75.

ιβ' 2. Μετ' εὐκολίας) Φιλοφρόνως.
5. Ἐπιεικῶς) Ὡς ἐπὶ τὸ πολὺ, συνήθως σχεδόν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ταῖς σχολαῖς οἴονται δεῖν ἀκούειν, ἐν δὲ τοῖς ἔξω πράγμασιν οὐδὲν αὐτοὺς ἑαυτῶν διαφέρειν ἡγοῦνται· πρὸς μὲν τοὺς σοφιστὰς εἰκότως τοῦτο πεπονθότες· ἀναστάντες γὰρ ἀπὸ τοῦ θρόνου, καὶ ἀποθέμενοι τὰ βιβλία, καὶ τὰς εἰσαγωγάς, ἐν τοῖς ἀληθινοῖς τοῦ βίου μέρεσι μικροὶ καὶ ὑπὸ χεῖρα φαίνονται τοῖς πολλοῖς· περὶ δὲ τῶν ὄντως φιλοσόφων ἀγνοοῦντες, ὅτι καὶ σπουδὴ καὶ παιδιά, καὶ νεῦμα, καὶ μειδίαμα, καὶ σκυθρωπασμὸς αὐτῶν, μάλιστα δ' ὁ πρὸς ἕκαστον ἰδίᾳ περαινόμενος λόγος, ἔχει τινὰ καρπὸν ὠφέλιμον τοῖς ὑπομένειν καὶ προσέχειν ἐθισθεῖσι.

ιγ΄. Δεῖται δὲ καὶ τὸ περὶ τοὺς ἐπαίνους καθῆκον εὐλαβείας τινὸς καὶ μετριότητος· διὰ τὸ μήτε τὴν ἔλλειψιν αὐτοῦ, μήτε τὴν ὑπερβολὴν ἐλευθέριον εἶναι. Βαρὺς μὲν γὰρ ὁ ἀκροατὴς 2
καὶ φορτικός, ὁ πρὸς πᾶν ἄτεγκτος καὶ ἀτενὴς τὸ λεγόμενον, οἰήματος ὑπούλου καὶ περιαυτολογίας ἐνδιαθέτου μεστός· ὡς ἔχων τί τῶν λεγομένων βέλτιον εἰπεῖν, μήτε ὀφρῦν κατὰ σχῆμα κινῶν, μήτε φωνὴν εὐγνώμονος μάρτυρα φιλικοῖας προϊέμενος, ἀλλὰ σιγῇ καὶ βαρύτητι καταπλάστῳ καὶ σχηματισμῷ θηρώμενος δόξαν εὐσταθοῦς καὶ βάθος ἔχοντος ἀνδρός· ὥσπερ χρημάτων, τῶν ἐπαίνων, ὅσον ἄλλῳ μεταδίδωσιν, αὐτοῦ δοκῶν ἀφαιρεῖσθαι. Πολλοὶ γὰρ εἰσιν οἱ κακῶς καὶ παρὰ μέλος τὴν 3
Πυθαγόρου φωνὴν ὑπολαμβάνοντες. Ἐκεῖνος μὲν γὰρ ἐκ φιλοσο- 4
φίας ἔφησεν αὐτῷ περιγεγονέναι τὸ μηδὲν θαυμάζειν. Οὗτοι δὲ 5
τὸ μηδένα ἐπαινεῖν, μηδὲ τιμᾷν ἐν τῷ καταφρονεῖν τιθέμενοι, καὶ τὸ σεμνὸν ὑπεροψίᾳ διώκουσιν. Ὁ γὰρ φιλόσοφος λόγος 6
τὸ μὲν ἐξ ἀπορίας καὶ ἀγνοίας θαῦμα καὶ θάμβος ἐξαίρει, γνώσει καὶ ἱστορίᾳ τῆς περὶ ἕκαστον αἰτίας, τὸ δὲ εὔκολον καὶ μέγα καὶ φιλάνθρωπον οὐκ ἀπόλλυσι. Τοῖς γὰρ ἀληθινῶς καὶ 7
βεβαίως ἀγαθοῖς τιμή τε καλλίστη, τὸ τιμῆσαί τινα τῶν ἀξίων· καὶ κόσμος εὐπρεπέστατος, τὸ ἐπικοσμῆσαι, περιουσίᾳ δόξης καὶ ἀρθονίᾳ γινόμενον. Οἱ δὲ γλίσχροι περὶ τοὺς ἑτέρων ἐπαί- 8

— Ἀπὸ τοῦ θρόνου) Ἀπὸ καθέδρας Διότι οἱ διδάσκοντες ἐδίδασκον καθήμενοι ἢ ἱστάμενοι ἐπὶ καθέδρας. Περὶ δὲ τοῦ Σωκράτους λέγει ὁ συγγραφεύς. »Σωκράτης γοῦν οὔτε βάθρα θεὶς, οὔτε εἰς θρόνον καθίσας, οὔτε διατριβῆς, ἢ περιπάτου τοῖς γνωρίμοις τεταγμένην φυλάττων ἐφιλοσόφει.«

— Ὑπὸ χεῖρα) Ἄλλως ὑποχείριος.

— Τοῖς πολλοῖς) Οἱ πολλοί, ὁ ὄχλος.

ιγ΄. 2. Οἰήματος) Οἴημα, ἡ περὶ ἑαυτοῦ μεγάλη ἰδέα τινός· μεστὸς ἀλαζονείας ἐγκρύφου.

— Ἐνδιαθέτου) Περιαυτολογία ἐνδιάθετος, εἶναι τὸ νὰ ἐπαινῇ τις ἑαυτὸν ἐνδιαθέτως.

— Κατὰ σχῆμα) Εὐσχημόνως.

3. Παρὰ μέλος) Παρὰ τὸ δέον.

5. Οὗτοι δὲ . . .) Τῶν φιλολόγων τις ἀναγινώσκει. »Οὗτοι δὲ ἐν τῷ μηδένα ἐπαινεῖν μηδὲ τιμᾷν τὸ φρονεῖν τιθέμενοι, τὸ σεμνὸν ὑπεροψίᾳ διώκουσιν.«

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

9 νους ἔτι πένεσθαι καὶ πεινῆν ἐοίκασι τῶν ἰδίων. Ὁ δ' ἐναντιοῦ τούτων αὖ πάλιν, μηδὲν ἐπικρίνων, ἀλλὰ κατὰ ῥῆμα καὶ συλλαβὴν ἐφιστάμενος καὶ κεκραγώς, ἐλαφρός τις ὢν καὶ ὀρνεώδης, πολλάκις μὲν οὐδὲ αὐτοῖς ἀρέσκει τοῖς ἀγωνιζομένοις, ἀεὶ δὲ λυπεῖ τοὺς ἀκροωμένους, ἀνασοβῶν καὶ συνεξανιστὰς παρὰ γνώμην, οἷον ἑλκομένους βίᾳ δι' αἰδῶ καὶ συνεπιχοῦντας· οὐδὲν δὲ ὠφεληθείς, διὰ τὸ ταραχώδη καὶ πολυπτόητον αὐτῶν περὶ τοὺς ἐπαίνους γεγονέναι τὴν ἀκρόασιν, ἀπέρχεται τῶν τριῶν ἐν φερόμενος· εἴρων γάρ, ἢ κόλαξ, ἢ περὶ λόγους ἀπειρόκαλος, ἔδο-
10 ξεν εἶναι. Δίκην μὲν οὖν δικάζοντα δεῖ μήτε πρὸς ἔχθραν τινά, μήτε πρὸς χάριν ἀκούειν, ἀλλ' ἀπὸ γνώμης πρὸς τὸ δίκαιον· ἐν δὲ ταῖς φιλολόγοις ἀκροάσεσιν οὔτε νόμος οὐδείς, οὔτε ὅρκος ἡμᾶς ἀ-
11 πείργει μὴ μετ' εὐνοίας ἀποδέχεσθαι τὸν διαλεγόμενον. Ἀλλὰ καὶ τὸν Ἑρμῆν ταῖς Χάρισιν οἱ παλαιοὶ συγκαθίδρυσαν, ὡς μάλιστα τοῦ λόγου τὸ κεχαρισμένον καὶ προσφιλὲς ἀπαιτοῦντος.
12 Οὐδὲ γὰρ οἷόν τε παντελῶς οὕτως ἐκβόλιμον εἶναι τὸν λέγοντα καὶ διημαρτημένον, ὥστε μήτε νοῦν τινα παρασχεῖν ἄξιον ἐπαίνου, μήτε ἀπομνημονεύσειν ἑτέρων, μήτε αὐτὴν τὴν ὑπόθεσιν τοῦ λόγου καὶ προαίρεσιν, ἀλλὰ μηδὲ λέξιν ἢ διάθεσιν τῶν λεγομένων·

Ὡς ἀν' ἐχινόποδας καὶ ἀνὰ τραχεῖαν ὄνωνιν
Φύονται μαλακῶν ἄνθεα λευκοίων.

13 Ὅπου γὰρ ἐμέτου τινὲς ἐγκώμια καὶ πυρετοῦ, καὶ νὴ Δία χύτρας ἐπιδεικνύμενοι πιθανότητος οὐκ ἀμοιροῦσιν· ἧπου λόγος ὑπ' ἀνδρὸς ἄλλως γέπως δοκοῦντος, ἢ καλουμένου, φιλοσόφου περαινόμενος, οὐκ ἂν ὅλως ἀναπνοήν τινα καὶ καιρὸν ἀκροαταῖς
14 εὐμενέσι καὶ φιλανθρώποις παράσχοι πρὸς ἔπαινον; Οἱ γοῦν ἐν ὥρᾳ πάντες, ὥς φησιν ὁ Πλάτων, ἀμηχέπη δάκνουσι τὸν ἐρωτικόν· καὶ λευκὸς μὲν θεῶν παῖδας ἀνακαλῶν, μέλανας δὲ ἀν-

---

9. Ὀρνεώδης) Ὄστις ἔχει εἶδος ὀρνίθων, ὅστις εἶναι ὅμοιος μὲ ὄρνεις.

12. Ἐχινόποδας) Εἶδός τι φυτοῦ ἀκανθώδους, ὡς καὶ ἡ ὄνωνις, ἥτις καὶ ὀνωνὶς καὶ ἀωνὶς λέγεται.

13. Ἐμέτου) Πολλοὶ τῶν σοφιστῶν ἐπιδείξεως ἕνεκα ἠγωνίζοντο τὰ μὲν μικρὰ μεγάλα, τὰ δὲ μεγάλα μικρὰ νὰ παραστήσωσι, νομίζοντες τοῦτο δεινότητα λόγου. Τινὲς δὲ καὶ ἐγκώμια ἔγραφαν πραγμάτων μικρῶν καὶ οὐδενὸς ἀξίων· « εἰδὲ βούλει ἐνσκέψασθαι τοὺς χρηστοὺς σοφιστάς. — Ἀλλ' ἔγωγε ἤδη τινὶ ἐνέτυχον βιβλίῳ ἀνδρὸς σοφοῦ, ἐν ᾧ ἐνῆσαν ἅλις ἔπαινον θαυμάσιον ἔχοντες πρὸς ὠφέλειαν. Πλάτ. Συμ. τῶν μὲν γὰρ τοὺς βομβυλίους, καὶ τοὺς ἄθας, καὶ τὰ τοιαῦτα βουληθέντων ἐπαινεῖν οὐδεὶς πώποτε λόγων ἠπόρησεν. Ἰσοκρ. Εὔλ. ἐγκωμ. Φαβορῖνος δέ τις φιλόσοφος φίλος τοῦ συγγραφέως, ὅστις ἐνασχολεῖτο ὡς ἐπὶ τὸ πολὺ εἰς συγγραφὴν ἐπαίνων τοιούτων πραγμάτων, καὶ πυρετοῦ ἐγκώμιον ἔγραψε. Περὶ δὲ Ἀγριπίννου τινὸς λέγει ὁ Στοβαῖος· «οὗτος δ' ἔφη, ὁ ἀνὴρ τοιοῦτος ὢν ὥστε τοῦ συμβαίνοντος ἀεὶ ἑαυτῷ δυσκόλου ἔπαινον γράφειν. Εἰ μὲν πυρέττοι πυρετοῦ· εἰ δὲ ἀδοξοῖ ἀδοξίας· εἰ δὲ φύγοι, φυγῆς.»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θρικούς, καὶ τὸν γρυπὸν βασιλικόν, καὶ τὸν σιμὸν ἐπίχαριν, τὸν δὲ ὠχρὸν ὑποκοριζόμενος μελίχρουν, ἀσπάζεται καὶ ἀγαπᾷ· δεινὸς γὰρ ἐστιν ὁ ἔρως, ὥσπερ ὁ κιττός, αὐτὸν ἐκ πάσης ἀναλῆσαι προφάσεως. Πολὺ δὴ μᾶλλον ὁ φιλήκοος καὶ φιλολό- 15
γος ἀεί τινος αἰτίας εὑρετικὸς ἔσται, δι' ἣν οὐκ ἀπὸ τρόπου τῶν λεγόντων ἕκαστον ἐπαινῶν φανεῖται. Καὶ γὰρ ὁ Πλάτων τὸν 16
Λυσίου λόγον οὔτε κατὰ τὴν εὕρεσιν ἐπαινῶν, καὶ τῆς ἀταξίας αἰτιώμενος, ὅμως αὐτοῦ τὴν ἀπαγγελίαν ἐπαινεῖ, καὶ ὅτι τῶν ὀνομάτων σορῶς καὶ στρογγύλως ἕκαστον ἀποτετόρνευται. Μέμ- 17
ψαιτο δ' ἄν τις Ἀρχιλόχου μὲν τὴν ὑπόθεσιν, Παρμενίδου δὲ τὴν στιχοποιΐαν, Φωκυλίδου δὲ τὴν εὐτέλειαν, Εὐριπίδου δὲ τὴν λαλιάν, Σοφοκλέους δὲ τὴν ἀνωμαλίαν· ὥσπερ ἀμέλει καὶ τῶν ῥητόρων ἐστὶ ὁ μὲν οὐκ ἔχων ἦθος, ὁ δὲ πρὸς πάθος ἀργός, ὁ δ' ἐνδεὴς χαρίτων· ἕκαστός γε μὴν ἐπαινεῖται κατὰ τὸ ἴδιον τῆς δυνάμεως, ᾧ κινεῖν καὶ ἄγειν πέφυκεν. Ὥστε καὶ τοῖς ἀκούου- 18

15. Ἀπὸ τρόπου) Ἢ ἄπο τρόπου, ἐνθα ἡ ἀπὸ ἀντὶ τοῦ ἄνευ τίθεται.

16. Ἀπαγγελ.) Τινὲς ἐπαγγελίαν ἡμαρτημένως ἔγραφαν. Σημαίνει δὲ ἀπαγγελίαν ἐνταῦθα τὴν ὑφὴν τοῦ λόγου ὡς πρὸς τὴν σύνθεσιν καὶ ἐκλογὴν τῶν λέξεων. Καὶ ὁ Ἑρμογένης λέγει περὶ τοῦ Λυσίου ἐρωτικοῦ οὕτω· . . . . . Καὶ τοῦτο ἐστι τὸ κάλλος ὅμως δοκεῖ τινὶ Πλάτων εἰπεῖν, ᾧ σκωμ ὀεῖν ἔχειν τὸν λόγον κεφαλήν τε καὶ ἄκρα καὶ μέσα πρέποντα ἀλλήλοις τε καὶ τῷ ὅλῳ σώματι, ἀλλὰ μὴ χύδην ἕκαστα βεβλῆσθαι, εἰ καὶ καλὰ εἴη καθ' ἑαυτά· οὐ γὰρ δύνασθαί ποτε οὕτω γενέσθαι καλὸν λόγον. Καὶ τοῦτο αἰτιᾶταί γε τοῦ Λυσίου ἐρωτικοῦ, ὡς ταῖς ἐννοίαις οὐκ ἐναρμόττως αὐτοῦ χρησαμένου, οὐδὲ τῇ τάξει. Οὐ μὲν τὰς ἐννοίας γε αὐτὰς αἰτιᾶται, οὐδὲ τὴν λέξιν, ἐπεὶ ταῖς γε ἐννοιαις καὶ αὐτὸς χρῆται ταῖς αὐταῖς· τὴν δ' ἂν λέξιν καὶ πάνυ ἐπαινεῖ, σφόδρα εὖ φάσκων τοῖς τε ὀνόματι καὶ ῥήμασι τὸν λόγον ἀποτετορνεῦσθαι, καὶ οὐκ ἀγεννῶς εἰρῆσθαι τὸ ἐπὶν τῷ ῥήτορι.

17. Ἀρχιλόχου) Λυρικὸς ποιητὴς ἐκ τῆς Πάρου, τοῦ ὁποίου τὰ ποιήματα ἦσαν πλήρη αἰσχρολογίας καὶ κακολογίας δηκτικῆς. Διὰ τοῦτο μέχρι τινὸς ἦσαν ἀπηγορευμένον εἰς τὴν Σπάρτην νὰ ἀναγινώσκωνται τὰ ποιήματα αὐτοῦ. Λέγεται δὲ, ὅτι Λυκάμβης τις, μὴ δυνάμενος νὰ ὑποφέρῃ τὰ σκώμματα αὐτοῦ ἀπηγχονίσθη μετὰ τῶν θυγατρῶν του.

— Παρμενίδου) Εἷς τῶν ἐπισημοτέρων ἀρχαίων φιλοσόφων ἐξ Ἐλέας, ὅστις ἔγραψεν ἐμμέτρως ὅλας τὰς φιλοσοφικὰς του ἰδέας. Ἦτο δὲ ἡ ποιήσις αὐτοῦ ὄχι τόσον ἀκριβής.

— Φωκυλίδου) Φιλόσοφος καὶ ποιητὴς ὡσαύτως καὶ οὗτος ἐκ Μελίτου, σύγχρονος τοῦ Σόλωνος, τοῦ ὁποίου σώζονται στίχοι τινὲς γνωμικοί.

— Εὐριπίδου) Τραγῳδοποιὸς Ἀθηναῖος γεννηθεὶς ἐν Σαλαμῖνι ὅπου εἶχε καταφύγει ὁ πατήρ του Κενήσαρχος μετὰ τῆς μητρός του Κλειτοῦς κατὰ τὴν εἰς Ἀττικὴν εἰσβολὴν τοῦ Ξέρξου ὅστις, ἂν καὶ κατώτερος τοῦ Σοφοκλέους εἰς τὴν τέχνην, εἶναι ὅμως ὁ τραγικώτατος τῶν τραγικῶν. Ἐκ τῶν 75 δὲ ἢ κατ' ἄλλους 92 τραγῳδιῶν αὐτοῦ διεσώθησαν δεκαεννέα καὶ τινα ἀποσπάσματα τῶν ἄλλων. Περὶ δὲ τῆς λαλιᾶς αὐτοῦ εἰμπορεῖ τις νὰ ἀναγνώσῃ τοὺς βατράχους τοῦ Ἀριστοφάνους, ἔνθα παρῳδοῦνται διάφορα μέρη τῶν τραγῳδιῶν ἢ αὐτοῦ ἢ ἄλλων ποιητῶν.

— Σοφοκλέους) Τραγῳδοποιὸς Ἀθηναῖος, ὁ τεχνικώτατος καὶ τελειότατος ἁπάντων, σύγχρονος μὲν, ἀλλὰ νεώτερος καὶ ἀντίζηλος τοῦ Αἰσχύλου. Ἔγραψε δὲ ὑπὲρ τὰς ἑκατὸν τραγῳδίας, ἐκ τῶν ὁποίων 7 ὁλόκληροι σώζονται καὶ τινα ἀποσπάσματα. Ἀνωμαλίαν δὲ κατηγορεῦσι τοῦ Σοφοκλέους ὄχι περὶ τὸν χαρακτῆρα τῶν προσώπων τοῦ δράματος, ἢ τὴν διάταξιν αὐτοῦ, ἀλλὰ περὶ τὴν φράσιν, ἥτις ἐνίοτε μὲν εἶναι σοβαρὰ, ὑψηλὴ καὶ ἀληθῶς ἁρμόζουσα εἰς τραγικὴν μοῦσαν, ἄλλοτε δὲ ταπεινὴ, ἐξομοιουμένη μᾶλλον μὲ τὸν πεζὸν λόγον.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σιν εὐπορίαν εἶναι καὶ ἀφθονίαν τοῦ φιλοφρονεῖσθαι τοὺς λέγον-
19 τας. Ἐνίοις γὰρ ἐξαρκεῖ, κἂν μὴ διὰ φωνῆς ἐπιμαρτηρῶμεν, ὄμ-
ματος πρᾳότητα, καὶ γαλήνην προσώπου καὶ διάθεσιν εὐμενῆ
20 καὶ ἄλυπον ἐμπαρασχεῖν. Ἐκεῖνα μὲν γὰρ ἤδη καὶ πρὸς τοὺς
ὅλως ἀποτυγχάνοντας, ὥσπερ ἐγκύκλια καὶ κοινὰ πάσης ἀκροά-
σεώς ἐστι, καθέδρα τέ τις ἄτυφος καὶ ἀκλινὴς ἐν ὀρθῷ σχήματι,
καὶ πρόσβλεψις αὐτῷ τῷ λέγοντι, καὶ τάξις ἐναργοῦς προσοχῆς,
καὶ προσώπου κατάστασις καθαρὰ καὶ ἀνέμφατος, οὐχ ὕβρεως
οὐδὲ δυσκολίας μόνον, ἀλλὰ καὶ φροντίδων ἄλλων καὶ ἀσχολιῶν.
21 Ὡς ἐν ἔργῳ δὲ παντί, τὸ μὲν καλὸν ἐκ πολλῶν οἷον ἀριθμῶν εἰς
ἕνα καιρὸν ἡκόντων, ὑπὸ συμμετρίας τινὸς καὶ ἁρμονίας ἐπι-
τελεῖται· τὸ δ' αἰσχρόν, ἐξ ἑνὸς τοῦ τυχόντος ἐλλείποντος, ἢ προ-
σόντος ἀτόπως, εὐθὺς ἑτοίμην ἔχει τὴν γένεσιν· ὥσπερ ἐπ' αὐτῆς
τῆς ἀκροάσεως, οὐ μόνον βαρύτης ἐπισκυνίου, καὶ ἀηδία προσώ-
που, καὶ βλέμμα ῥεμβῶδες, καὶ περίκλασις σώματος, καὶ μηρῶν
ἐπάλλαξις ἀπρεπής, ἀλλὰ καὶ νεῦμα, καὶ ψιθυρισμὸς πρὸς ἕ-
τερον, καὶ μειδίαμα, χάσμαι τε ὑπνώδεις, καὶ κατήφειαι, καὶ
πᾶν, εἴ τι τούτοις ἔοικεν, ὑπεύθυνόν ἐστι, καὶ δεῖται πολλῆς
εὐλαβείας.

ιδ'. Οἱ δὲ τοῦ μὲν λέγοντος οἴονται τι ἔργον εἶναι, τοῦ δὲ ἀ-
κούοντος οὐδέν· ἀλλ' ἐκεῖνον μὲν ἀξιοῦσιν ἥκειν πεφροντικότα
καὶ παρεσκευασμένον, αὐτοὶ δὲ ἄσκεπτοι καὶ ἀφρόντιδες τῶν
καθηκόντων ἐμβαλόντες, καθέζονται καθάπερ ἀτεχνῶς ἐπὶ δεῖ-
2 πνον ἥκοντες, εὖ παθεῖν πονουμένων ἑτέρων. Καί τοι καὶ συνδεῖ-
3 πνου τι χαρίεντος ἔργον ἐστί, πολὺ δὲ μᾶλλον ἀκροατοῦ. Κοι-
νωνὸς γάρ ἐστι τοῦ λόγου καὶ συνεργὸς τοῦ λέγοντος· καὶ οὐ τὰ
μὲν ἐκείνου πλημμελήματα πικρῶς ἐξετάζειν ὀφείλει, κατὰ ῥῆμα
καὶ πρᾶγμα προάγων τὴν εὐθύνην· αὐτὸς δὲ ἀνεύθυνος ἀσχημονεῖν
4 καὶ πολλὰ σολοικίζειν περὶ τὴν ἀκρόασιν. Ἀλλ' ὥσπερ ἐν τῷ
σφαιρίζειν τῷ βαλόντι δεῖ συγκινούμενον εὐρύθμως φέρεσθαι
τὸν δεχόμενον· οὕτως ἐπὶ τῶν λόγων ἐστί τις εὐρυθμία καὶ περὶ

---

20. Ἐγκύκλια) Κατὰ τὸν Ἡσύχιον «Ἐγκυκλα, τὰ ἐγκυλούμενα τῷ βίῳ, καὶ συνήθη. Ταὐτοδύναμον δὲ μὲ τοῦτο ἐν μᾶλλον εὔχρηστον εἶναι καὶ τὸ ἐγκύκλιον.

21. Ἐπάλλαξις) Ἄκοσμον ἐθεώρουν οἱ ἀρχαῖοι τὴν τοιαύτην καθέδραν. «Καὶ αἱ τίτθαι τοῖς παιδαρίοις ταῦτα λέγουσι, καὶ οἱ γραμματισταί, καὶ οἱ παιδαγωγοί· ὑπερεμπίπλασθαί σε ἂν χρὴ, καὶ βαδίζειν ἐν ταῖς ὁδοῖς ὅτι χρὴ κοσμίως, καὶ τοῖς πρεσβυτέροις ὑπανίστασθαι, καὶ τοὺς γονέας φιλεῖν, καὶ μὴ θορυβεῖν, μηδὲ κυβεύειν, μηδ' ἴσχειν, εἰ βούλει, τὼ πόδε ἐπάλλάξ.» Ἀριστείδης.

ιδ'. 3. Σολοικίζειν) «Σολοικισμὸς ἔστι λόγος ἀκαταλλήλως συντεταγμένος· ὡς τὸ Ἐγὼ περιπατῶν ὁ τοῖχος ἔπεσεν. Ἀπὸ ταύτης δὲ τῆς σημασίας μεταφέρεται ἡ λέξις ἐπὶ τὰς κατὰ τὸν βίον ἡμαρτημένας πράξεις τοῦ ἀνθρώπου, ὡς παρὰ Γαληνῷ. Ἄμεινον γὰρ ἔστι τῇ φωνῇ μᾶλλον ἢ τῷ βίῳ σολοικίζειν.»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸν λέγοντα καὶ περὶ τὸν ἀκροώμενον, ἂν ἑκάτερος τὸ προσῆκον αὐτῷ φυλάττῃ.

ιέ. Δεῖ δὲ μηδὲ ταῖς φωναῖς τῶν ἐπαίνων, ὡς ἔτυχε, χρῆσθαι. Καὶ γὰρ Ἐπίκουρος ἐπὶ τοῖς τῶν φίλων ἐπιστολίοις, Κροτο- 2
θορύβους γίγνεσθαι παρ' αὐτῶν λέγων, ἀηδής ἐστιν. Οἱ δὲ τὰς 3
ξένας φωνὰς τοῖς ἀκροατηρίοις νῦν ἐπεισάγοντες, οὗτοι καὶ Θέῳς. καὶ Θεοφρήτους, καὶ Ἀπροσίτους ἐπιλέγοντες, ὡς οὐκ ἔτι τοῦ Καλῶς καὶ τοῦ Σοφῶς καὶ τοῦ Ἀληθῶς ἐξαρκοῦντος, οἷς οἱ περὶ Πλάτωνα καὶ Σωκράτην καὶ Ὑπερίδην ἐχρῶντο σημείοις τῶν ἐπαίνων, ὑπερασχημονοῦσι, καὶ διαβάλλουσι τοὺς λέγοντας, ὡς ὑπερηφάνων τινῶν καὶ περιττῶν δεομένους ἐπαίνων. Σφόδρα 4
δὲ ἀηδεῖς εἰσι καὶ οἱ μεθ' ὅρκου τοῖς λέγουσιν, ὥσπερ ἐν δικαστηρίῳ, τὰς μαρτυρίας ἀποδιδόντες. Οὐχ ἧττον δὲ τούτων, οἱ 5
περὶ τὰς ποιότητας ἀστοχοῦντες, ὅταν φιλοσόφῳ μὲν ἐπιφωνῶσι Δριμέως, γέροντι δὲ Εὐφυῶς ἢ Ἀνθηρῶς, τὰς τῶν παιζόντων καὶ πανηγυριζόντων ἐν ταῖς σχολαστικαῖς μελέταις φωνὰς ἐπὶ τοὺς φιλοσόφους μετακομίζοντες, καὶ λόγῳ σωφρονοῦντι προσφέροντες ἔπαινον ἑταιρικόν, ὥσπερ ἀθλητῇ κρίνων ἢ ῥόδων στέφανον, οὐ δάφνης οὐδὲ κοτινου περιτιθέντες. Εὐριπίδης μὲν οὖν 6
ὁ ποιητής, ὡς ὑπολέγοντος αὐτοῦ τοῖς χορευταῖς ᾠδήν τινα πεποιημένην ἐφ' ἁρμονίας, εἷς ἐγέλασεν, »Εἰ μή τις, ἔφη, ἦς ἀναίσθητος καὶ ἀπαθής, οὐκ ἂν ἐγέλας ἐμοῦ μιξολυδιστὶ ᾄδοντος«. Ἀνὴρ δ' ἂν εἶμαι φιλόσοφος καὶ πολιτικὸς ἀκροατοῦ διακεχυ- 7
μένου τρυφῆν ἐκκύψειεν εἰπών, »Σύ μοι δοκεῖς ἀνάπτος εἶναι καὶ ἀνάγωγος· οὐ γὰρ ἂν ἐμοῦ διδάσκοντος, ἢ νουθετοῦντος, ἢ διαλεγομένου περὶ Θεῶν, ἢ πολιτείας, ἢ ἀρχῆς, ἐτερετίζες καὶ προσωρχοῦ τοῖς λόγοις.« Ὅρα γὰρ ἀληθῶς, οἷόν ἐστι, φιλοσόφου 8
λέγοντος ἀπορεῖν τοὺς ἔξωθεν, ὑπὸ τῶν ἔνδον βοώντων καὶ ἀλαλαζόντων, πότερον αὐλοῦντος, ἢ κιθαρίζοντος, ἢ ὀρχουμένου τινὸς ὁ ἔπαινός ἐστι.

ιϛ'. Καὶ μὴν τῶν γε νουθεσιῶν καὶ τῶν ἐπιπλήξεων οὔτε ἀναλγήτως, οὔτε ἀνάνδρως ἀκουστέον. Οἵ τε γὰρ εὐκόλως καὶ 2
ὀλιγώρως τὸ κακῶς ἀκουειν ὑπὸ τῶν φιλοσόφων φέροντες, ὥστε γελᾷν ἐλεγχόμενοι, καὶ τοὺς ἐλέγχοντας ἐπαινεῖν, ὥσπερ οἱ πα-

---

ιέ. 2. Κροτοθορύβους) Ἐπικουρειος ἢ λέξις ἀντὶ τοῦ κρότους καὶ θορύβους.

6. Μιξολυδιστί) Ἡ μιξολυδιστὶ ἁρμονία ἤρμοσεν εἰς τὰς τραγῳδίας μέλλων. »Καὶ μιξολύδιος δὲ παθητική τις ἐστί, τραγῳδίας ἁρμόττουσα. Ἀριστόξενος δὲ φησι, Σαπφὼ πρώτην εὑρεθῆναι τὴν μιξολυδιστί, παρ' ἧς τοὺς τραγικοὺς μαθεῖν.« Πλούτ. περὶ Μουσ. Ὁ δὲ Πλάτων συναριθμεῖ αὐτὴν εἰς τὰς Θρηνῳδείας. »Τίνες οὖν Θρηνῳδεῖς ἁρμονίαι λέγεμου· σὺ γὰρ μουσικός. Μιξολυδιστί, ἔφη, καὶ συντονολυδιστί, καὶ τοιαῦταί τινες.«

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ράσιτοι τοὺς τρέφοντας, ὅταν ὑπ' αὐτῶν λοιδορῶνται, παντάπασιν ἰταμοὶ καὶ θρασεῖς ὄντες, οὐ καλὴν, οὐδ' ἀληθῆ διδάσκειν
3 ἀπόδειξιν ἀνδρείας, τὴν ἀναισχυντίαν. Σκῶμμα μὲν γὰρ ἀνύβριστον ἐν παιδιᾷ τινι μετ' εὐτραπελίας ἀφειμένον ἐνεγκεῖν ἀλύπως καὶ ἱλαρῶς, οὐκ ἀγεννὲς οὐδ' ἀπαίδευτον, ἀλλ' ἐλευθέριον πάνυ καὶ Λακωνικόν ἐστιν· ἐπαρῆς δὲ καὶ νουθεσίας πρὸς ἐπανόρθωσιν ἤθους ὥσπερ φαρμάκῳ δάκνοντι λόγῳ χρωμένης ἐλέγχοντι, μὴ συνεσταλμένον ἀκούειν, μηδ' ἰδρῶτος καὶ ἰλίγγου μεστὸν, αἰσχύνῃ φλεγόμενον τὴν ψυχὴν, ἀλλ' ἄτρεπτον καὶ σεσηρότα καὶ κατειρωνευόμενον, ἀνελευθέρου τινὸς δεινῶς καὶ ἀπαθοῦς πρὸς τὸ αἰδεῖσθαι νέου διὰ συνήθειαν ἁμαρτημάτων καὶ συνέχειαν, ὥσπερ ἐν σκληρᾷ σαρκὶ καὶ τυλώδει τῇ ψυχῇ
4 μώλωπα μὴ λαμβάνοντος. Τούτων δὲ τοιούτων ὄντων, οἱ τὴν ἐναντίαν διάθεσιν ἔχοντες νέοι, κἂν ἅπαξ κακῶς ποτε ἀκούσωσι, φεύγοντες ἀνεπιστρεπτὶ καὶ δραπετεύοντες ἐκ φιλοσοφίας, καλὴν ἀρχὴν πρὸς τὸ σωθῆναι, τὸ αἰδεῖσθαι παρὰ τῆς φύσεως ἔχοντες, ἀπολλύουσιν διὰ τρυφὴν καὶ μαλακίαν, οὐκ ἐγκαρτεροῦντες τοῖς ἐλέγχοις, οὐδὲ τὰς ἐπανορθώσεις δεχόμενοι γενικῶς, ἀλλ' ἐπὶ τὰς προσηνεῖς καὶ ἁπαλὰς ἀποστρέφοντες ὁμιλίας τὰ ὦτα, κολάκων τινῶν ἢ σοφιστῶν ἀνωφελεῖς καὶ ἀνωφίτους, ἡδείας δὲ
5 φωνὰς καταδέοντων. Ὥσπερ οὖν ὁ μετὰ τὴν τομὴν φεύγων τὸν ἰατρὸν, καὶ τὸν ἐπίδεσμον μὴ προσιέμενος, τὸ μὲν ἀλγεινὸν ἀνεδέξατο, ὁ δ' ὠφέλιμον οὐχ ὑπέμεινε τῆς θεραπείας· οὕτως ὁ τῷ χαράξαντι καὶ τρώσαντι λόγῳ τὴν ἀθελτηρίαν ἀπουλῶσαι καὶ καταστῆσαι μὴ παρασχὼν, ἀπῆλθε δηχθεὶς καὶ ἀλγήσας ἐκ
6 φιλοσοφίας, ὠφεληθεὶς δὲ μηδέν. Οὐ γὰρ μόνον, ὡς Εὐριπίδης φησί, τὸ Τηλέφου τραῦμα

Πρωτοῖσι λόγχης θέλγεται ῥινήμασιν,

ἀλλὰ καὶ τὸν ἐκ φιλοσοφίας ἐμφυόμενον εὐφυέσι νέοις δηγμὸν
7 αὐτὸς ὁ τρώσας λόγος ἰᾶται. Διὸ δεῖ πάσχειν μέν τι καὶ δάκνεσθαι, μὴ συντρίβεσθαι δὲ, μηδὲ ἀδυμεῖν τὸν ἐλεγχόμενον, ἀλλ' ὥσπερ ἐν τελετῇ κατηργμένης αὐτοῦ φιλοσοφίας, τοὺς πρώ-

---

ιε'. 3 Λακωνικὸν) »Εἰς δὲ τὰ συσσίτια καὶ παῖδες ἐφοίτων ὥσπερ εἰς διδασκαλεῖα σωφροσύνης ἀγομένοι καὶ λόγων ἀκροῶντο πολιτικῶν, καὶ παιδευτὰς ἐλευθερίους ἑώων, αὐτοί τε παίζειν εἰθίζοντο καὶ σκώπτειν ἄνευ βωμολοχίας, καὶ σκωπτόμενοι μὴ δυσχεραίνειν· σφόδρα γὰρ ἔδοκει καὶ τοῦτο Λακωνικὸν εἶναι, σκώμματος ἀνέχεσθαι· μηδὲ φέροντα δὲ ἐξῆν παρακιτεῖσθαι, καὶ ὁ σκώπτων ἐπέπαυτο. Πλούταρ. ἐν Λυκούρ. — Ἐπαρῆς) Ἐπτηξέως.

5. Ἐπίδεσμον) Ἄλλως ἐπιδεσμὶς, ἢ ἐπίδεσμα.

6. Τηλέφου) Ὁ Τήλεφος, υἱὸς τοῦ Ἡρακλέους, βασιλεύων εἰς τὴν Μυσίαν μετὰ τὸν θάνατον τοῦ Τεύθρα, ἐτρώθη ὑπὸ τοῦ Ἀχιλλέως εἰς τινα κατὰ τῶν Ἑλλήνων μάχην. »Ὁ Τήλεφος οἰκείου μὴ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τους καθαρμοὺς καὶ θορύβους ἀνασχόμενον, ἐλπίζειν τι γλυκὺ καὶ λαμπρὸν ἐκ τῆς παρούσης ἀδημονίας καὶ ταραχῆς. Καὶ 8
γὰρ ἂν ἀδίκως ἡ ἐπιτίμησις γίνεσθαι δοκῇ, καλὸν ἀνασχέσθαι καὶ διακαρτερῆσαι λέγοντος· παυσαμένῳ δὲ αὐτὸν ἐντυχεῖν ἀ-ἀπολογουμένου, καὶ δεόμενον τὴν παῤῥησίαν ἐκείνην καὶ τὸν τόνον, ᾧ νῦν κέχρηται πρὸς αὐτόν, εἴ τι τῶν ἀληθῶς ἁμαρτανομένων φυλάττειν.

ζ'. Ἔτι τοίνυν ὥσπερ ἐν γράμμασι καὶ περὶ λύραν καὶ παλαίστραν αἱ πρὸς τὰς μαθήσεις ἀρχαὶ πολὺν ἔχουσι θόρυβον καὶ πόνον καὶ ἀσάφειαν, εἶτα προϊόντι κατὰ μικρὸν ὥσπερ πρὸς ἀνθρώπους συνήθεια πολλὴ καὶ γνῶσις ἐγγενομένη, πάντα φίλα καὶ χειρώθη καὶ ῥᾴδια, λέγειν τε καὶ πράττειν παρέσχεν· οὕτω δὴ καὶ φιλοσοφίας ἐχούσης τι καὶ γλίσχρον ἀμέλει καὶ ἀσύνηθες ἐν τοῖς πρώτοις ὀνόμασι καὶ πράγμασιν, οὐ δεῖ φοβηθέντας τὰς ἀρχὰς ψοφοδεῶς καὶ ἀτόλμως ἐγκαταλιπεῖν· ἀλλὰ πειρώμενον ἑκάστου καὶ προσλιπαροῦντα, καὶ γλιχόμενον τοῦ πρόσω, τὴν πᾶν τὸ καλὸν ἡδὺ ποιοῦσαν ἀναμένειν συνήθειαν. Ἥξει γὰρ οὐ διὰ μακροῦ, πολὺ φῶς ἐπιφέρουσα τῇ μαθήσει, 2
καὶ δεινοὺς ἔρωτας ἐνδιδοῦσα πρὸς τὴν ἀρετήν· ὧν ἄνευ, πάνυ τλήμονος ἀνδρός ἐστιν ἢ δειλοῦ, τὸν ἄλλον ὑπομένειν βίον, ἐκπεσόντα δι' ἀνανδρίαν φιλοσοφίας. Ἴσως μὲν οὖν ἔχει τι καὶ τὰ 3
πράγματα τοῖς ἀπείροις καὶ νέοις ἐν ἀρχῇ δυσκατανόητον· οὐ μὴν ἀλλὰ τῇ γε πλείστῃ περιπίπτουσιν ἀσαφείᾳ καὶ ἀγνοίᾳ δι' αὐτούς, ἀπ' ἐναντίων φύσεων ταὐτὸν ἁμαρτάνοντες. Οἱ μὲν γὰρ 4
αἰσχύνῃ τινὶ καὶ φειδοῖ τοῦ λέγοντος ἀκούοντες ἀνέρεσθαι καὶ βεβαιώσασθαι τὸν λόγον, ὡς ἔχοντες ἐν νῷ συνεπινεύουσιν· οἱ δ' ὑπὸ φιλοτιμίας ἀώρου καὶ κενῆς πρὸς ἑτέρους ἁμίλλης, ὀξύτητα καὶ δύναμιν εὐμαθείας ἐπιδεικνύμενοι, πρὶν ἢ λαβεῖν, ἔχειν ὁμολογοῦντες, οὐ λαμβάνουσιν. Εἶτα συμβαίνει τοῖς μὲν 5
αἰδημοσιν καὶ σιωπηλοῖς ἐκείνοις, ὅταν ἀπέλθωσι, λυπεῖν αὐτοὺς καὶ ἀπορεῖσθαι, καὶ τέλος αὖθις ὑπ' ἀνάγκης ἐλαυνομένους, σὺν αἰσχύνῃ μείζονι τοῖς εἰπεῖν ἐνοχλεῖν, ἀναπυνθανομένους, καὶ μεταδόντας· τοῖς δὲ φιλοτίμοις καὶ θρασέσιν ἀεὶ περιστέλλειν καὶ ἀποκρύπτειν συνοικοῦσαν τὴν ἀμαθίαν.

ιή. Πᾶσαν οὖν ἀπωσάμενοι τὴν τοσαύτην βλακείαν καὶ ἀλαζονείαν, πρὸς τὸ μαθεῖν καὶ περιλαβεῖν τῇ διανοίᾳ τὸ χρη-

---

τυγχάνων ἰατροῦ, τῷ πολεμικῷ δόρατι τὸ ἕλκος ὑπέθηκε.« Πλούτ.

ιζ'. 5. Ἀμαθίαν) Κατὰ τὸ τοῦ Ἡρα-κλείτου. »Κρύπτειν ἀμαθίαν κρεῖσσον ἢ ἐς τὸ μέσον φέρειν.«

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σίμως λεγόμενον ὄντες, ὑπομένωμεν τοὺς τῶν εὐφυῶν δοκούντων γέλωτας· ὥσπερ ὁ Κλεάνθης καὶ ὁ Ξενοκράτης, βραδύτεροι δοκοῦντες εἶναι τῶν συσχολαστῶν, οὐκ ἀπεδίδρασκον ἐκ τοῦ μανθάνειν, οὐδὲ ἀπέκαμνον, ἀλλὰ φθάνοντες εἰς ἑαυτοὺς ἔπαιζον, ἀγείοις τε βραχυστόμοις, καὶ πινακίσι χαλκαῖς ἀπεικάζοντες, ὡς μέλις μὲν παραδεχόμενοι τοὺς λόγους, ἀσφαλῶς δὲ καὶ βε-
2 βαίως τηροῦντες. Οὐ γὰρ μόνον, ὥς φησι Φωκυλίδης,

Πόλλ' ἀπατηθῆναι δεῖ ἡμένον ἔμμεναι ἐσθλόν,

ἀλλὰ καὶ γελασθῆναι δεῖ πολλά, καὶ ἀδοξῆσαι, καὶ σκώμματα καὶ βωμολοχίας ἀναδεξάμενον, ὥσασθαι παντὶ τῷ θυρῷ καὶ
3 καταθλῆσαι τὴν ἀμαθίαν. Οὐ μὴν οὐδὲ τῆς πρὸς τοὐναντίον ἁμαρτίας ἀμελητέον, ἣν ἁμαρτάνουσιν οἱ μὲν ὑπὸ νωθείας, ἀηδεῖς καὶ κοπώδεις ὄντες· οὐ γὰρ ἐθέλουσι γενόμενοι καθ' αὑτοὺς πράγματα ἔχειν, ἀλλὰ παρέχουσι τῷ λέγοντι, πολλάκις ἐκπυνθανόμενοι περὶ τῶν αὐτῶν· ὥσπερ ἀπτῆνες νεοσσοί, κεχηνότες ἀεὶ πρὸς ἀλλότριον στόμα, καὶ πάν ἕτοιμον ἤδη καὶ διαπεπονη-
4 μένον ὑπ' ἄλλων ἐκλαβάνειν ἐθέλοντες. Ἕτεροι δὲ, προσοχῆς καὶ δριμύτητος ἐν οὐ δέοντι θηρώμενοι δόξαν, ἀποκναίουσι λαλιᾷ καὶ περιεργίᾳ τοὺς λέγοντας, ἀεί τι προσδιαποροῦντες τῶν οὐκ ἀναγκαίων, καὶ ζητοῦντες ἀποδείξεις τῶν οὐ δεομένων· οὕτως

— ὁδὸς βραχεῖα γίνεται μακρὰ,

ὡς φησι Σοφοκλῆς, οὐκ αὐτοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις.
5 Ἀντιλαμβανόμενοι γὰρ ἑκάστοτε κεναῖς καὶ περιττοῖς ἐρωτήσεσι τοῦ διδάσκοντος, ὥσπερ ἐν συνοδίᾳ τὸ ἐνδελεχὲς ἐμποδίζουσι τῆς
6 μαθήσεως, ἐπιστάσεις καὶ διατριβὰς λαμβανούσης. Οὗτοι μὲν οὖν, κατὰ τὸν Ἱερώνυμον, ὥσπερ οἱ δειλοὶ καὶ γλίσχροι σκύλακες τὰ δέρματα δάκνοντες οἴκοι, καὶ τὰ τίλματα τίλλοντες,
7 τῶν θηρίων αὐτῶν οὐχ ἅπτονται. Τοὺς δ' ἀργοὺς ἐκείνους πακαραλῶμεν, ὅταν τὰ κεφάλαια τῇ νοήσει περιλάβωσιν, αὐτοὺς δὲ

ιή. Ὄντες) Πρός τι ἢ πρός τινι εἶναι σημαίνει σπουδάζειν, ἐνασχολεῖσθαι εἴς τι.

— Εὐφυῶν) Σκωπτικῶν· διότι εὐφυεῖς ὀνόμαζον οἱ Ἀθηναῖοι τοὺς εἰς τὸ νὰ σκώπτωσιν ἐπιδέξιους. »Οἱ δὲ εὐφυεῖς χλευάζοντες, οὐχ ὑπὸ συνάγχης ἔφραζον, ἀλλ' ὑπ' ὀργυράγχης εἰλῆφθαι νύκτωρ τὸν δημαγωγὸν (τὸν Δημοσθένη).«

— Κλεάνθης) Καὶ σκωπτόμενος δὲ ὑπὸ τῶν συμμαθητῶν ἠνέσχετο, καὶ ὄνος ἀκούων προσεδέχετο λέγων αὐτὸς μόνος δύνασθαι βαστάζειν τὸ Ζήνωνος φορτίον. Διογ. Λαερτ. 211. 170.

— Ξενοκράτης) Ἦν δὲ τὴν φύσιν νωθρὸς ὥστε φασὶ λέγειν τὸν Πλάτωνα συγκρίνοντα αὐτὸν Ἀριστοτέλει, Τῷ μὲν μύωπος δεῖ, τῷ δὲ χαλινοῦ· καὶ, ἐφ' οἷον ἵππον οἷον ὄνον ἀλείφω. Διογ. Λαερτ. IV. 6.

3. Γενόμενοι καθ' αὑτοὺς) Τουτέστιν ὅτε ἐκ τῆς σχολῆς ἐλθόντες οἴκαδε εἶναι μόνοι.

— Νεοσσοί) Ὡς δ' ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσι μάσταν, ἐπεὶ κελάδησε, κακῶς δ' ἄρα οἱ πέλει αὐτῇ. Ἰλιάδ. 1. 323.

4. Ὡς φησι) Ἐν Ἀντιγόνῃ. ἐ. 237.

6. Ἱερώνυμον) Ἔνδοξος περιπατητικὸς φιλόσοφος ἐκ τῆς Ῥόδου, συγγράφας πρὸς τοῖς ἄλλοις καὶ περὶ ποιητῶν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτῶν τὰ λοιπὰ συντιθέναι, καὶ τῇ μνήμῃ χειραγωγεῖν τὴν εὕρεσιν, καὶ τὸν ἀλλότριον λόγον οἷον ἀρχὴν καὶ σπέρμα λαβόντας, ἐκτρέφειν καὶ αὔξειν. Οὐ γὰρ ὡς ἀγγεῖον, ὁ νοῦς ἀποπλη- 8
ρώσεως, ἀλλ' ὑπεκκρίματος μόνον, ὥσπερ ὕλης, δεῖται, ὁρμὴν ἐμποιοῦντος εὑρετικὴν, καὶ ὄρεξιν ἐπὶ τὴν ἀλήθειαν. Ὥσπερ 9
οὖν εἴ τις ἐκ γειτόνων πυρὸς δεόμενος, εἶτα πολὺ καὶ λαμπρὸν εὑρὼν αὐτοῦ καταμένοι διὰ τέλους θαλπόμενος· οὕτως εἴ τις ἥκων λόγου μεταλαβεῖν πρὸς ἄλλου, οὐκ οἴεται δεῖν φως οἰκεῖον ἐξάπτειν καὶ νοῦν ἴδιον, ἀλλὰ χαίρων τῇ ἀκροάσει, κάθηται θελγόμενος, οἷον ἔρευθος ἕλκει καὶ γάνωμα, τὴν δόξαν ἀπὸ τῶν λόγων, τὸν δὲ ἐντὸς εὐρῶτα τῆς ψυχῆς καὶ ζόφον οὐκ ἐκτεθέρμακεν, οὐδὲ ἐξέωκε διὰ φιλοσοφίας. Εἰ δεῖ τινος οὖν πρὸς ἀκρόα- 10
σιν ἑτέρου παραγγέλματος, δεῖ καὶ τοῦ νῦν εἰρημένου μνημονεύοντας, ἀσκεῖν ἅμα τῇ μαθήσει τὴν εὕρεσιν· ἵνα μὴ σοφιστικὴν ἕξιν μηδὲ ἱστορικὴν, ἀλλ' ἐνδιάθετον καὶ φιλόσοφον λαμβάνωμεν, ἀρχὴν τοῦ καλῶς βιῶναι τὸ καλῶς ἀκοῦσαι νομίζοντες.

Γ΄. ΠΩΣ ΑΝ ΤΙΣ ΔΙΑΚΡΙΝΕΙΕ ΤΟΝ ΚΟΛΑΚΑ ΤΟΥ ΦΙΛΟΥ.

ά. Τῷ σφόδρα φιλεῖν ἑαυτὸν, ὦ Ἀντίοχε Φιλόπαππε, φάσκοντι συγγνώμην μὲν ἅπαντας ὁ Πλάτων διδόναι φησὶ κακίαν δὲ σὺν πολλαῖς ἄλλαις ἐγγίνεσθαι μεγίστην, ὑφ' ἧς οὐκ ἔστιν αὐτοῦ κριτὴν δίκαιον οὐδὲ ἀθέκαστον εἶναι· τυφλοῦται γὰρ τὸ φιλοῦν περὶ τὸ φιλούμενον, ἂν μή τις μαθὼν ἐθισθῇ τὰ καλὰ τιμᾶν καὶ διώκειν μᾶλλον ἢ τὰ συγγενῆ καὶ οἰκεῖα. Τοῦτο τῷ 2
κόλακι πολλὴν μεταξὺ τῆς φιλίας εὐρυχωρίαν διδωσιν, ὁρμητήριον ἐφ' ἡμᾶς εὐφυὲς ἔχοντι τὴν φιλαυτίαν, δι' ἣν αὐτὸς αὑτοῦ

ά. Τῷ σφόδρα φιλεῖν ἑαυτὸν) Τὴν γνώμην ταύτην, ὡς καὶ ἄλλας πολλὰς ἐξ Εὐριπίδου παρέλαβεν ὁ Πλάτων. Λέγει δὲ ἐκεῖνος ἐν τοῖς λειψάνοις τῆς τραγῳδίας, ὁ Κεστρόφντης ταῦτα· «Ἐκεῖνο δὴ πέπονθ' ὅπερ πάντες βροτοί, φιλῶν μάλιστ' ἐμαυτὸν· οὐκ αἰσχύνομαι.»

— Ὦ Ἀντίοχε Φιλόπαππε) Ὁ Φιλόπαππος οὗτος εἶναι ὁ αὐτὸς τῷ ἐν Συμποσιακοῖς 1, 10 ὑπὸ τοῦ ἡμετέρου συγγραφέως ἀναφερομένου. Λέγεται δὲ ἐκεῖ βασιλεὺς, ὡς καταχόμενος ἐκ τοῦ Ἀντιόχου τοῦ τῆς Κομμαγκνῆς βασιλέως. Ὁ δὲ ὁμώνυμος τοῦ ἡμετέρου Ἀντιόχου Ἀντίοχος οὗτος, ἀφαιρεθεὶς τὸν θρόνον ὑπὸ Βεσπασιανοῦ, μετέβη εἰς Ῥώμην μετὰ τῶν δύο υἱῶν τοῦ Καλλινίκου καὶ Ἐπιφανοῦς. Τούτου δὲ τοῦ Ἐπιφανοῦς εἶνε υἱὸς ὁ ἡμέτερος Ἀντίοχος, τοῦ ὁποίου καὶ μνημεῖον δείκνυται ἐν Ἀθήναις κατὰ τὸν ἀπέναντι τῆς ἀκροπόλεως λόφον, καλούμενον παρὰ τοῖς ἀρχαίοις Μουσεῖον. Ἴδε Παυσ. 1, 25.

2. Τοῦτο τῷ κόλακι πολλὴν μεταξὺ τῆς φιλίας εὐρυχωρίαν διδωσιν, ὁρμητήριον ἐφ' ἡμᾶς εὐφυὲς ἔχοντι τὴν φιλαυτίαν) Ἰδίᾳ τῷ Πλουτάρχῳ ἡ ἔκφρασις αὕτη· ὁ δὲ νοῦς τοῦτο (τυφλοῦται γάρ. . .) δίδωσιν εἰς τὸν κόλακα πολλὴν τὴν εὐκολίαν ἵνα τοῖς φίλοις ἡμῶν συγκαταλέγηται, ἅτε δυνάμενον νὰ ἐφορμᾷ ἐφ' ἡμᾶς ἀπὸ τῆς φιλαυτίας ὡς ἀφ' ὁρμητηρίου. Δηλοῖ δὲ ἡ λέξις, ὁρμητήριον, θέσιν ὀχυρωμένην, ἀφ' ἧς οἱ πολεμοῦντες ἐπιπίπτουσι τοῖς ἐχθροῖς, καὶ εἰς ἣν ἀποχωροῦσιν ἐν κινδυνεύοντες.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κόλαξ ἕκαστος ὢν πρῶτος καὶ μέγιστος, οὐ χαλεπῶς προσίε-
ται τὸν ἔξωθεν, ὃν οἴεται καὶ βούλεται μάρτυν ἅμα αὐτῷ κα
3 βεβαιωτὴν προσγινόμενον. Ὁ γὰρ λοιδορούμενος φιλοκόλαξ
σφόδρα φίλαυτός ἐστι, καὶ δι' εὔνοιαν ἑαυτῷ πάντα μὲν ὑπάρ-
χειν βουλόμενος πάντα δὲ οἰόμενος· ὧν ἡ μὲν βούλησις οὐκ ἄτε-
4 πος, ἡ δὲ οἴησις ἐπισφαλὴς καὶ δεομένη πολλῆς εὐλαβείας. Εἰ
δὲ θεῖον ἡ ἀλήθεια, καὶ πάντων μὲν ἀγαθῶν θεοῖς, πάντων δὲ
ἀνθρώποις ἀρχὴ κατὰ Πλάτωνα, κινδυνεύει θεοῖς ἐχθρὸς ὁ
5 κόλαξ εἶναι, τῷ δὲ Πυθίῳ διαφερόντως. Ἀντιτάττεται γὰρ
ἀεὶ πρὸς τὸ, Γνῶθι σαυτὸν, ἀπάτην ἑκάστῳ πρὸς ἑαυτὸν ἐμ-
ποιῶν, καὶ ἄγνοιαν ἑαυτοῦ καὶ τῶν περὶ αὐτὸν ἀγαθῶν καὶ
κακῶν, τὰ μὲν ἐλλειπῆ καὶ ἀτελῆ, τὰ δ' ὅλως ἀνεπανόρθωτα
ποιῶν.

β'. Εἰ μὲν οὖν, ὡς τὰ πλεῖστα τῶν ἄλλων κακῶν, ὁ κόλαξ
ἥπτετο μόνον ἢ μάλιστα τῶν ἀγεννῶν καὶ ῥαύλων, οὐκ ἂν ἦν
2 οὕτως δεινὸν οὐδὲ δυσφύλακτον. Ἐπεὶ δὲ, ὥσπερ οἱ θρῖπες ἐμ-
φύονται μάλιστα τοῖς ἁπαλοῖς καὶ γλυκέσι ξύλοις, οὕτω τὰ
φιλέτιμα τῶν ἠθῶν καὶ χρηστὰ καὶ ἐπιεικῆ τὸν κόλακα δέχε-
ται καὶ τρέφει προσφυόμενον· ἔτι δ', ὥσπερ ὁ Σιμωνίδης τὴν
ἱπποτροφίαν φησὶν

Οὐ Λακύθῳ ὀπαδεῖν, ἀλλ' ἀρούραισι πυροφόροις,

οὕτω τὴν κολακείαν ὁρῶμεν οὐ πένησιν, οὐδὲ ἀδόξοις, οὐδὲ
ἀδυνάτοις ἀκολουθοῦσαν, ἀλλ' οἴκων τε καὶ πραγμάτων μεγάλων
ὀλίσθημα καὶ νόσημα γινομένην, πολλάκις δὲ καὶ βασιλείας
καὶ ἡγεμονίας ἀνατρέπουσαν· οὐ μικρὸν ἔργον ἐστὶν, οὐδὲ
φαύλης δεόμενον προνοίας, ἡ περὶ αὐτῆς ἐπίσκεψις· ὡς ἂν μά-
λιστα περίῳρος οὖσα, μὴ βλάπτοι μηδὲ διαβάλλοι τὴν φι-
3 λίαν. Οἱ μὲν γὰρ φθείρες ἁπίασιν ἀπὸ τῶν τελευτώντων, καὶ
ἀπολείπουσι τὰ σώματα σβεννυμένου τοῦ αἵματος, ἐξ οὗ τρέ-
φονται· τοὺς δὲ κόλακας οὐδ' ὅλως ἰδεῖν ἐστι πράγμασι ξηροῖς
καὶ κατεψυγμένοις προσιόντας· ἀλλὰ ταῖς δόξαις καὶ ταῖς δυ-

---

3. Φιλοκόλαξ — οἰόμενος) Ἴδε Ἀριστοτέλους Ἠθικ. Νικομάχ. η. 8. καὶ Ῥητορικ. Α. 2.

4. Κατὰ Πλάτωνα) Ἐν Νόμ. Ε', σελ. 605. «ἀλήθεια πάντων μὲν ἀγαθῶν θεοῖς, πάντων δὲ ἀνθρώποις ἡγεῖται.»

β'. 2. Οἱ θρῖπες ἐμφύονται) Ὁ Θεόφραστος ἐν τῇ ἱστορ. τῶν Φυτ. λέγει. «Τῶν δὲ ῥιζῶν ὅσαι μὲν γλυκήτητά τινα ἔχουσι, συμβαίνει θριπιδέστους γίνεσθαι χρονιζομένας· ὅσαι δὲ δριμείας, τοῦτο μὲν μὴ πάσχειν ἀμαυρούσθαι δ' αὐτῶν τὰς δυνάμεις μενομένων καὶ κενουμένων τῶν δ' ἔξω θηρίων ἄλλο μὲν οὐδὲν ἅπτεται ῥίζης, ἡ δὲ σφονδύλη πασῶν.»

— Οὐ Λακύθῳ ὀπαδεῖν) Ἴδε λεξικ. Γαζῆ Λ. Λάκυθος· ἄλλα δὲ χειρόγραφ. ἔχουσι Ζακύνθῳ ἀντὶ Λακύθῳ ὅπερ ἐξηγεῖται ἐκ τοῦ Ὁμήρου, Ὀδ. Α, 24, «οὐλήεσσα Ζάκυνθος.»

— Πραγμάτων μεγάλων ὀλίσθημα) Ἀ'ρχὴν ὀλισθὸν ὀλ. πρᾶγμα, παρὰ τοῖς Λατίνοις ἡ res.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

νάμεσιν ἐπιτίθενται καὶ αὔξονται, ταχὺ δ' ἐν ταῖς μεταβολαῖς
ἀπορρέουσιν. Ἀλλὰ τὴν τότε πεῖραν οὐ δεῖ περιμένειν ἀνω- 4
φελῆ, μᾶλλον δὲ βλαβερὰν καὶ οὐκ ἀκίνδυνον οὖσαν. Χαλεπὴ 5
γὰρ ἐν καιρῷ δεομένῳ φίλων ἡ τῶν μὴ φίλων αἴσθησις, ἀντι-
καταλλαγὴν οὐκ ἔχουσα χρηστοῦ καὶ βεβαίου πρὸς ἀβέβαιον
καὶ κίβδηλον. Ἀλλ' ὥσπερ νόμισμα δεῖ τὸν φίλον ἔχειν πρὸ 6
τῆς χρείας δεδοκιμασμένον, μὴ ὑπὸ τῆς χρείας ἐλεγχόμενον.
Οὐ γὰρ δεῖ βλαβέντας αἰσθέσθαι, ἀλλ', ὅπως μὴ βλαβῶμεν, 7
ἐμπειρίαν λαβεῖν καὶ καταυάησιν τοῦ κόλακος. Εἰ δὲ μή, 8
ταὐτὸ πεισόμεθα τοῖς αἰσθανομένοις τῷ προγεγεῦσθαι τῶν θα-
νασίμων φαρμάκων, εἰς τὴν κρίσιν ἀπολλύντες ἑαυτοὺς καὶ
διαφθείροντες. Οὔτε γὰρ δὴ τούτους ἐπαινοῦμεν, οὔτε ὅσοι τὸν 9
φίλον εἰς τὸ καλὸν τιθέμενοι καὶ ὠφέλιμον, οἴονται τοὺς κεχα-
ρισμένους ὁμιλοῦντας εὐθὺς ἔχει ἐπαυτοφώρῳ κόλακας εἰλημ-
μένους. Οὐδὲ γὰρ ἀηδὴς ὁ φίλος, οὐδ' ἄκρατος, οὐδὲ τῷ πι-10
κρῷ σεμνὸν ἡ φιλία καὶ αὐστηρῷ· ἀλλ' αὐτὸ δὴ τοῦτο τὸ καλὸν
καὶ τὸ σεμνὸν αὐτῆς ἡδὺ καὶ ποθούμενόν ἐστι παρὰ δ' αὐτῇ

— χάριτές τε καὶ ἵμερος οἰκί' ἔθεντο·

Καὶ οὐ δυστυχοῦντι μόνον

Εἰς ὄμματ' εὔνου φωτὸς ἐμβλέψαι γλυκύ,

κατ' Εὐριπίδην· ἀλλ' οὐδὲν ἧττον τοῖς ἀγαθοῖς ἡδονὴν ἐπιφέρουσα καὶ χάριν, ἢ τῶν κακῶν ἀφαιροῦσα τὰς λύπας καὶ τὰς ἀπορίας παρέπεται. Καὶ καθάπερ ὁ Εὔηνος εἶπε, τῶν ἡδυ- 11
σμάτων τὸ πῦρ εἶναι κράτιστον, οὕτως τῷ βίῳ μίξας τὴν φιλίαν ὁ Θεός, ἅπαντα φαιδρὰ καὶ γλυκέα καὶ προσηνῆ, ταύτης παρούσης καὶ συναπολαυούσης, ἐποίησεν. Ἐπεὶ πῶς ἂν ὁ 12
κόλαξ ὑπεδύετο ταῖς ἡδοναῖς, εἰ τὴν φιλίαν ἑώρα τὸ ἡδὺ μη-

---

4. Τὴν τότε πεῖραν οὐ δεῖ... ἀνωφελῆ...) Εὐριπίδη τὴν γνώμην ταύτην ὁ Πλούταρχος ἀλλαχοῦ ἀποδίδωσι, λέγων (ἐν β. Φαθ. Μαξίμου). «Οὐ μόνον δ' ἦν ἄρα τὸ φίλων πεῖραν λαβεῖν, ὡς Εὐριπίδης φησίν, οὐ σμικρὸν κακόν, ἀλλὰ καὶ τὸ φρονίμων στρατηγῶν.» Ὁ δὲ παρὰ Στοβαίῳ Φιλήμων λέγει «Εὔχου μὴ λαβεῖν πεῖραν φίλων.»

8. Τῷ προγεγεῦσθαι τῶν θανασίμων φαρμάκων, εἰς τὴν κρίσιν ἀπολλύντες ἑαυτοὺς καὶ διαφθείροντες) Τούτων οὐ πάνυ σαφῶν ὄντων, οὕτως ὁ νοῦς· διαφθείρουσιν ἑαυτούς, ἐνῷ τοῦτο προέθεντο τὸ δοκιμάσαι.

9. Τὸν φίλον εἰς τὸ καλὸν τιθέμενος καὶ ὠφέλιμον — κόλακας εἰλημμένους) Δεῖν πρέπει δηλαδὴ νὰ ἀφαιρῶμεν ἀπὸ τὴν φιλίαν τὸ ἡδὺ διότι τρία τὰ συστατικὰ ταύτης· τὸ ἀγαθὸν καὶ καλόν, τὸ ἡδύ, τὸ ὠφέλιμον.

10. Χάριτές τε καὶ ἵμερος οἰκί' ἔθεντο) Ἡσίοδου ὁ στίχος ἐκ τῆς Θεογονίας 64.

— Κατ' Εὐριπίδην) Ἐξ Ἴων. 744. χρήσεται δὲ τῷ ῥητῷ τούτῳ ὁ Πλούταρχος καὶ παρακατιόν.

11. Εὔηνος εἶπε τῶν ἡδυσμάτων τὸ πῦρ εἶναι κράτιστον) Ὁ Ἡγήσανδρος παρ' Ἀθην. ιγ'. σελ. 564. λέγει· «Ἡγήσανδρος δ' ἐν τοῖς ὑπομνήμασι τῶν ἡδυσμάτων φησὶν ἐρᾶν πάντας, οὐ τῶν κρεῶν οὐδὲ τῶν ἰχθύων ἀπογενομένων νοῦν τούτων (τῶν ἡδυσμάτων). Οὐδεὶς ἠδέως ἔτι προσφέρεται τὸ κρέας, οὐδὲ τὸν ἰχθύν, οὐδὲ ἐπιθυμεῖ τῶν ὠμῶν καὶ τῶν ἀνηθόντων.»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

13 δαμοῦ προσιεμένην, οὐκ ἔστιν εἰπεῖν. Ἀλλ' ὥσπερ τὰ ψευδόχρυσα καὶ τὰ κίβδηλα τῶν σκευῶν τὴν λαμπρότητα τοῦ χρυσοῦ καὶ τὸ γάνωμα μιμεῖται μόνον, οὕτως ἔοικεν ὁ κόλαξ τοῦ φίλου τὸ ἡδὺ καὶ κεχαρισμένον ἐκμιμούμενος ἀεὶ παρέχειν ἱλαρὸν καὶ ἀνθηρόν, καὶ πρὸς μηδὲν ἀντιβαίνοντα μηδ' ὑπεναντιούμενον
14 ἑαυτόν. Ὅθεν οὐδὲ τοὺς ἐπαινοῦντας εὐθύς, ὡς κολακεύοντας,
15 ἁπλῶς ὑφορατέον. Ἔπαινος γὰρ οὐχ ἧττον ἐν καιρῷ ψόγου φιλίᾳ προσήκει. Μᾶλλον δὲ τὸ μὲν δύσκολον ὅλως καὶ μεμψίμοιρον ἄφιλον καὶ ἀνομίλητον· τῆς δ' ἀφθόνως καὶ προθύμως τὸν ἐπὶ τοῖς καλοῖς ἀποδιδούσης ἔπαινον εὐνοίας, καὶ τὸ νουθετοῦν αὖθις καὶ παῤῥησιαζόμενον ἱλαρῶς καὶ ἀλύπως ὑπομένουσι, πιστεύοντες καὶ ἀγαπῶντες ὡς ἀναγκαίως ψέγοντα τὸν ἡδέως ἐπαινοῦντα.

γ'. Χαλεπὸν οὖν, φαίη τις ἄν, ἔστι διακρῖναι τὸν κόλακα καὶ τὸν φίλον, εἰ μήτε ἡδονῇ μήτε ἐπαίνῳ διαφέρουσι· καὶ γὰρ ἐν ὑπουργίαις καὶ διακονίαις πολλάκις ἰδεῖν ἐστι τὴν φιλίαν ὑπο
2 τῆς κολακείας παρατρεχομένην. Τί δὲ οὐ μέλλει, φήσομεν; ἂν τὸν ἀληθινὸν κόλακα καὶ μετὰ δεινότητος καὶ τέχνης ἁπτόμενον τοῦ πράγματος διώκωμεν, ἀλλὰ μή, καθάπερ οἱ πολλοί, τοὺς αὐτολήκυθους τούτους λεγομένους καὶ τραπέζας, καὶ μετὰ τὸ κατὰ χεῖρας ὕδωρ ἀκουομένους, ὥς τις εἶπε, κόλακας νομίζωμεν, ὧν ἐν μιᾷ λοπάδι καὶ κύλικι μετὰ βωμολοχίας καὶ
3 βδελυρίας ἡ ἀνελευθερία γίνεται κατάδηλος. Οὐ γὰρ δή που Μελάνθιον ἔδει τὸν Ἀλεξάνδρου τοῦ Φεραίου παράσιτον ἐξελέγχειν, ὃς τοῖς ἐρωτῶσι, πῶς Ἀλέξανδρος ἐσφάγη, Διὰ τῆς πλευρᾶς, ἔλεγεν, εἰς τὴν γαστέρα τὴν ἐμὴν· οὐδὲ τοὺς ἀμφὶ πλουσίαν τράπεζαν ἐγκυκλουμένους, οὓς οὔτε πῦρ, οὐ σίδηρος,
4 οὐδὲ χαλκὸς ἔργει, μὴ φοιτᾶν ἐπὶ δεῖπνον. Οὐδὲ γὰρ τὰς ἐν Κύπρῳ κολακίδας, ἐπειδὴ διέβησαν εἰς Συρίαν, κλιμακίδας προσαγορευθείσας, ὅτι ταῖς γυναιξὶ τῶν βασιλέων ἀναβαίνειν ἐπὶ τὰς ἁμάξας δι' αὐτῶν ὑποκατακλινόμεναι παρεῖχον.

γ'. 2. Τί δ' οὐ μέλλει) Διατί ὄχι;

— Μετὰ τὸ κατὰ χεῖρας ὕδωρ) Ἀθήν. Θ'. 408 σελ. λέγει. «Ἀριστοφάνης δὲ ὁ Γραμματικὸς ἐν τοῖς πρὸς τοὺς Καλλιμάχου πίνακας, χλευάζει τις οὐκ εἰδότας τὴν διαφορὰν τοῦ τε κατὰ χειρὸς καὶ τοῦ ἀπονίψασθαι. Παρὰ γὰρ τοῖς παλαιοῖς τὸ μὲν πρὸ ἀρίστου καὶ δείπνου λέγεσθαι κατὰ χειρός, τὸ δὲ μετὰ ταῦτα ἀπονίψασθαι.» Ἐκ τοῦ ἀνωτέρω δὲ παρατεθέντος χωρίου καὶ ἑξ ἄλλων δῆλον, ὅτι καὶ ἐνταῦθα κατὰ χειρὸς γραπτέον ἐστί.

3. Μελάνθιον τὸν Ἀλεξάνδρου τοῦ Φεραίου παράσιτον) Τὸν Μελάνθιον τοῦτον, ὅσον ἐνθυμοῦμαι (λέγει ὁ Βυττεμβάχιος) οὐδεὶς ἄλλος ἐκ τῶν ἀρχαίων ἀναφέρει. Περὶ δὲ τοῦ Ἀλεξάνδρου ἴδε Διόδ. Σικελ. ιέ. 61, 71, 75, 80, καὶ ις'. 14. καὶ τὸν Πλούταρχ. Βίῳ Πελοπίδ. §. 26—30).

— Τοὺς ἀμφὶ πλουσίαν τράπεζαν.... φοιτᾶν ἐπὶ δεῖπνον) Εὐπόλιδος τοῦτο, κωμῳδήσαντος τὸν Καλλίαν ἐν κόλακι· πολλὴ δὲ ἡ χρῆσις αὐτοῦ ὡς παροιμιώδους.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δ'. Τίνα οὖν δεῖ φυλάττεσθαι, τὸν μὴ δοκοῦντα μηδ' ὁμολογοῦντα κολακεύειν· ὃν οὐκ ἔστι λαθεῖν περὶ τοὐπτανεῖον, οὐδὲ ἁλίσκεται σκιὰν καταμετρῶν ἐπὶ δεῖπνον, οὐδ' ἔρριπται μεθυσθείς, ὅπως ἔτυχεν, ἀλλὰ νήφει τὰ πολλά, καὶ πολυπραγμονεῖ, καὶ πράξεων μετέχειν οἴεται δεῖν, καὶ λόγων ἀπορρήτων βούλεται κοινωνὸς εἶναι, καὶ ὅλως τραγικός ἐστιν, οὐ σατυρικὸς φιλίας ὑποκριτής, οὐδὲ κωμικός. Ὡς γὰρ ὁ Πλάτων φησίν, 2
ἐσχάτης ἀδικίας εἶναι, δοκεῖν δίκαιον, μὴ ὄντα· καὶ κολακείαν ἡγητέον χαλεπὴν τὴν λανθάνουσαν, οὐ τὴν ὁμολογοῦσαν, οὐδὲ τὴν παίζουσαν, ἀλλὰ τὴν σπουδάζουσαν. Αὕτη γὰρ ἀναπίμπλησι 3
καὶ τὴν ἀληθινὴν φιλίαν ἀπιστίας, συνεμπίπτουσαν αὐτῇ πολλάκις, ἂν μὴ προσέχωμεν. Ὁ μὲν οὖν Γωβρύης εἰς σκο- 4
τεινὸν οἴκημα τῷ μάγῳ φεύγοντι συνεισπεσών, καὶ γενόμενος ἐν διαπάλαις, ἐπιστάντα καὶ διαποροῦντα τὸν Δαρεῖον, ἐκέλευσεν ὠθεῖν καὶ δι' ἀμφοτέρων. Ἡμεῖς δέ, εἰ μηδαμῇ 5
μηδαμῶς ἐπαινοῦμεν τό, Ἐρρέτω φίλος σὺν ἐχθρῷ, διὰ πολλῶν ὁμοιοτήτων τὸν κόλακα τῷ φίλῳ συμπεπλεγμένον ἀποσπάσαι ζητοῦντες, ὀφείλομεν εὖ μάλα φοβεῖσθαι, μή πως ἢ τῷ κακῷ τὸ χρήσιμον συνεκβάλωμεν, ἢ φειδόμενοι τοῦ οἰκείου τῷ βλάπτοντι περιπέσωμεν. Ὥσπερ γάρ, οἶμαι, τῶν 6
ἀγρίων σπερμάτων ὅσα καὶ σχῆμα καὶ μέγεθος παραπλήσιον ἔχοντα τῷ πυρῷ συμμέμικται, χαλεπὴν ἔχει τὴν ἀποκάθαρσιν· ἢ γὰρ οὐ διεκπίπτει τῶν στενωτέρων πόρων, ἢ συνεκπίπτει διὰ τῶν ἀραιῶν· οὕτως ἡ κολακεία τῇ φιλίᾳ εἰς πᾶν πάθος καὶ πᾶν κίνημα καὶ χρείαν καὶ συνήθειαν ἑαυτὴν ἀναμιγνύεισα, δυσχώριστός ἐστιν.

ε'. Ὅτι μέντοι γε πάντων ἥδιστόν ἐστιν ἡ φιλία, καὶ οὐδὲν ἄλλο μᾶλλον εὐφραίνει, διὰ τοῦτο καὶ ὁ κόλαξ ἡδοναῖς ὑπάγεται καὶ περὶ ἡδονάς ἐστιν. Ὅτι δὲ ἡ χάρις καὶ ἡ χρεία τῇ 2
φιλίᾳ παρέπεται· καθ' ὃ δὴ καὶ λέγεται πυρὸς καὶ ὕδατος ὁ φίλος ἀναγκαιότερος εἶναι· διὰ τοῦτο ἐμβάλλων ἑαυτὸν εἰς τὰς ὑπουργείας ὁ κόλαξ, ἀμιλλᾶται σπουδαστικὸς ἀεὶ φαίνεσθαι καὶ ἄσκνος καὶ πρόθυμος. Ἐπειδὴ δὲ τὸ μάλιστα φιλίας ἀρχὴν 3
συνέχον καὶ συνιστάνον ὁμοιότης ἐστὶν ἐπιτηδευμάτων καὶ ἠθῶν, καὶ ὅλως τὸ χαίρειν τοῖς αὐτοῖς, καὶ τὸ ταὐτὰ φεύγειν πρῶτον εἰς ταὐτὸ συνάπτει καὶ συνίστησι διὰ τῆς ὁμοιοπαθείας· τοῦτο κατιδὼν ὁ κόλαξ αὐτὸν ὥσπερ ὕλην τινὰ ῥυθμίζει, καὶ σχη-

---

δ'. 4. Γωβρύης — Δαρεῖον ἐκέλευσεν ὠθεῖν) Ἰδε Ἡροδ. Γ. 78.

5. Ἐρρέτω φίλος σὺν ἐχθρῷ) Τραγικοῦ τινος στίχος φαίνεται.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ματίζει περιαρμόσαι καὶ περιπλάσαι ζητῶν, οἷς ἂν ἐπιχειρῇ διὰ μιμήσεως, ὑγρὸς ὢν καὶ πιθανὸς μεταβάλλεσθαι ἐπὶ τὰς ἐξομοιώσεις· ὥστ' εἰπεῖν,

Οὐ πυῖς Ἀχιλλέως, ἀλλ' ἐκεῖνος αὐτὸς εἶ.

4 Ὁ δὲ πάντων ἐστὶν αὐτοῦ πανουργότατον, αἰσθανόμενος τὴν παῤῥησίαν καὶ λεγομένην καὶ δοκοῦσαν ἰδίαν εἶναι φωνὴν ὥσπερ τινὸς ζῴου τῆς φιλίας, τὸ δὲ ἀπαῤῥησίαστον ἄφιλον καὶ ἀγεννές, οὐδὲ ταύτην ἀμίμητον ἀπολέλοιπεν· ἀλλ' ὥσπερ οἱ δεινοὶ τῶν ὀψοποιῶν τοῖς πικροῖς χυμοῖς καὶ αὐστηροῖς ἡδύσμασι χρῶνται, τῶν γλυκέων ἀφαιροῦντες τὸ πλήσμιον· οὕτως οἱ κόλακες οὐκ ἀληθινὴν οὐδ' ὠφέλιμον, ἀλλ' οἷον ἐπιλλώπτουσαν ἐξ ὀρρύος καὶ γαργαλίζουσαν ἀτεχνῶς παῤῥησίαν προσφέρουσιν.

5 Ἔστι μὲν οὖν διὰ ταῦτα δυςφώρατος ὁ ἀνήρ, ὥσπερ τῶν θηρίων ὅσα περυκότα τὴν χρόαν τρέπεσθαι, συναρμοσεῖται τοῖς

6 ὑποκειμένοις ὑλήμασι καὶ χωρίοις. Ἐπεὶ δ' ἐκεῖνος ἐξαπατᾷ τε καὶ περικαλύπτεται ταῖς ὁμοιότησιν, ἡμέτερον ἔργον ἐστί, ταῖς διαφοραῖς ἀνακαλύπτειν καὶ ἀπογυμνοῦν αὐτόν, ἀλλοτρίοις χρώμασι καὶ σχήμασιν, ᾗ φησιν ὁ Πλάτων, χρῆται οἰκείων κοσμούμενον.

ς'. Εὐθὺς οὖν ἀπὸ τῆς ἀρχῆς σκοπῶμεν. Ἀρχὴν δὲ φιλίας ἔφαμεν εἶναι τοῖς πλείστοις, τὴν ταὐτὰ μὲν ἐπιεικῶς ἀσπαζομένην ἔθη καὶ ἤθη, τοῖς δὲ αὐτοῖς χαίρουσαν ἐπιτηδεύμασι καὶ πράγμασι καὶ διατριβαῖς, ὁμοιοπαθῆ διάθεσίν τε καὶ φύσιν, ἐφ' οἷς καὶ ταῦτα εἴρηται,

Γέρων γέροντι γλῶσσαν ἡδίστην ἔχει·
Παῖς παιδί, καὶ γυναικὶ πρόσφορον γυνή·
Νοσῶν τ' ἀνὴρ νοσοῦντι, καὶ δυσπραξίᾳ
Ληρθεὶς ἐπῳδὸς ἐστι τῷ πειρωμένῳ.

2 Εἰδὼς οὖν ὁ κόλαξ, ὅτι τὸ χαίρειν τοῖς ὁμοίοις καὶ τὸ χρῆσθαι καὶ ἀγαπᾶν ἔμφυτόν ἐςι, ταύτῃ πρῶτον ἐπιχειρεῖ πλησιάζειν ἑκάςῳ καὶ παρασκηνοῦν, ὥςπερ ἔν τισι νομαῖς θηρίου, τοῖς αὐτοῖς ἐπιτηδεύμασι καὶ διατριβαῖς περὶ ταὐτὰ καὶ σπουδαῖς καὶ διαίταις, ἀτρέμα παραβάλλων καὶ προσαναχρωννύμενος· ἄχρις οὗ λαβὼν παραδῷ, καὶ ψαύοντι τιθασὸς γένηται καὶ συνήθης, ψέ-

---

ε'. 3. Οὐ παῖς Ἀχιλλέως) Παροιμιῶδες τόδε· χρῆται δὲ αὐτῷ ὁ Πλούτ. καὶ ἐν τῷ Ἀλκιβιάδου βίῳ. « Ἐν γοῦν τῇ Λακεδαίμονι πρὸς τὰ ἔξωθεν ἢν εἰπεῖν, οὐ παῖς Ἀχιλλέως, ἀλλ' ἐκεῖνος εἴη ἂν αὐτός, οἷον ἐπαίδευσε Λυκοῦργος. »

4. Ἐπιλλώπτουσαν) « Μὲ τὰς ὀρρῦς κυττάζω τινά » ἐκ τοῦ Ἴλλω, κινῶ ὅθεν Ἴλλος ὀφθαλμοῦ καὶ « ἐπιλλίζω » εὔστροφά τινα τείνω τὰ ὄμματα· ἔπειτα δὲ κατὰ πλεονάζουσαν σύνθεσιν ἐκ τοῦ « ὅτι τε Ἰλλώπτω. »

ς'. Γέρων γέροντι...) Τοὺς δὲ τοὺς στίχους, οἱ μὲν τῷ Μενάνδρῳ ἀποδιδοῦσι· Βαλκενήρος δὲ ὁ σοφὸς τῷ Εὐριπίδῃ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

γων μέν, οἷς ἐκεῖνον αἰσθάνεται πράγμασι καὶ βίοις καὶ ἀνθρώποις ἀχθόμενον, ἐπαινέτης δὲ τῶν ἀρεσκόντων οὐ μέτριος, ἀλλ' ὥςτε ὑπερβάλλειν σὺν ἐκπλήξει καὶ θαύματι φαινόμενος· βεβαιῶν δὲ τὸ φιλοῦν καὶ μισοῦν, ὡς κρίσει μᾶλλον ἢ πάθει γινόμενον.

ζ. Πῶς οὖν ἐλέγχεται, καὶ τίσιν ἀλίσκεται διαφοραῖς, οὐκ ὢν ὅμοιος οὐδὲ γιγνόμενος, ἀλλὰ μιμούμενος ὅμοιον; Πρῶτον 2
μὲν ὁρᾷ δεῖ τὴν ὁμαλότητα τῆς προαιρέσεως καὶ τὸ ἐνδελεχές, εἰ χαίρει τε τοῖς αὐτοῖς ἀεὶ, καὶ ταὐτὰ ἐπαινεῖ, καὶ πρὸς ἓν ἀπευθύνει καὶ καθίστησι παράδειγμα τὸν ἑαυτοῦ βίον, ὥς περ ἐλευθέρῳ φιλίας ὁμοιοτρόπου καὶ συνηθείας ἐραστῇ προσήκει. Τοιοῦτος γὰρ ὁ φίλος. Ὁ δὲ κόλαξ ἅτε δὴ μίαν ἑστίαν 3
ἤθους οὐκ ἔχων μόνιμον, οὐδὲ ἑαυτῷ βίον ζητῶν αἱρετόν, ἀλλ' ἑτέρῳ καὶ πρὸς ἕτερον πλάττων καὶ προσαρμόζων ἑαυτόν, οὐχ ἁπλοῦς, οὐδὲ εἷς, ἀλλὰ παντοδαπός ἐστι καὶ ποικίλος, εἰς ἄλλον ἐξ ἄλλου τύπον, ὥςπερ τὸ μεταιρόμενον ὕδωρ, περιῤῥέον ἀεὶ καὶ μετασχηματιζόμενον τοῖς ὑποδεχομένοις. Ὁ μὲν γὰρ 4
πίθηκος, ὡς ἔοικε, μιμεῖσθαι τὸν ἄνθρωπον ἐπιχειρῶν, ἁλίσκεται συγκινούμενος καὶ συνορχούμενος· ὁ δὲ κόλαξ αὐτὸς ἑτέρους ἐπάγεται καὶ παλεύει, μιμούμενος οὐχ ὁμοίως ἅπαντας, ἀλλὰ τῷ μὲν συνορχούμενος καὶ συνᾴδων, τῷ δὲ συμπαλαίων καὶ συγκονιούμενος· θηρευτικοῦ δὲ καὶ κυνηγετικοῦ λαβόμενος, μονονοὺ τὰ τῆς Φαίδρας ἀναβοῶν ἕπεται,

Πρὸς θεῶν ἔραμαι κυσὶ θωύξαι
Βαλιαῖς ἐλάφοις ἐγχριπτόμενος·

καὶ οὐδὲν αὐτῷ πρᾶγμα πρὸς τὸ θηρίον, ἀλλ' αὐτὸν ἐκσαγηνεύει καὶ περιβάλλεται τὸν κυνηγόν. Ἂν δὲ θηρεύῃ φιλολόγον καὶ 5
φιλομαθῆ νέον, αὖθις ἐν βιβλίοις ἐστὶ, καὶ πώγων, ποδήρης καθεῖται, καὶ τριβωνοφορία τὸ σχῆμα, καὶ ἀδιαφορία, καὶ διὰ

ζ. 2. Τὴν ὁμαλότητα) σημαίνει τὸ ὁμαλὸς τὸν ἑαυτῷ ὅμοιον τὸν μὴ μεταβαλλόμενον.

3. Μεταιρόμενον) Τοῦτο δηλοῖ τὸ μεταλομίζων· ὁ δὲ Βυττεμβάχιος προκρίνει ἀντὶ ταύτης τῆς γραφῆς ὁποιανδήποτε ἐκ τῶν ἑπομένων διορθώσεων· «μεταιωρούμενον, μεταρυόμενον, μεταχεόμενον.»

4. Ὁ μὲν γὰρ πίθηκος) Ταῦτα ἱστοροῦσιν ὅτε Πλούταρχος καὶ Ἀριστοτέλης περὶ τῆς θήρας τοῦ πτηνοῦ ὥτος καλουμένου, εἴτε νυκτικόρυξ.

— Τὰ τῆς Φαίδρας) Εὐριπίδου οἱ στίχοι ἐν τοῦ Ἱππολύτου ΜΒ στιχ.

5. Πώγων ποδήρης καθεῖται) Γνώρισμα παρὰ τοῖς ἀρχαίοις τῶν φιλοτοφούντων ἢ γενειᾶς· ὁμοίως δὲ καὶ ἡ τριβωνοφορία.

— Καὶ ἀδιαφορία) Ἂν τοῦτο πρὸς τὸ προκηρυόμενον «σχῆμα» ἢ πρὸς τὸ ἑπόμενον «διὰ στόματος,» ἀναφέρεται, δὲν εἶνε σαφής· καὶ ἐὰν τὸ πρῶτον σημαίνει ἡ ἐνδυμασία αὐτοῦ συγκειται ἐκ τρίβωνος, ἀδιαφορεῖ δὲ πρὸς τὸ εἶδος· ἐὰν δὲ τὸ δεύτερον, ὅ περ καὶ κρεῖττον, (ἀλλὰ τότε πρέπει νὰ ἐξαλείψωμεν τὸν «καὶ,» τοῦ, διὰ στόματος) ὁ νοῦς ὁ μιλεῖ δὲ συνεχῶς περὶ ἀδιαφορίας, ἀριθμοῦ, κ.τ.λ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στόματος οἵ τε ἀριθμοί, καὶ τὰ ὀρθογώνια καὶ τρίγωνα Πλάτωνος. Εἴτε ῥᾴθυμός τις ἐμπέπτωκεν αὖθις καὶ φιλοπότης καὶ πλούσιος,

Αὐτὰρ ὁ γυμνώθη ῥακέων πολύμητις Ὀδυσσεύς.

ἐρίπται μὲν ὁ τρίβων, κατακείρεται δ' ὁ πώγων, ὥσπερ ἄκαρπον θέρος, ψυκτῆρες δὲ καὶ φιάλαι καὶ γέλωτες ἐν περιπάτοις,
6 καὶ σκώμματα πρὸς τοὺς φιλοσοφοῦντας. Ὥσπερ ἐν Συρακούσαις φασίν, ὁπηνίκα Πλάτων ἀφίκετο, καὶ Διονύσιον ζῆλος ἔσχε περιμανὴς φιλοσοφίας, τὰ βασίλεια κονιορτοῦ γέμειν ὑπὸ πλήθους τῶν γεωμετρούντων· ἐπεὶ δὲ προσέκρουσε Πλάτων, καὶ Διονύσιος ἐκπεσὼν φιλοσοφίας, πάλιν εἰς πότους καὶ γύναια, καὶ τὸ ληρεῖν καὶ ἀκολασταίνειν ἦκε φερόμενος, ἀβρῶς ἅπαντας, ὥσπερ ἐν Κίρκης, μεταμορφωθέντας, ἀμουσία καὶ λήθη καὶ εὐ-
7 ήθεια κατέσχε. Μαρτυρεῖ δὲ καὶ τὰ τῶν μεγάλων ἔργα κολάκων, καὶ τὰ τῶν δημαγωγῶν, ὧν ὁ μέγιστος Ἀλκιβιάδης, Ἀθήνησι μὲν σκώπτων καὶ ἱπποτροφῶν, καὶ μετὰ εὐτραπελίας ζῶν καὶ χάριτος· ἐν δὲ Λακεδαίμονι κειρόμενος ἐν χρῷ, καὶ τριβωνοφορῶν καὶ ψυχρολουτῶν· ἐν δὲ Θρᾴκῃ πολεμῶν καὶ πίνων· ἐπεὶ δὲ πρὸς Τισσαφέρνην ἀφίκετο, τρυφῇ καὶ ἁβρότητι καὶ ἀλαζονείᾳ χρώμενος, ἐδημαγώγει καὶ καθωμίλει τῷ συναφομοιοῦν
8 καὶ συνοικειοῦν ἑαυτὸν ἅπασιν. Οὐ μὴν τοιοῦτος Ἐπαμεινώνδας, οὐδ' Ἀγησίλαος, ἀλλὰ πλείστοις ὁμιλήσαντες ἀνθρώποις καὶ πόλεσι καὶ βίοις, τὸ προσῆκον ἦθος αὐτοῖς πανταχοῦ, καὶ στολῇ
9 καὶ διαίτῃ, καὶ λόγῳ καὶ βίῳ διεφύλαττον. Οὕτω καὶ Πλάτων ἐν Συρακούσαις, οἷος ἐν Ἀκαδημίᾳ, καὶ πρὸς Διονύσιον, οἷος πρὸς Δίωνα.

ἡ. Τὰς δὲ τοῦ κόλακος, ὥσπερ πολύποδος, τροπὰς ῥᾷστα φωράσειεν ἄν τις, αὐτὸς ἐπὶ πολλὰ δοκῶν τρέπεσθαι, καὶ ψέγων μέν, ὃν ἐπῄνει πρότερον βίον, οἷς δὲ ἤχθετο πράγμασιν ἢ διαι-
2 ταις, ἢ λόγοις, ὡς ἀρέσκοντας ἐξαίφνης προσιέμενος. Ὄψεται γὰρ αὐτὸν οὐδαμοῦ βέβαιον, οὐδ' ἴδιον, οὐδ' οἰκείῳ πάθει φιλοῦντα καὶ μισοῦντα καὶ χαίροντα καὶ λυπούμενον, ἀλλὰ δίκην κατόπτρου, παθῶν ἀθνείων καὶ βίων καὶ κινημάτων εἰκόνας ἀ-
3 ναδεχόμενον. Τοιοῦτος γάρ, οἷος, εἰ ψέγοις τινὰ τῶν φίλων πρὸς αὐτόν, εἴποιν, Βραδέως πεφώρακας τὸν ἄνθρωπον· ἐμοὶ μὲν γὰρ οὐδὲ πρότερον ἤρεσκεν. Ἂν δ' αὖ πάλιν ἐπαινῇς μεταβαλλόμενος, Νὴ Δία φήσει συνήδεσθαι καὶ χάριν ἔχειν αὐτὸς ὑπὲρ τοῦ
4 ἀνθρώπου, καὶ πιστεύειν. Ἂν δὲ βίον ἀλλακτέον ἕτερον εἴποις, οἷον εἰς ἀπραγμοσύνην καὶ ἡσυχίαν ἐκ πολιτείας μεταβαλλόμενος, Πάλαι γε ἐχρῆν, φησί, θορύβων ἡμᾶς ἀπηλλάχθαι καὶ φθόνων.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἂν δὲ πάλιν ὁρμᾷν δοκῇς ἐπὶ τὸ πράττειν καὶ λέγειν, ὑπεφώ- 5
νησεν, » Ἄξια σαυτοῦ φρονεῖς· « ἡ δ' ἀπραγμοσύνη γλυκὺ μέν, ἀλλ'
ἄδοξον καὶ ταπεινόν. Εὐθὺς οὖν λέγειν χρὴ πρὸς τὸν τοιοῦτον, 6

Ἀλλοῖός μοι, ξεῖν', ἐφάνης νέον, ἠὲ παροιθεν.

Οὐ δέομαι φίλου συμμεθισταμένου καὶ συνεπινεύοντος· ἡ γὰρ σκιὰ ταῦτα ποιεῖ μᾶλλον· ἀλλὰ συναληθεύοντος καὶ συνεπικρίνοντος. Εἷς μὲν οὖν τῶν ἐλέγχων τρόπος τοιοῦτός ἐστιν. 7

Ϛ'. Ἑτέραν δὲ δεῖ ταῖς ὁμοιώσεσι τοιαύτην παραφυλάττειν διαφορὰν. Ὁ μὲν ἀληθὴς φίλος οὔτε μιμητής ἐστι πάντων, οὔτ' 2
ἐπαινέτης πρόθυμος, ἀλλὰ τῶν ἀρίστων μόνων.

Οὐ γὰρ συνέχθειν, ἀλλὰ συμφιλεῖν ἔφυ,

κατὰ τὸν Σοφοκλέα· καὶ νὴ Δία γε συγκατορθοῦν καὶ συμφιλο- 3
καλεῖν, οὐ συναμαρτάνειν, οὐδὲ συῤῥαδιουργεῖν· ἂν μή τις οἷον ὀφθαλμίας ἀποῤῥοῆ, καὶ ἀνάχρωσις ἄκοντα δι' ὁμιλίαν καὶ συνήθειαν ἀναπλήσῃ φαυλότητος ἢ πλημμελείας τινός· ὥς που καὶ Πλάτωνος ἀπομιμεῖσθαί φασι τοὺς συνήθεις τὸ ἐπίκυρτον, Ἀριστοτέλους δὲ τὸν τραυλισμόν, Ἀλεξάνδρου δὲ τοῦ βασιλέως τὴν ἔγκλισιν τῶν τραχήλου, καὶ τὴν ἐν τῷ διαλέγεσθαι τραχύτητα τῆς φωνῆς. Τὰ γὰρ πολλὰ λανθάνουσιν ἔνιοι καὶ ἀπὸ τῶν ἠθῶν καὶ ἀπὸ τῶν βίων ἀναλαμβάνοντες. Ὁ δὲ κόλαξ ἀτεχνῶς τὸ τοῦ 4
χαμαιλέοντος πέπονθεν. Ἐκεῖνός τε γὰρ ἁπάσῃ χροιᾷ πλὴν τοῦ 5
λευκοῦ συναφρυοῦται· καὶ ὁ κόλαξ ἐν τοῖς ἀξίοις σπουδῆς ὅμοιον ἑαυτὸν ἐξαδυνατῶν παρέχειν, οὐδὲν ἀπολείπει τῶν αἰσχρῶν ἀμίμητον. Ἀλλ', ὥσπερ οἱ φαῦλοι ζωγράφοι τῶν καλῶν ἐφικνεῖσθαι 6
μὴ δυνάμενοι δι' ἀσθένειαν, ἐν ῥυτίσι καὶ φακοῖς καὶ οὐλαῖς τὰς ὁμοιότητας ἀναφέρουσιν· οὕτως ἀκρασίας γίνεται μιμητής, δεισιδαιμονίας, ἀκροχολίας, πικρίας πρὸς οἰκέτας, ἀπιστίας πρὸς οἰκείους καὶ συγγενεῖς. Φύσει τε γὰρ ἀφ' ἑαυτοῦ πρὸς τὰ χείρονα κατάντης ἐστί, καὶ δοκεῖ πορρωτάτω τοῦ ψέγειν, τὸ αἰσχρὸν εἶναι μιμούμενος. Ὑποπτοι γὰρ οἱ τὰ βελτίω ζητοῦν- 7
τες καὶ δοκοῦντες ἄχθεσθαι καὶ δυσκολαίνειν τοῖς ἁμαρτήμασι τῶν φίλων· ὁ δὴ καὶ Διονυσίῳ Δίωνα, καὶ Σάμιον Φιλίππῳ, καὶ Κλεομένη Πτολεμαίῳ διέβαλεν καὶ ἀπώλεσεν. Ὁ δὲ βου- 8
λόμενος εἶναι καὶ δοκεῖν ὁμοίως ἡδὺς ἅμα καὶ πιστός, ὡς ὑπὸ

Ϛ'. 2. Οὐ γὰρ συνέχθειν) Ἐκ τῆς Σοφοκλέους Ἀντιγόνης 533. στιχ.

3. Ὀφθαλμίας ἀποῤῥοῆ) Πολλὴ ἡ χρῆσις τῆς παρωμοιώσεως ταύτης, ὑπὸ Πλάτωνος τὸ πρῶτον ἐν Φαίδρῳ ἐξενεχθείσης.

7. Σάμιον Φιλίπ.) Τὸν Δημητρίου υἱὸν Πατέρα δὲ τοῦ Περσέως τελευταίου τῆς Μακεδονίας βασιλέως, ἐννοεῖ ἐνταῦθα.

— Κλεομένης) Βασιλεὺς τῆς Σπάρτης οὗτος, ὑπὸ τοῦ Δώσωντος Ἀντιγόνου νικηθεὶς ἐν Σελλασίᾳ, Ὀλ. 193, 3. Πλείονα ἴδε περὶ τούτου παρὰ Πολυβ. Ε. 35—39. Καὶ παρὰ Πλουτάρχ. ἐν βίῳ αὐτοῦ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοῦ σφόδρα φιλεῖν οὐδὲ τὰ φαῦλα δυσχαιραίνων, ἀλλὰ συμπαθὴς
9 πᾶσι καὶ συμφυὴς γινόμενος. Ὅθεν οὐδὲν τῶν ἀβουλήτων
καὶ τυχηρῶν ἀμοιρεῖν ἀξιοῦσιν, ἀλλὰ καὶ νοσεῖν ὅμοια προσ-
ποιοῦνται, κολακεύοντες τοὺς νοσώδεις, καὶ μήτε βλέπειν
ὀξύ, μήτε ἀκούειν, ἂν ὑποτύφλοις ἢ ὑποκώφοις συνῶσιν· ὡς
περ οἱ Διονυσίου κόλακες ἀμβλυωποῦντος, ἐμπίπτοντες τ' ἀλ-
10 λήλοις, καὶ τὰς παροψίδας ἐν τῷ δειπνεῖν καταβάλλοντες. Ἔνιοι
δὲ καὶ μᾶλλον ἁπτόμενοι τῶν παθῶν, ἐνδοτέρω ποιοῦσιν ἑαυτούς,
καὶ καταμιγνύουσιν ἄχρι τῶν ἀπορρήτων τὰς ὁμοιοπαθείας.
11 Αἰσθόμενοι γὰρ ἢ περὶ γάμον δυστυχοῦντας, ἢ πρὸς υἱούς, ἢ
πρὸς οἰκείους ὑπόπτως ἔχοντας, αὐτοὶ σφῶν αὐτῶν ἀφειδοῦσι, καὶ
ἀποδύρονται περὶ τέκνων ἰδίων, ἢ γυναικός, ἢ συγγενῶν, ἢ οἰ-
12 κείων, αἰτίας τινὰς ἀπορρήτους ἐξαγορεύοντες. Ἡ γὰρ ὁμοιότης
συμπαθεστέρους ποιεῖ, καὶ μᾶλλον ὥσπερ ὅμηρα δεδεγμένοι,
προΐενταί τι τῶν ἀπορρήτων αὐτοῖς, προέμενοι δὲ χρῶνται, καὶ
13 δεδίασιν ἐγκαταλιπεῖν τὴν πίστιν. Ἐγὼ δὲ οἶδα καὶ συνεκβα-
λόντα γαμετήν, ὡς ὁ φίλος ἀπεπέμψατο τὴν ἑαυτοῦ· κρύφα δὲ
φοιτῶν πρὸς αὐτὴν καὶ διαπεμπόμενος, ἐφωράθη, συναισθομέ-
14 νης τῆς τοῦ φίλου γυναικός. Οὕτως ἄπειρος ἦν κόλακος ὁ νο-
μίζων τὰ ἰαμβεῖα ταυτὶ τῷ κόλακι μᾶλλον ἢ τῷ καρκίνῳ
προσήκειν

Γαστὴρ ὅλον τὸ σῶμα, πανταχῇ βλέπων
Ὀφθαλμός, ἕρπον τοῖς ὀδοῦσι θηρίον.

παρασίτου γὰρ ὁ τοιοῦτος εἰκονισμός ἐστι.

Τῶν περὶ ταγηνον καὶ μετ' ἄριστον φίλων.

ὡς Εὔπολίς φησιν.

ι. Οὐ μὴν ἀλλὰ ταῦτα μὲν εἰς τὸν οἰκεῖον ἀναθώμεθα τοῦ
λόγου τόπον. Ἐκεῖνο δὲ μὴ παρῶμεν ἐν ταῖς μιμήσεσι τὸ σόφι-
σμα τοῦ κόλακος, ὅτι, κἂν τῶν καλῶν τι μιμῆται τοῦ κολακευο-
2 μένου, διαφυλάττει τὴν ὑπεροχὴν ἐκείνῳ. Τοῖς μὲν γὰρ ἀλη-
θῶς φίλοις οὔτε ζῆλος οὐδείς ἐστι πρὸς ἀλλήλους, οὔτε φθόνος,
ἀλλά, κἂν ἴσον ἔχωσιν ἐν τῷ κατορθοῦν, κἂν ἔλαττον, ἀνεπα-
3 χθῶς καὶ μετρίως φέρουσιν. Ὁ δὲ κόλαξ ἀεὶ μνημονεύων τοῦ
τὰ δεύτερα λέγειν, ὑρίεται τῇ ὁμοιότητι τῆς ἰσότητος, ἡττᾶσθαι
4 πανταχοῦ καὶ ἀπολείπεσθαι, πλὴν τῶν φαύλων, ὁμολογῶν. Ἐν

9. Οἱ Διονυσίου κόλακες) Τὸν νεώτερον Διονύσιον ἐννοεῖ ἐνταῦθα, τὸν ὑπὸ τοῦ οἴνου διαφθαρέντα τὰς ὄψεις. Οἱ δὲ κατάπτυστοι οὗτοι κόλακες Διονυσοκόλακες ἐκλήθησαν.

ι 3. Τὰ δεύτερα λέγειν) Τοῦ δευτέρου ἀγωνιστοῦ τὸ προσωπεῖον ὑποκρίνεσθαι. Τὰ δεύτερ' ἀεὶ τὴν γυναῖκα δεῖ λέγειν, τὴν δ' ἡγεμονίαν τῶν ὅλων τὸν ἄνδρα ἔχειν.» στίχος τοῦ Μενάνδρου.

— Ὑρίεται τῇ ὁμοιότητι τῆς Ἰσότητος) ἀρκούμενος νὰ φαίνηται ὅμοιος, ὑπόφορε νὰ νικᾶται κατὰ δὲ τὴν σύνταξ. ὁμοιον τοῦ «τῷ φθόνῳ τῆς δόξης ὑριέμενος.»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δὲ τοῖς φαύλοις οὐ παρίησι τὸ πρωτεῖον, ἀλλά φησιν, ἂν ἐκεῖνος ἢ δύσκολος, αὐτὸν εἶναι μελαγχολικόν· ἂν ἐκεῖνος δεισιδαίμων, αὐτὸν θεοφόβητον· ἐρᾷν ἐκεῖνον, μαίνεσθαι δ' αὐτόν· ἀκαίρως, φησίν, ἐγέλας, ἐγὼ δ' ἐξέθνησκον ὑπὸ τοῦ γέλωτος. Ἀλλ' ἔν γε 5 τοῖς χρηστοῖς τοὐναντίον, αὐτός φησι ταχέως τρέχειν, ἵπτασθαι δ' ἐκεῖνον· αὐτὸς ἱππεύειν ἐπιεικῶς, ἀλλά τί πρὸς τὸν ἱπποκένταυρον τοῦτον; εὐφυὴς εἰμι ποιητής, καὶ στίχον οὐ φαυλότατον γράφων·

Βροντᾷν δ' οὐκ ἐμόν, ἀλλὰ Διός.

Ἅμα γὰρ αὐτοῦ δοκεῖ καὶ τὴν προαίρεσιν ἀποφαίνειν καλὴν 6 μιμούμενος, καὶ τὴν δύναμιν ἀνέφικτον ἡττώμενος. Ἐν μὲν οὖν ταῖς ἑξομοιώσεσι τοιαῦταί τινές εἰσιν αἱ τοῦ κόλακος διαφοραὶ πρὸς τὸν φίλον.

ιά. Ἐπεὶ δέ, ὥσπερ εἴρηται, καὶ τὸ τῆς ἡδονῆς κοινόν ἐστι. χαίρει γὰρ οὐχ ἧττον τοῖς φίλοις ὁ χρηστός, ἢ τοῖς κόλαξιν ὁ φαῦλος· φέρε καὶ τοῦτο διορίσωμεν. Ἔστι δὲ διορισμός, ἡ πρὸς τὸ 2 τέλος ἀναφορὰ τῆς ἡδονῆς· σκόπει δὲ οὕτως. Ἔνεστι μέν που τῷ μύρῳ τῷ εὐῶδες· ἔνεστι δ' ἐν ἀντιδότῳ. Διαφέρει δέ, ὅτι 3 τοῦτο μὲν πρὸς ἡδονὴν καὶ πρὸς οὐδὲν ἕτερον γέγονεν, ἐκεῖ δὲ τὸ καθαίρον, ἢ τὸ θερμαῖνον, ἢ τὸ σαρκοῦν τῆς δυνάμεως, ἄλλως εὐῶδές ἐστι. Πάλιν οἱ γραφεῖς ἀνθηρὰ χρώματα καὶ 4 βάμματα μιγνύουσιν· ἔστι δὲ καὶ τῶν ἰατρικῶν φαρμάκων ἔνια τὴν ὄψιν ἀνθηρὰ καὶ τὴν χρόαν οὐκ ἀπάνθρωπον ἔχοντα· τί τοίνυν διαφέρει, ἢ δῆλον, ὅτι τῷ τέλει τῆς χρείας διακρινοῦμεν. Οὐκοῦν ὁμοίως αἱ μὲν τῶν φίλων χάριτες ἐπὶ καλῷ τινι καὶ ὠ- 5 φελίμῳ τὸ εὐφραῖνον, ὥσπερ ἐπανθοῦν, ἔχουσιν· ἔστι δ' ὅτε καὶ παιδιᾷ καὶ τραπέζῃ καὶ οἴνῳ, καὶ νὴ Δία γέλωτι καὶ φλυαρίᾳ πρὸς ἀλλήλους, οἷον ἡδύσμασιν ἐχρήσαντο τῶν καλῶν καὶ σπουδαίων· πρὸς ὃ δὴ καὶ λέλεκται τό,

Μύθοισιν τέρπονται πρὸς ἀλλήλους ἐνέποντες.

Καὶ τό,

— Οὐδέ κεν ἄλλο
Ἄμμε διέκρινε φιλέοντέ τε περπομένω τε.

Τοῦ δὲ κόλακος τοῦτ' ἔργον ἐστὶ καὶ τέλος, ἀεί τινα παιδιὰν ἢ 6 πρᾶξιν ἢ λόγον ἐφ' ἡδονῇ καὶ πρὸς ἡδονὴν ὀψοποιεῖν καὶ καρυκεύειν. Συνελόντι δ' εἰπεῖν, ὁ μέν, ἵνα ἡδὺς ᾖ, πάντα δεῖν 7 οἴεται ποιεῖν· ὁ δ' ἀεὶ ποιῶν, ἃ δεῖ, πολλάκις μὲν ἡδύς, πολλάκις δὲ ἀηδής ἐστιν, οὐ τοῦτο βουλόμενος, εἰ δὲ βέλτιον εἴη, μηδὲ τοῦτο φεύγων. Ὥσπερ γὰρ ἰατρός, ἂν συμφέρῃ, κρόκον καὶ νάρ- 8 δον ἐπέβαλε, καὶ νὴ Δία πολλάκις ἔλουσε προσηνῶς καὶ ἔθρεψε φιλανθρώπως· ἔστι δὲ ὅπου ταῦτα ἐάσας, καστόριον ἐνέσεισεν,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἢ πόλιον βαρύοσμον, ὃ δὴ ῥίγιστον ὀδωδεν,
ἤ τινα ἐλλέβορον ἐκπιεῖν τρίψας ἠνάγκασεν, οὔτε ἐνταῦθα τὸ ἀηδές, οὔτε ἐκεῖ τὸ ἡδὺ ποιούμενος τέλος, ἀλλ' ἐφ' ἓν δι' ἀμφοτέρων ἐπὶ τὸ συμφέρον ἄγων τὸν Θεραπευόμενον· οὗτος ὁ φίλος ἔστι μὲν ὅτε σὺν ἐπαίνῳ καὶ χάριτι μεγαλύνων ἀεὶ καὶ εὐφραίνων, ἄγει πρὸς τὸ καλόν, ὥσπερ οὗτος,

Τεῦκρε, φίλη κεφαλή, Τελαμώνιε, κοίρανε λαῶν,
Βάλλ' οὕτω. —

Καί,

— Πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην;

9 Ὅπου δ' αὖ πάλιν ἐπιστροφῆς δεῖται, καὶ λόγῳ δήκτῃ καὶ παῤῥησίᾳ κηδεμονικῇ καθαπτόμενος,

Ἀῤῥαίνεις, Μενέλαε διοτρεφές, οὐδέ τ' ἴσε χρὴ
Ταύτης ἀφροσύνης. —

Ἔστι δ' ὅπου καὶ τὸ ἔργον ἅμα τῷ λόγῳ συνῆψεν, ὡς Μενέδημος Ἀσκληπιάδου τοῦ φίλου τὸν υἱὸν ἄσωτον ὄντα καὶ ἄτακτον ἀποκλείων, καὶ μὴ προσαγορεύων, ἐσωφρόνισε· καὶ Βάττῳ τὴν σχολὴν ἀπεῖπεν Ἀρκεσίλαος, ὅτε πρὸς Κλεάνθην στίχον ἐποίησεν ἐν κωμῳδίᾳ· πείσαντος δὲ τὸν Κλεάνθην καὶ μεταμε-
10 λομένου διηλλάγη. Δεῖ γὰρ ὠφελοῦντα λυπεῖν τὸν φίλον, οὐ δεῖ δὲ λυποῦντα τὴν φιλίαν ἀναιρεῖν· ἀλλ' ὡς φαρμάκῳ τῷ δάκνοντι χρῆσθαι, σώζοντι καὶ φυλάττοντι τὸ Θεραπευόμενον. Ὅθεν ὥσπερ ἁρμονικός, ὁ φίλος τῇ πρὸς τὸ καλὸν καὶ συμφέρον μεταβολῇ, τὰ μὲν ἐνδιδούς, τὰ δ' ἐπιτείνων πολλάκις μὲν ἡδύς,
11 ἀεὶ δὲ ὠφέλιμός ἐστι. Ὁ δὲ κόλαξ, ἀφ' ἑνὸς διαγράμματος ἀεὶ τὸ ἡδὺ καὶ τὸ πρὸς χάριν εἰωθὼς ὑποκρέκειν, οὔτε ἔργον οἶδεν ἀντιτείνον, οὔτε ῥῆμα λυποῦν, ἀλλὰ μόνῳ παρέπεται τῷ βουλο-
12 μένῳ, συνᾴδων ἀεὶ καὶ συμφθεγγόμενος. Ὥσπερ οὖν τὸν Ἀγησίλαον ὁ Ξενοφῶν ἡδέως ἐπαινεῖσθαί φησιν ὑπὸ τῶν καὶ ψέγειν ἐθελόντων, οὕτω δεῖ τὸ εὐφραῖνον καὶ χαριζόμενον ἡγεῖσθαι φιλικόν, ἂν καὶ λυπεῖν ποτε δύνηται καὶ ἀντιτείνειν· τὴν δὲ συνεχῆ ταῖς ἡδοναῖς καὶ τῷ πρὸς χάριν ἄκρατον ἀεὶ καὶ ἄδηκτον ὁμιλίαν ὑποπτεῖν, καὶ νὴ Δία τὸ τοῦ Λάκωνος ἔχειν πρόχειρον ὃς ἐπαινουμένου Χαρίλλου τοῦ βασιλέως, «Πῶς οὗτος, ἔφη, χρηστός, ὃς οὐδὲ τοῖς πονηροῖς πικρός ἐστι;»

ιδ'. Τοῖς μὲν οὖν ταύροις τὸν οἶστρον ἐνδύεσθαι πυρὰ τὸ οὖς λέγουσι, καὶ τοῖς κυσὶ τὸν κρότωνα· τῶν δὲ φιλοτίμων ὁ κόλαξ τὰ ὦτα κατέχων τοῖς ἐπαίνοις, καὶ προσπεφυκώς, δυσαπό-
2 τριπτός ἐστιν. Ὅθεν ἐντοῦθα δεῖ μάλιστα τὴν κρίσιν ἔχειν ἐγρηγορυῖαν καὶ παραφυλάττουσαν, πότερον τοῦ πράγματος ἢ τοῦ

ιά. 8. Ἢ πόλιν βαρύοσμον) Νικάνδρ. Ἠρετριεὺς φιλόσοφος ὁ Μενέδ. ὁ δὲ Βάττος, παρ' ἄλλοις Βάθω, κωμικὸς ποιητής. Θηριακ. 64. «Μενέδημος Ἀσκληπιάδου»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀνδρὸς ὁ ἔπαινός ἐστιν. Ἔστι δὲ τοῦ πράγματος, ἂν ἀπόντας 3
μᾶλλον ἢ παρόντας ἐπαινῶσιν· ἐὰν καὶ αὐτοὶ τὰ αὐτὰ βουλό-
μενοι, καὶ ζηλοῦντες μὴ μόνους ἡμᾶς, ἀλλὰ πάντας ἐπὶ τοῖς ὁ-
μοίοις, μὴ νῦν μὲν ταῦτα, νῦν δὲ τἀναντία πράττοντες, καὶ λέ-
γοντες· τὸ δὲ μέγιστον, ἂν αὐτοὶ γινώσκωμεν ἑαυτοὺς μὴ μετα-
μελομένους, ἐφ οἷς ἐπαινούμεθα, μηδὲ αἰσχυνομένους, μηδὲ μᾶλ-
λον ἡμῖν τἀναντία τούτων πεπράχθαι καὶ λελέχθαι βουλομένους.
Ἡ γὰρ οἴκοθεν κρίσις ἀντιμαρτυροῦσα, καὶ μὴ προσδεχομένη 4
τὸν ἔπαινον, ἀπαθής ἐστι καὶ ἄθικτος, καὶ ὑπὸ τοῦ κολακεύον-
τος ἀνάλωτος. Ἀλλ' οὐκ οἶδ' ὅπως οἱ πολλοὶ τὰς μὲν ἐπὶ τοῖς 5
ἀτυχήμασι παρηγορίας οὐχ' ὑπομένουσιν, ἀλλὰ μᾶλλον ὑπὸ τῶν
συνεπιθρηνούντων ἄγονται καὶ συνοδυρομένων· ὅταν δ' ἁμαρτά-
νωσι καὶ πλημμελῶσιν, ὁ μὲν ἐλέγχῳ καὶ ψόγῳ δημῶν ἐμποιῶν
καὶ μετάνοιαν, ἐχθρὸς δοκεῖ καὶ κατήγορος, τὸν δ' ἐπαινοῦντα
καὶ κατευλογοῦντα τὰ πεπραγμένα, ἀσπάζονται καὶ νομίζουσιν
εὔνουν καὶ φίλον. Ὅσοι μὲν οὖν ἢ πρᾶξιν, ἢ λόγον, ἢ σπουδά- 6
σαντος ὁτιοῦν, ἢ σκώψαντος, εὐχερῶς ἐπαινοῦσι καὶ συνεπι-
κροτοῦσιν, εἰς τὸ παρὸν εἰσιν οὗτοι καὶ τὰ ὑπὸ χεῖρα βλαβεροὶ
μόνον. Ὅσοι δὲ πρὸς τὸ ἦθος ἐξικνοῦνται τοῖς ἐπαίνοις, καὶ νὴ
Δία τοῦ τρόπου τῇ κολακείᾳ θιγγάνουσι, ταὐτὸ ποιοῦσι τῶν
οἰκετῶν τοῖς μὴ ἀπὸ τοῦ σωροῦ κλέπτουσιν, ἀλλ' ἀπὸ τοῦ σπέρ-
ματος. Σπέρμα γὰρ τῶν πράξεων οὖσαν τὴν διάθεσιν, καὶ τὸ ἦ- 7
θος ἀρχὴν καὶ πηγὴν τοῦ βίου, διαστρέφουσι, τὰ τῆς ἀρετῆς
ὀνόματα τῇ κακίᾳ περιθέντες. Ἐν μὲν γὰρ ταῖς στάσεσι καὶ τοῖς 8
πολέμοις ὁ Θουκυδίδης φησὶν, ὅτι τὴν εἰωθυῖαν ἀξίωσιν τῶν
ὀνομάτων ἐς τὰ ἔργα ἀντήλλαξαν τῇ δικαιώσει· τόλμα μὲν γὰρ
ἀλόγιστος, ἀνδρεία φιλέταιρος ἐνομίσθη· μέλλησις δὲ προμηθής,
δειλία εὐπρεπής· τὸ δὲ σῶφρον, τοῦ ἀνάνδρου πρόσχημα· καὶ
τὸ πρὸς ἅπαν συνετὸν, ἐπίπαν ἀργόν. Ἐν δὲ ταῖς κολακείαις 9
ὁρᾶν χρὴ καὶ παραφυλάττειν ἀσωτίαν μὲν, ἐλευθεριότητα
καλουμένην· καὶ δειλίαν, ἀσφάλειαν· ἐμπληξίαν δὲ, ὀξύ-
τητα· μικρολογίαν δέ, σωφροσύνην· τὸν δ' ἐρωτικὸν, φιλοσυ-
νήθη καὶ φιλόστοργον· ἀνδρεῖον δὲ, τὸν ὀργίλον καὶ ὑπερήφα-
νον· φιλάνθρωπον δὲ, τὸν εὐτελῆ καὶ ταπεινόν. Ὥς που καὶ 10
Πλάτων φησὶ τὸν ἐραστὴν κόλακα τῶν ἐρωμένων ὄντα, τὸν μὲν
σιμὸν, καλεῖν ἐπίχαριν· τὸν δὲ γρυπὸν, βασιλικόν· μέλανας
δέ, ἀνδρικούς· λευκοὺς δέ, θεῶν παῖδας· τὸ δὲ μελίχρουν, ὅλως
ἐραστοῦ προσποίημα εἶναι, ὑποκοριζομένου καὶ εὐκόλως φέρον-

ε'. 8. Θουκυδίδης) Γ, 82.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

11 τος τὴν ὠχρότητα. Καί τοι καλὸς μὲν εἶναι πεισθεὶς ὁ αἰσχρός,
ἢ μέγας ὁ μικρός, οὔτε χρόνον πολὺν τῇ ἀπάτῃ σύνεστι, καὶ
12 βλάπτεται βλάβην ἐλαφράν, καὶ οὐκ ἀνήκεστον. Ὁ δὲ ταῖς
κακίαις ἐθίζων ἔπαινος ὡς ἀρεταῖς, ὡς μὴ ἀχθόμενον, ἀλλὰ
χαίροντα χρῆσθαι, καὶ τὸ αἰδεῖσθαι τῶν ἁμαρτανομένων ἀφαι-
ρῶν, οὗτος ἐπέτρεψε Σικελιώτας, τὴν Διονυσίου καὶ Φαλάριδος
ὠμότητα, μισοπονηρίαν καὶ δικαιοσύνην προσαγορεύων· οὗτος
Αἴγυπτον ἀπώλεσε, τὴν Πτολεμαίου θηλύτητα, καὶ θεοληψίαν,
καὶ ὀλολυγμοὺς, καὶ κρίνων, καὶ τυμπάνων ἐγχαράξεις, εὐ-
σέβειαν ὀνομάζων καὶ θεῶν λατρείαν· οὗτος τὰ Ῥωμαίων ἤθη
τηνικαῦτα παρ' οὐδὲν ἦλθεν ἀνατρέψαι καὶ ἀνελεῖν, τὰς Ἀν-
τωνίου τρυφὰς καὶ ἀκολασίας καὶ πανηγυρισμοὺς, ἱλαρὰ πράγ-
ματα καὶ φιλάνθρωπα, χρωμένης ἀφθόνως αὐτῷ δυνάμεως καὶ
13 τύχης, ὑποκοριζόμενος. Πτολεμαίῳ δὲ τί περιῆψεν ἄλλο φορ-
βειὰν καὶ αὐλούς; τί δὲ Νέρωνι τραγικὴν ἐπήξατο σκηνὴν, καὶ
προσωπεῖα καὶ κοθόρνους περιέθηκεν; οὐχ ὁ κολακευόντων ἔπαι-
14 νος; Οἱ δὲ πολλοὶ τῶν βασιλέων, οὐκ Ἀπόλλωνες μέν, ἂν μι-
νυρίσωσι, Διόνυσοι δέ, ἂν μεθυσθῶσιν, Ἡρακλεῖς δέ, ἐὰν πα-
λαίσωσι, προσαγορευόμενοι, καὶ χαίροντες, εἰς ἅπασαν αἰσχύ-
νην ὑπὸ τῆς κολακείας ἐξάγονται;

ιγ'. Διὸ φυλακτέον ἐστὶ μάλιστα τὸν κόλακα περὶ τοὺς ἐ-
2 παίνους. Ὅπερ οὐδὲ αὐτὸν ἐκεῖνον λέληθεν, ἀλλὰ δεινὸς ὢν φυ-
λάττεσθαι τὸ ὕποπτον, ἂν μὲν εὐπαρύφου τινὸς ἢ ἀγροίκου λά-
θηται, φορίνην παχεῖαν φέροντος, ὅλῳ τῷ μυκτῆρι χρῆται, κα-
θάπερ ὁ Στρουθίας ἐμπεριπατῶν τῷ Βίαντι, καὶ κατορχούμε-
νος τῆς ἀναισθησίας αὐτοῦ τοῖς ἐπαίνοις,

Ἀλεξάνδρου τοῦ βασιλέως πλέον πέπωκας,

Καί,

Γέλωτι πρὸς τὸν Κύπριον ἐνηθούμενος.

3 Τοὺς δὲ κομψοτέρους ὁρῶν ἐνταῦθα μάλιστα προσέχοντας αὐ-
τῷ, καὶ φυλαττομένους τὸ χωρίον τοῦτο καὶ τὸν τόπον, οὐκ
ἀπ' εὐθείας ἐπανάγει τὸν ἔπαινον, ἀλλ' ἀπαγαγὼν πόρρω κυ-
κλοῦται καὶ πρόσεισιν, οἷον ἀψοφητὶ θρέμματος ἐπιψαύων καὶ
4 ἀποπειρώμενος. Νῦν μὲν γὰρ ἑτέρων περὶ αὐτοῦ τίνων ἐπαί-
νους ἀπαγγέλλει, καθάπερ οἱ ῥήτορες, ἀλλοτρίῳ προσχρώμενος
προσώπῳ, ξένοις λέγων ἢ πρεσβυτέροις ἐν ἀγορᾷ μάλ' ἡδέως
παραγενέσθαι πολλὰ καὶ ἀγαθὰ μεμνημένοις αὐτοῦ, καὶ θαυ-

12. Τὴν Πτολεμαίου θηλύτητα) τὸν Δ. Πτολεμαῖον ἐννοεῖ τὸν Φιλοπάτορα· περὶ τοῦ ὁποίου Πολύβ. Ε, 34.

ιγ'. 2. Ἂν μὲν εὐπαρύφου τινός . . .) Ἔκ τινος τοῦ Μενάνδρου κωμῳδίας φαίνεται ὅτι παρέλαβε ταῦτα ὁ Πλούταρχος.

4. Ξένοις λέγων ἢ πρεσβυτέροις) τοιαῦτα βλέπεις καὶ παρὰ Θεοφράστῳ ἐν τῷ Κόλακος χαρακτῆρι.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μάζουσι. Νῦν δ' αὖ πάλιν, αἰτίας ἐλαφρὰς καὶ ψευδεῖς πλα- 5
σάμενος καὶ συνθεὶς ἐπ' αὐτόν, ὡς ἀκηκοὼς ἑτέρων ἀφῖκται
μετὰ σπουδῆς, πυνθανόμενος, ποῦ τοῦτο εἶπεν, ἢ ποῦ τοῦτο ἔ-
πραξεν. Ἀρνούμενον δέ, ὡς εἰκός, αὐτόθεν ἔχων, ἐμβέβληκεν εἰς 6
τοὺς ἐπαίνους τὸν ἄνθρωπον, Ἐγὼ δὲ ἐθαύμαζον, εἰ σὺ κακῶς
τινα τῶν συνήθων εἶπας, ὁ μηδὲ τοὺς ἐχθροὺς πέφυκώς· εἰ σὺ
τοῖς ἀλλοτρίοις ἐπεχείρησας, ὁ τοσαῦτα τῶν ἰδίων δωρούμενος.

ιδ'. Ἕτεροι τοίνυν, ὥσπερ οἱ ζωγράφοι τὰ φωτεινὰ καὶ λαμ-
πρὰ τοῖς σκιεροῖς καὶ σκοτεινοῖς ἐπιτείνουσιν ἐγγὺς παρατιθεμέ-
νοις, οὕτω τῷ ψέγειν τἀναντία καὶ λοιδορεῖν, ἢ διασύρειν καὶ
καταγελᾶν, λανθάνουσι τὰ προσόντα κακὰ τοῖς κολακευομέ-
νοις ἐπαινοῦντες καὶ τρέφοντες. Σωφροσύνην τε γὰρ ὡς ἀγροι- 2
κίαν ψέγουσιν, ἐν ἀσώτοις, καὶ πλεονέκταις, καὶ κακούργοις,
καὶ πλουτοῦσιν ἀπὸ πραγμάτων αἰσχρῶν καὶ πονηρῶν· αὐτάρ-
κειαν δὲ καὶ δικαιοσύνην, ὡς ἀτολμίαν καὶ ἀῤῥωστίαν πρὸς τὸ
πράττειν· ὅταν δὲ ῥαθύμοις καὶ σχολασταῖς καὶ τὰ μέσα φεύ-
γουσιν τῶν πόλεων ὁμιλῶσιν, οὐκ αἰσχύνονται πολιτείαν μέν,
ἀλλοτριοπραγίαν ἐπίπονον, φιλοτιμίαν δέ, κενοδοξίαν ἄκαρπον 3
ὀνομάζοντες. Ἤδη δὲ καὶ ῥήτορος ἔστιν ὅτε κολακείᾳ διασύ-
ραι φιλόσοφον, καὶ παρὰ γυναιξὶν ἀκολάστοις εὐδοκιμοῦσι τὰς
μονολεχεῖς καὶ φιλάνδρους, ἀναφροδίτους καὶ ἀγροίκους ἀπο-
καλοῦντες. Ὑπερβάλλει δὲ μοχθηρίᾳ τὸ μηδ' ἑαυτῶν ἀπέχε- 4
σθαι τοὺς κόλακας. Ὡς γὰρ οἱ παλαισταὶ τὸ σῶμα ποιοῦσι
ταπεινόν, ὅπως ἑτέρους καταβάλωσιν· οὕτω τῷ ψέγειν ἑαυτοὺς
εἰς τὸ θαυμάζειν τοὺς πλησίον ὑποῤῥέουσιν· Ἀνδράποδόν εἰμι
δειλὸν ἐν θαλάσσῃ, πρὸς τοὺς πόνους ἀπογορεύω, μαίνομαι κα-
κῶς ἀκούσας ὑπ' ὀργῆς· ἀλλὰ τούτῳ, φησίν, οὐδέν ἐστι δεινόν,
οὐδὲν πονηρόν, ἀλλ' ἴδιος ἄνθρωπος, πάντα πράῳ φέρει, πάν-
τα ἀλύπως. Ἂν δ' ᾖ τις οἰόμενος πολὺν ἔχειν νοῦν, καὶ βουλό- 5
μενος αὐστηρὸς εἶναι καὶ αὐθέκαστος, ὑπό δή τινος ὀρθότητος
ἀεὶ προβάλληται τό,

Τυδείδη, μήτ' ἄρ' με μάλ' αἴνεε, μήτε τι νείκει·

οὐ ταύτῃ πρόσεισιν ὁ τεχνίτης κόλαξ, ἀλλ' ἔστι τις ἑτέρα μη-
χανὴ πρὸς τὸν τοιοῦτον. Ἥκει γὰρ αὐτῷ περὶ πραγμάτων ἰ- 6
δίων, ὡς δὴ φρονήσει περιττοτέρῳ συμβουλευσόμενος· καὶ φησι
μᾶλλον μὲν ἑτέρους ἔχειν συνήθεις, ἐνοχλεῖν δ' ἀναγκαίως ἐκείνῳ·

ιδ'. 2. Ῥαθύμοις καὶ σχολασταῖς) ῥάθυμος ὁ ἀμελής, ὀκνηρός· σχολαστὴς δὲ ὁ εἰς τὰ αὑτοῦ καταγινόμενος, τῶν δημοσίων ἀπέχων· σχολασταὶ δὲ καὶ σχολαστικοὶ λέγονται οἱ εἰς τὰ γράμματα καταγινόμενοι. Ἴδε Κικέρων. Π. Καθηκόντ. 1, 9. ὁ καὶ δὲ ἐνταῦθα πλεονάζει, καὶ τὸ σχῆμα »Ἓν διὰ δυεῖν.«

5. Τυδείδη . . .) Ἰλιάδ. Κ. 249.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ποῦ γὰρ καταφύγωμεν οἱ γνώμης δεόμενοι; τίνι δὲ πιστεύσω-
7 μεν; Εἶτ' ἀκούσας, ὅ,τι ἂν εἴπῃ, χρησμὸν εἰληφέναι φήσας, οὐ γνώμην, ἄπεισιν. Ἂν δὲ καὶ λόγων τινὸς ἐμπειρίας ὁρᾷ μεταποιούμενον, ἔδωκέ τι τῶν αὐτῷ γεγραμμένων, ἀναγνῶναι καὶ
8 διορθῶσαι παρακαλέσας. Μιθριδάτῃ δὲ τῷ βασιλεῖ φιλιατροῦντι, καὶ τεμεῖν ἔνιοι καὶ καῦσαι παρέσχον αὐτοὺς τῶν ἑταίρων, ἔργῳ κολακεύοντες, οὐ λόγῳ· μαρτυρεῖσθαι γὰρ ἐμπειρίαν ἐδόκει, πιστευόμενος ὑπ' αὐτῶν.

9 Πολλαὶ μορφαὶ τῶν δαιμονίων.

τὸ δὲ γένος τοῦτο τῶν ἀρνουμένων ἐπαίνων πανουργοτέρας δεόμενον εὐλαβείας, ἐλεγκτέον, ἐπίτηδες ἀτόπους ἐκτάττοντα συμβουλίας καὶ ὑποθήκας, καὶ διορθώσεις ποιούμενον ἀλόγους. Πρὸς μηδὲν γὰρ ἀντιλέγων, ἀλλὰ πᾶσι συνεπινεύων, καὶ δεχόμενος πάντα, καὶ βοῶν παρ' ἕκαστον ὡς εὖ καὶ ἱκανῶς, γίνεται καταφανής

Σύνθημ' ἐρωτῶν, ἄλλο μαστεύων χρέος,
ἐπαινέσαι καὶ συνεπιτυφῶσαι βουλόμενος.

ιέ. Ἔτι τοίνυν, ὥσπερ ἔνιοι τὴν ζωγραφίαν σιωπῶσαν ἀπεφήναντο ποιητικήν, οὕτως ἐστί τις κολακείας σωπώσης ἔπαινος.
2 Ὥσπερ γὰρ οἱ θηρεύοντες, ἂν μὴ τοῦτο ποιεῖν, ἀλλ' ὁδοιπορεῖν ἢ νέμειν ἢ γεωργεῖν δοκῶσι, μᾶλλον τὰ θηρευόμενα λανθάνουσιν· οὕτως οἱ κόλακες ἅπτονται μάλιστα τοῖς ἐπαίνοις, ὅταν
3 ἐπαινεῖν μὴ δοκῶσιν, ἀλλ' ἕτερόν τι πράττειν. Ὁ γὰρ εἴκων ἕδρας καὶ κλισίας ἐπιόντι, καὶ λέγων πρὸς δῆμον ἢ βουλήν, ἂν αἴσθηταί τινα τῶν πλουσίων βουλόμενον εἰπεῖν, ἀποσιωπῶν μεταξύ, καὶ παραδιδοὺς τὸ βῆμα καὶ τὸν λόγον, ἐνδείκνυται σιωπῶν, μᾶλλον τοῦ βοῶντος, ὅτι κρείττονα νομίζει καὶ δια-
4 φέροντα τῷ φρονεῖν ἐκεῖνον. Ὅθεν ὁρᾶν ἐστιν αὐτοὺς ἕδρας τε τὰς πρώτας ἐν ἀκροάσεσι καὶ θεάτροις καταλαμβάνοντας, οὐχ ὅτι τούτων ἀξιοῦσιν αὐτούς, ἀλλ' ὅπως ὑπεξανιστάμενοι τοῖς πλουσίοις κολακεύωσι· καὶ λόγου κατάρχοντας ἐν συνόδοις καὶ συνεδρίοις, εἶτα παραχωροῦντας ὡς κρείττοσι, καὶ μετατιθεμένους ῥᾷστα πρὸς τοὐναντίον, ἄνπερ ᾖ δυνατὸς ἢ πλούσιος ἢ ἔνδοξος ὁ ἀντιλέγων. Ὧι καὶ μάλιστα δεῖ τὰς τοιαύτας ὑποκατακλίσεις καὶ ἀναχωρήσεις αὐτῶν ἐξελέγχειν, οὐκ ἐμπειρίαις, οὐδ' ἀρεταῖς,

---

7. Ὅ,τι ἂν εἴπῃ, χρησμὸν εἰληφέναι φήσας, οὐ γνώμην) οὕτως ἐκολάκευον Δημήτριον τὸν Πολιορκητήν. Ἴδε βίον αὐτοῦ παρὰ Πλουτάρχ.

8. Μιθριδάτῃ φιλιατροῦντι) τὸ αὐτὸ διηγεῖται καὶ περὶ τοῦ Ἀλεξάνδρου ὁ Πλούταρχος. Ἴδε βίον αὐτοῦ.

9. Πολλαὶ μορφαὶ τῶν δαιμονίων) Εὐριπίδου τόδε ἐν τέλει πολλῶν τραγῳδιῶν. Ἄλκηστ. 1159. Ἀνδρομ. 1284. Βάκχ. 1386. Ἑλέν. 1704.

ιέ. Ἔνιοι . . . ἀπεφήναντο) ὁ Σιμωνίδης ὁ Κεῖος.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐδ' ἡλικίαις ὑφιεμένων. ἀλλὰ πλούτοις καὶ δόξαις. Ἀπελλῆς 5
μὲν γάρ ὁ ζωγράφος, Μεγαβύζου παρακαθίσαντος αὐτῷ, καὶ
περὶ γραμμῆς τι καὶ σκιᾶς βουλομένου λαλεῖν, Ὁρᾷς, ἔφη,
τὰ παιδάρια ταυτὶ τὰ τὴν μηλίδα τρίβοντα; πάνυ σοι προσεῖ-
χε τὸν νοῦν σιωπῶντι, καὶ τὴν πορφύραν ἐθαύμαζε καὶ τὰ χρυ-
σία· νῦν δέ σου καταγελᾷ περὶ ὧν οὐ μεμάθηκας ἀρξαμένου
λαλεῖν. Καὶ Σόλων, Κροίσου περὶ εὐδαιμονίας διαπυνθανομέ- 6
νου, Τέλλον τινὰ τῶν οὐκ ἐπιφανῶν Ἀθήνησι, καὶ Βίτωνα καὶ
Κλέοβιν, ἀπέφηνεν εὐποτμοτέρους. Οἱ δὲ κόλακες τοὺς βασιλεῖς
καὶ πλουσίους καὶ ἄρχοντας οὐκ ἐλβίους μόνον καὶ μακαρίους, 7
ἀλλὰ καὶ φρονήσει, καὶ τέχνῃ, καὶ ἀρετῇ πάσῃ πρωτεύοντας
ἀναγορεύουσιν.

ιϛ'. Εἶτα τῶν μὲν Στωϊκῶν οὐδὲ ἀκούειν ἔνιοι ὑπομένουσι,
τὸν σοφὸν ὁμοῦ πλούσιον, καλόν, εὐγενῆ, βασιλέα προσαγο-
ρευόντων· οἱ δὲ κόλακες τὸν πλούσιον ὁμοῦ καὶ ῥήτορα καὶ ποιη-
τήν, ἂν δὲ βούληται, καὶ ζωγράφον, καὶ αὐλητὴν ἀποφαίνου-
σι, καὶ ποδώκη, καὶ ῥωμαλέον, ὑποπίπτοντες ἐν τῷ παλαίειν,
καὶ ἀπολιμπανόμενοι θεόντων· ὥσπερ Κρίσσων ὁ Ἱμεραῖος ἀ-
πελείφθη διαθέων πρὸς Ἀλέξανδρον· ὁ δ' αἰσθόμενος ἠγανά-
κτησε. Καρνεάδης δὲ ἔλεγε, ὅτι πλουσίων καὶ βασιλέων παῖδες 2
ἱππεύειν μόνον, ἄλλο δὲ οὐδὲν εὖ καὶ καλῶς μανθάνουσι· κολα-
κεύει γὰρ αὐτοὺς ἐν ταῖς διατριβαῖς ὁ διδάσκαλος ἐπαινῶν, καὶ
ὁ προσπαλαίων, ὑποκατακλινόμενος· ὁ δὲ ἵππος οὐκ εἰδὼς οὐδὲ
φροντίζων, ὅστις ἰδιώτης ἢ ἄρχων, ἢ πλούσιος ἢ πένης, ἐκτρα-
χηλίζει τοὺς μὴ δυναμένους ἐχεῖσθαι. Εὐήθη τοίνυν καὶ ἀβέλ-
τερα τὰ τοῦ βίωνος· Εἰ τὸν ἀγρὸν ἔμελλεν ἐγκωμιάζων εὔφο- 3
ρον ποιεῖν καὶ εὔκαρπον, οὐκ ἂν ἁμαρτάνειν ἐδόκει τοῦτο ποιῶν
μᾶλλον ἢ σκάπτων καὶ πράγματα ἔχων· οὐ τοίνυν οὐδ' ἄνθρω-
πος ἄτοπος ἂν εἴη ἐπαινῶν, εἰ τοῖς ἐπαινουμένοις ὠφέλιμός ἐ-
στι καὶ πάμφορος. Ὁ μὲν γὰρ ἀγρὸς οὐ γίνεται χείρων ἐπαι- 4
νούμενος· ἄνθρωπον δὲ τυφοῦσι καὶ ἀπολλύουσιν οἱ ψευδῶς καὶ
παρ' ἀξίαν ἐπαινοῦντες.

---

5. Ἀπελλῆς μέν. — Μεγαβύζου) Μέρος δὲ τῆς διαλέξεως αὐτῶν ταύτης ἐκθέτει ἀλλοῦ ὁ Πλούταρχος. Περὶ Ἀτ. Ψυχῆς Μεγαβύζον δὲ τὸν Πέρσην εἰς τὸ ζωγραφεῖον ἀναβάντα τοῦ Ἀπελλοῦ, καὶ λαλεῖν ἐπιχειρήσαντα περὶ τῆς τέχνης, ἐπεστόμισεν ὁ Ἀπελλῆς εἰπών· ἕως μὲν ἡσυχίαν ἦγες, ἐδόκεις τις εἶναι διὰ τὰ χρυσία καὶ τὴν πορφύραν, νυνὶ δὲ καὶ τὰ τριβοντα τὴν ὥρᾶν παιδάρια καταγελᾷ σου φλυαροῦντος.» Ὁ δὲ Αἰλιανὸς Ζεῦξιν ἀποδίδει τοῦτο Ποικίλ. Ἱστορ. Β', 2. Πλίνιος δὲ φησι, Ἱστορ. ΛΕ', 36, 12 Ἱστορεῖ, ὅτι καὶ εἰς τὸν Ἀλέξανδρον εἶπε τοιαῦτα ὁ Ἀπελῆς.

6. Σόλων, Κροίσου) Ἴδε Ἡρόδ. Α', 30. — 33 καὶ Ἰουβενάλ. Γ. 274 στιχ.

ιϛ'. Κρίσσων ὁ Ἱμεραῖος) — Ἴδε Διοδ. ΙΒ', 42. ἐνίκησεν ἐν Ὀλυμπίοις σταδίου τὴν Ὀλυμ. Πγ'. — Πέ. Μνημονικὸν δὲ ἀ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ιζ'. Ταῦτα μὲν οὖν ἀπόχρη περὶ τούτων. Ἐφεξῆς δὲ τὸ τῆς
2 παῤῥησίας ἰδωμεν. Ἔδει μὲν γάρ, ὡς ὁ Πάτροκλος τοῦ Ἀχιλλέως τὰ ὅπλα περιβαλλόμενος, καὶ τοὺς ἵππους ἐξελαύνων ἐπὶ τὴν μάχην, μόνης οὐκ ἐτόλμησεν τῆς Πηλιάδος θίγειν, ἀλλ' ἀφῆκεν, οὕτω τὸν κόλακα, τοῖς τοῦ φίλου σκευοποιούμενον καὶ ἀναπλαττόμενον ἐπισήμοις καὶ συμβόλοις, μόνην τὴν παῤῥησίαν, ὥσπερ ἐξαίρετον βάσταγμα φιλίας,

Βριθύ, μέγα, στιβαρόν,—

3 καταλιπεῖν ἄθικτον καὶ ἀμίμητον. Ἐπεὶ δὲ φεύγοντες τὸν ἐν γέλωτι καὶ ἀκράτῳ καὶ σκώμμασι καὶ παιδιαῖς ἔλεγχον, εἰς ὀφρῦν αἴρουσιν ἤδη τὸ πρᾶγμα καὶ κολακεύουσιν ἐσκυθρωπακότες, καὶ ψόγον τινὰ καὶ νουθεσίαν παραμιγνύουσι· φέρε μη-
4 δὲ τοῦτο παραλείπωμεν ἀδασάνιστον. Οἶμαι δέ, ὥσπερ ἐν κωμῳδίᾳ Μενάνδρου Ψευδηρακλῆς πρόσεισι ὁόπαλον κομίζων, οὐ στιβαρόν, οὐδ' ἰσχυρόν, ἀλλὰ χαῦνόν τι πλάσμα καὶ διάκενον, οὕτω τὴν τοῦ κόλακος παῤῥησίαν φανεῖσθαι πειρωμένοις μαλθακὴν καὶ ἀβαρῆ, καὶ τόνον οὐκ ἔχουσαν, ἀλλὰ ταὐτὸν τοῖς τῶν γυναικῶν προσκεφαλαίοις δρῶσαν, ἃ δοκοῦντα ταῖς κεφαλαῖς ἀντερείδειν καὶ ἀντέχειν, ἐνδίδωσι καὶ ὑπείκει μᾶλλον· ὥσπερ ἡ κίβδηλος αὕτη παῤῥησία κενὸν ἔχουσα καὶ ψευδῆ καὶ ὕπουλον ὄγκον, ἐξῄρθη καὶ ᾤδησεν, ἵνα συσταλεῖσα καὶ συμπεσοῦσα δέξηται καὶ συνεπισπάσηται τὸν καταφερόμενον
5 εἰς αὐτήν. Ἡ μὲν γὰρ ἀληθὴς καὶ φιλικὴ παῤῥησία τοῖς ἁμαρτανομένοις ἐπιφύεται, σωτήριον ἔχουσα καὶ κηδεμονικὸν τὸ λυποῦν, ὥσπερ τὸ μέλι τὰ ἠλκωμένα δάκνουσα καὶ καθαίρουσα, τἄλλα δὲ ὠφέλιμος οὖσα καὶ γλυκεῖα, περὶ ἧς ἴδιος ἔσται λόγος. Ὁ δὲ κόλαξ πρῶτον μὲν ἐνδείκνυται τὸ πικρὸς εἶναι καὶ πε-
6 ρισπερχὴς καὶ ἀπαραίτητος ἐν τοῖς πρὸς ἑτέρους. Οἰκέταις τε
7 γὰρ αὐτοῦ χαλεπὸς ἐστι, καὶ συγγενῶν καὶ οἰκείων ἐπεμβῆναι δεινὸς ἁμαρτήμασι, καὶ μηδένα θαυμάσαι, μηδὲ σεμνῦναι τῶν ἐκτός, ἀλλ' ὑπερορᾷν· ἀσυγγνώμων δὲ καὶ διάβολος ἐν τῷ πρὸς ὀργὴν ἑτέρους παροξύνειν, θηρώμενος μισοπονηρίας δόξαν, ὡς οὐκ ἂν ἑκὼν ὑφέμενος παῤῥησίᾳ αὐτοῖς, οὐδὲ ποιήσας οὐδὲν, οὐδ'

μάρτημα τοῦτο τοῦ Πλουτάρχου, ὅτι ἠγωνίσθη ὁ Κρίσσων πρὸς Ἀλέξανδρον πολὺ νεώτερον αὐτοῦ.

ιζ'. 2. Βριθύ, μέγα, στιβαρὸν) Ἴδε Ἰλιάδ. Π. 141.

5. Κηδεμονικὸν τὸ λυποῦν, ὥσπερ τὸ μέλι τὰ ἠλκωμένα δάκνουσα . . .) ἀρέσκεται ὁ Πλούταρχος εἰς τὴν παρομοίωσιν ταύτην. Εὐθὺς ἐν Φωκίωνος βίῳ, «καθάπερ τὸ μέλι λυπεῖ τὰ τετρωμένα καὶ ἠλκωμένα μέρη τοῦ σώματος, οὕτω πολλάκις οἱ ἀληθινοὶ καὶ νοῦν ἔχοντες λόγοι δάκνουσι καὶ παροξύνουσι τοὺς κακῶς πράττοντας, ἐὰν μὴ προσηνεῖς ὦσι καὶ συνείκοντες.» Ἴδε καὶ Δίων. Χρυσόστ. Λόγ. νζ'. σελ. 57.

— Περὶ ἧς ἴδιος ἔσται λόγος) Ἐν αὐτῷ τούτῳ τῷ συγγράμματι. Ἴδε § νς'.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

εἰπὼν πρὸς χάριν. Ἔπειτα δὲ τῶν μὲν ἀληθινῶν καὶ μεγάλων ἁμαρτημάτων οὐδὲν εἰδέναι προσποιούμενος, οὐδὲ γινώσκειν, 8
πρὸς δὲ τὰ μικρὰ καὶ τὰ ἐκτὸς ἐλλείμματα δεινὸς αἴξαι, καὶ μετὰ τόνου καθάψασθαι καὶ σφοδρότητος, ἂν σκεῦος ἀμελῶς ἴδῃ κείμενον, ἂν οἰκοῦντα φαύλως, ἂν ἀλιγωροῦντα κουρᾶς ἢ ἀμπεχόνης, ἢ κυνός τινος ἢ ἵππου μὴ κατ' ἀξίαν ἐπιμελούμενον· γονέων δὲ ἀλιγωρία, καὶ παίδων ἀμέλεια, καὶ ἀτιμία γαμετῆς, καὶ πρὸς τοὺς οἰκείους ὑπερόψια, καὶ χρημάτων ὄλεθρος, οὐδέν ἐστι πρὸς αὐτόν, ἀλλ' ἄφωνος ἐν τούτοις καὶ ἄτολμος· ὥσπερ ἀθλητὴν ἀλείπτης ἐὼν μεθύειν καὶ ἀκολασταίνειν, εἶτα περὶ ληκύθου χαλεπὸς ὢν καὶ στλεγγίδος· ἢ γραμματικὸς ἐπιπλήττων μὲν παιδὶ περὶ δέλτου καὶ γραφείου, σολοικίζοντος δὲ καὶ βαρβαρίζοντος οὐ δοκῶν ἀκούειν. Τοιοῦτος γὰρ ὁ κόλαξ, οἷος ῥήτορος φαύλου καὶ καταγελάστου μηδὲν εἰπεῖν πρὸς τὸν λόγον, ἀλλὰ περὶ τῆς φωνῆς αἰτιᾶσθαι, καὶ χαλεπῶς ἐγκαλεῖν, ὅτι τὴν ἀρετηρίαν διαφθείρει ψυχροποτῶν· καὶ σύγραμμα κελευσθεὶς ἄθλιον διελθεῖν, αἰτιᾶσθαι τὸ χαρτίον ὡς δασύ, καὶ τὸν γραφέα μιαρὸν καὶ ἀλίγωρον ἀποκαλεῖν. Οὕτως δὲ καὶ 10
Πτολεμαίῳ φιλομαθεῖν δοκοῦντι, περὶ γλώττης καὶ στιχιδίου καὶ ἱστορίας μαχόμενοι, μέχρι μεσῶν νυκτῶν ἀπέτεινον· ὠμότητι δὲ χρωμένου καὶ ὕβρει, καὶ τυμπανίζοντος καὶ τελοῦντος, οὐδεὶς ἐνέστη τῶν τοσούτων. Ὥσπερ οὖν εἴ τις ἀνθρώπου 11
σῶματα καὶ συρίγγας ἔχοντος ἰατρικῷ σμιλίῳ τὰς τρίχας τέμνοι καὶ τοὺς ὄυχας, οὕτως οἱ κόλακες τὴν παῤῥησίαν πρὸς τὰ μὴ λυποῦμενα μέρη μηδ' ἀλγοῦντα προσφέρουσιν.

ιή. Ἔτι δὲ τούτων ἕτεροι πανουργότεροι καὶ πρὸς ἡδονὴν χρῶνται τῷ παῤῥησιάζεσθαι καὶ ψέγειν. Καθάπερ Ἄγις ὁ Ἀρ- 2
γεῖος, Ἀλεξάνδρου γελωτοποιῷ τινι μεγάλας δωρεὰς δόντος, ὑπὸ φθόνου καὶ λύπης ἐξέκραγεν, Ὦ τῆς πολλῆς ἀποπίας· ἐπιστρέψαντος δὲ τοῦ βασιλέως πρὸς αὐτὸν ὀργῇ, καὶ δή, Τί σὺ λέγεις, εἰπόντος, Ὁμολογῶ, φησίν, ἄχθεσθαι καὶ ἀγανακτεῖν, ὁρῶν ὑμᾶς τοὺς ἐκ Διὸς γεγονότας ἁπαντας ὁμοίως κολάζειν ἀνθρώποις καὶ καταγελάστοις χαίροντας· καὶ γὰρ Ἡρακλῆς Κέρ-

10. Πτολεμαίῳ. — τῶν τοσούτων) αἰνίττεται ἐνταῦθα διὰ τῆς φιλοσπουδίας καὶ ἀπηνείας τὸν Ζ'. Πτολεμαῖον, τὸν Εὐεργέτην Β'. καὶ Φύσκωνα ἐπικαλούμενον. Τὰ δὲ, τυμπανίζειν καὶ τελεῖν, ἂν ἐξηγηθῶσι κατὰ τὴν συνήθη σημασίαν, εἶνε γνωστὰ παρὰ τοῦ Δ'. Πτολεμαίου τοῦ Φιλοπάτορος ἐπικαλουμένου. Ἀλλ' ἐνταῦθα δηλοῦσι τὸ μὲν πρῶτον, αὐτηρῶς κολάζειν, τὸ δὲ, σπαταλᾶν, καταδαπανᾶν.

ιή. 2. Ἄγις ὁ Ἀργεῖος) Εἷς ἐκ τῶν τοῦ Ἀλεξάνδρου κολάκων οὗτος κατὰ Κούρτ. 5,6. ἦτο δὲ οὗτος κατά τε τὸν Κούρτιον καὶ τὸν Ἀρριανὸν (Ἀναβ. Ἀλεξ. Δ'. 262 σελ.) ἐποποιός, ὡς ὁ Χοιρίλος.

— Κέρκωψ(ι). Ἴδε Ἁρποκρατ. λ. Δινδ. Σινελ. Δ', 31.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κωψί τισι, καὶ Σειληνοῖς ὁ Διόνυσος ἐτέρπετο, καὶ παρὰ σοὶ
3 τούτους ἰδεῖν ἐστιν εὐδοκιμοῦντας. Τιβερίου δὲ Καίσαρος εἰς τὴν
σύγκλητόν ποτε παρελθόντος, εἷς τῶν κολάκων ἀναστὰς ἔφη, Δεῖν
ἐλευθέρους ὄντας παῤῥησιάζεσθαι, καὶ μηδὲν ὑποστέλλεσθαι,
μηδ' ἀποσιωπᾶν τῶν συμφερόντων· ἀνατείνας δὲ πάντας οὕ-
τως, γενομένης αὐτῷ σιωπῆς, καὶ τοῦ Τιβερίου προσέχοντος,
Ἄκουσον, ἔφη, Καῖσαρ, ἅ σοι πάντες ἐγκαλοῦμεν, οὐδεὶς δὲ
τολμᾷ φανερῶς λέγειν· ἀμελεῖς σεαυτοῦ, καὶ προΐεσαι τὸ σῶ-
μα, καὶ κατατρύχεις ἀεὶ φροντίσι καὶ πόνοις ὑπὲρ ἡμῶν, οὔ-
4 τε μεθ' ἡμέραν, οὔτε νύκτωρ ἀναπαυόμενος. Πολλὰ δὲ αὐτοῦ
τοιαῦτα συνείροντος, εἰπεῖν φασι τὸν ῥήτορα Κάσσιον Σευῆρον,
Αὕτη τοῦτον ἡ παῤῥησία τὸν ἄνθρωπον ἀποκτενεῖ.

ιθ'. Καὶ ταυτὶ μὲν ἐλάττονά ἐστιν. Ἐκεῖνα δὲ ἤδη χαλεπὰ
καὶ λυμαινόμενα τοὺς ἀνοήτους, ὅταν εἰς τὰ ἐναντία πάθη καὶ
νοσήματα κατηγορῶσιν· ὥσπερ Ἱμέριος ὁ κόλαξ τῶν πλουσίων
τινὰ ἀνελευθερώτατον καὶ φιλαργυρώτατον Ἀθήνησιν ὡς ἄσω-
τον ἐλοιδόρει καὶ ἀμελῆ, καὶ πεινήσοντα κακῶς μετὰ τῶν τέ-
κνων· ἢ τοὺς ἀσώτους αὖ πάλιν καὶ πολυτελεῖς εἰς μικρολο-
γίαν καὶ ῥυπαρίαν ὀνειδίζωσιν, ὥσπερ Νέρωνα Τῖτος Πετρώ-
νιος· ἢ τοὺς ὠμῶς καὶ ἀγρίως προσφερομένους ἄρχοντας ὑπη-
κόοις ἀποθέσθαι κελεύωσι τὴν πολλὴν ἐπιείκειαν, καὶ τὸν ἄ-
2 καιρον ἔλεον καὶ ἀσύμφορον. Ὅμοιος δὲ τούτοις καὶ ὁ τὸν εὐήθη
καὶ βλάκα καὶ ἀβέλτερον ὡς δεινόν τινα καὶ πανοῦργον φυ-
λάττεσθαι καὶ δεδιέναι προσποιούμενος· καὶ ὁ τοῦ βασκάνου δὲ
καὶ τῷ κακολογεῖν ἀεὶ καὶ ψέγειν χαίροντος, ἄν ποτε προα-
χθεὶς ἐπαινέσῃ τινὰ τῶν ἐνδόξων, καθαπτόμενος καὶ ἀντιλέγων
ὡς νόσημα τοῦτο ἔχοντος, Ἀθρώπους ἐπαινεῖς μηδενὸς ἀξίους·
τίς γὰρ οὗτός ἐστιν, ἢ τί λαμπρὸν ἢ πεποίηκεν, ἢ καὶ εἴρηκε;
3 Μάλιστα δὲ περὶ τοὺς ἔρωτας τοῖς κολακευομένοις ἐπιτίθενται
4 καὶ προσεκκαίουσιν. Ἀδελφοῖς μὲν γὰρ ὁρῶντες διαφερομένους,
ἢ γονέων ὑπερφρονοῦντας, ἢ πρὸς γυναῖκας αὐτῶν ὑπεροπτικῶς
ἔχοντας, οὔτε νουθετοῦσιν, οὔτ' ἐγκαλοῦσιν, ἀλλὰ καὶ προσε-
5 πιτείνουσι τὰς ὀργάς. Οὐ γὰρ αἰσθάνῃ σαυτοῦ, καὶ σὺ τούτων
αἴτιος, ἀεὶ θεραπευτικῶς προσφερόμενος καὶ ταπεινῶς· ἐὰν δὲ

— Σειληνοῖς) Ἴδε Αἰλιαν. Π. ἱστορ. Γ'. 18.

3. Μηδὲν ὑποστέλλεσθαι . . . τῶν συμφερόντων) Ἴδιος τῶν ῥητόρων ὁ τύπος. Παράβαλε Δημοσθ. Ὀλυνθ. Α'. «Οὐ χρὴ τὴν ἰδίαν ἀτραλείαν σκοπούντα ὑποστειλάσθαί τι τῶν κοινῇ συμφερόντων.»

4. Κάσσιον Σευῆρον) Ῥήτωρ κατ' ἐκείνους τοὺς χρόνους περίφημος διὰ τὴν παῤῥησίαν.

ιθ'. Ἱμέριος ὁ κόλαξ. — Νέρωνα Τῖτος Πετρώνιος) Ὁ Ἱμέριος οὗτος ἄλλοθεν πόθεν δὲν εἶνε γνωστός. Ὁ δὲ Τῖτος Πετρώνιος εἶνε ὁ αὐτὸς τῷ παρὰ Τακίτῳ (χρονικ. ιε', 18, 19.) καλουμε-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πρὸς ἑταίραν ἢ μοιχεύτριαν ἐρωμένην κνησμός τις ἐξ ὀργῆς καὶ ζηλοτυπίας ὑπογένηται, πάρεστι μετὰ παῤῥησίας λαμπρᾶς ἡ κολακεία, πῦρ ἐπὶ πῦρ ἐπεισφέρουσα, καὶ δικαιολογουμένη, καὶ κατηγοροῦσα τοῦ ἐρῶντος, ὡς ἀνέραστα πολλὰ καὶ σκληρὰ καὶ νεμεσητὰ ποιοῦντος.

Ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων.

Οὕτως Ἀντώνιον οἱ φίλοι τῆς Αἰγυπτίας ἐρῶντα καὶ καιόμενον 6
ἀνέπειθον, ὡς ὑπ' ἐκείνης ἐρῷτο, καὶ λοιδοροῦντες ἐκάλουν ἀπα-
θῆ καὶ ὑπερήφανον. Ἡ μὲν γυνὴ καταλιποῦσα βασιλείαν τοσαύ- 7
την καὶ διατριβὰς εὐδαίμονας, φθείρεται μετὰ σοῦ στρατευο-
μένη, σχῆμα παλλακίδος ἔχουσα·

Σοὶ δέ τις ἐν στήθεσσιν ἀκήλητος νόος ἐστὶ,

καὶ περιορᾷς αὐτὴν ἀνιωμένην. Ὁ δ' ἡδέως ἐξελεγχόμενος ὡς 8
ἀδικῶν, καὶ τοῖς κατηγοροῦσι χαίρων, ὡς οὐδὲ τοῖς ἐπαινοῦσιν,
ἐλάνθανε τῷ νουθετεῖν δοκοῦντι προσδιαστρεφόμενος. Ἔοικε γὰρ 9
ἡ τοιαύτη παῤῥησία τοῖς τῶν ἀκολάστων δήγμασι γυναικῶν,
ἐγείρουσα καὶ γαργαλίζουσα τῷ δοκοῦντι λυπεῖν τὸ ἡδόμενον.
Καὶ καθάπερ τὸν ἄκρατον ἄλλως βοηθοῦντα πρὸς τὸ κώνειον, ἀν 10
ἐμμίξωσι προσβάλλοντες αὐτῷ, κομιδῆ ποιοῦσι τὴν τοῦ φαρ-
μάκου δύναμιν ἀβοήθητον, ἐξέως ἀναφερομένην ἐπὶ τὴν καρ-
δίαν ὑπὸ θερμότητος· οὕτως τὴν παῤῥησίαν ἐπιστάμενοι μέγα
βοήθημα πρὸς τὴν κολακείαν οὖσαν οἱ πονηροὶ, δι' αὐτῆς κο-
λακεύουσι τῆς παῤῥησίας. Ὅθεν οὐδὲ ὁ Βίας ἀπεκρίνατο κα- 11
λῶς τῷ πυθομένῳ, τί τῶν ζώων χαλεπώτατόν ἐστιν, ἀποκρι-
νάμενος, ὅτι τῶν μὲν ἀγρίων ὁ τύραννος, τῶν δὲ ἡμέρων ὁ κό-
λαξ. Ἀληθέστερον γὰρ ἦν εἰπεῖν, ὅτι τῶν κολάκων ἥμεροι μὲν 12
εἰσιν οἱ περὶ τὸ βαλανεῖον οὗτοι καὶ περὶ τὴν τράπεζαν· ὁ δὲ
εἰς τὰ δωμάτια καὶ τὴν γυναικωνῖτιν ἐκτείνων, ὥσπερ πλεκτά-
νας, τὸ πολυπράγμον καὶ διάβολον καὶ κακόηθες, ἄγριος καὶ
θηριώδης καὶ δυσμεταχείριστος.

νῳ ἑταίρῳ τοῦ Νέρωνος, καὶ ἀποθανόντι κατὰ διαταγὴν αὐτοῦ.

5. Πῦρ ἐπὶ πῦρ) κοινοτάτη παροιμία· διασώζεται δὲ καὶ παρ' ἡμῖν. διότι λέγομεν «Φωτίαν ἐπάνω εἰς τὴν φωτίαν.»

— Ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων) Αἰσχείλης ὁ στίχος ἐξ ἀπολωλότος δράματος, «οἱ Μυρμιδόνες.»

6. Ἀντώνιον. — Ἐρῶντα) Ἴδε Ἀντωνίου.

7. Σοὶ δέ τις ἐν στήθεσσιν) Ὀδυσσ. Κ, 329.

11. Βίας. — τῶν ἡμέρων ὁ κόλαξ) Ἐν δὲ τῷ συμποσίῳ τῶν Σοφῶν εἰς τὸν Πιττακὸν ἀποδίδει τοῦτο· ὅμοιον ἀπεκρίθη καὶ Διογένης ὁ Κυνικὸς κατὰ Λαέρτ. ς', 51. πρὸς δὲ τούτοις καὶ Θεόκριτος ὁ Χῖος παρὰ Στοβ. Β', σελ. 31. ἀπεκρίθη. «Θεόκριτος ἐρωτηθεὶς ποῖα τῶν θηρίων ἐστὶ χαλεπώτατα; εἶπεν, ἐν μὲν τοῖς ὄρεσιν ἄρκτοι καὶ λέοντες, ἐν δὲ ταῖς πόλεσιν τελῶναι καὶ συκοφάνται.»

12. Ὥσπερ πλεκτάνας) Ὑπεννοεῖται τὸ πολύποδος· ὡς ἄλλοθι λέγει. «Τοῦ ἡγεμονικοῦ ἑπτὰ εἰσὶ μέρη τῆς ψυχῆς ἐκπ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κ'. Εἷς δέ τις ἔοικε τρόπος εἶναι φυλακῆς, τὸ γινώσκειν καὶ μνημονεύειν ἀεί, ὅτι τῆς ψυχῆς τὸ μὲν ἀληθινὸν καὶ φιλόκαλον καὶ λογικὸν ἐχούσης, τὸ δὲ ἄλογον καὶ φιλοψευδὲς καὶ παθητικόν, ὁ μὲν φίλος ἀεὶ τῷ κρείττονι πάρεστι σύμβουλος καὶ συνήγορος, ὥσπερ ἰατρὸς τὸ ὑγιαῖνον αὔξων καὶ διαφυλάττων· ὁ δὲ κόλαξ τῷ παθητικῷ καὶ ἀλόγῳ παρακάθηται, καὶ τοῦτο κνᾷ καὶ γαργαλίζει καὶ ἀναπείθει καὶ ἀφίστησι τοῦ λογισμοῦ, μηχανώμενος αὐτῷ πονηράς τινας ἡδυπαθείας. Ὥσπερ οὖν τῶν σιτίων ἔστιν ἃ μήτε αἵματι προσφύεται, μήτε πνεύματι, μήτε νεύροις τινὰ τόνον ἢ μυελοῖς προστίθησιν, ἀλλ' αἰδοῖα παρακινεῖ, κοιλίαν ἐγείρει, καὶ σάρκα ποιεῖ σαθρὰν καὶ ὕπουλον· οὕτως ὁ τοῦ κόλακος λόγος οὐδὲν τῷ σωφρονοῦντι καὶ λογιζομένῳ προστίθησιν, ἀλλ' ἡδονήν τινα τιθασσεύων ἔρωτος, ἢ θυμὸν ἐντείνων ἀνόητον, ἢ διερεθίζων ῥθόνον, ἢ φρονήματος ὄγκον ἐμποιῶν ἐπαχθῆ καὶ κενόν, ἢ λύπῃ συνεπιθρηνῶν, ἢ τὸ κακόηθες καὶ ἀνελεύθερον καὶ ἄπιστον, ἀεί τισι διαβολαῖς καὶ προαισθήσεσι δριμὺ καὶ ψοφοδεὲς ποιῶν καὶ ὕποπτον, οὐ διαφεύξεται τοὺς προσέχοντας. Ἀεὶ γὰρ ὑφορμεῖ τινι πάθει, καὶ τοῦτο πιαίνει, καὶ πάρεστι βουβῶνος δίκην ἑκάστοτε τοῖς ὑπούλοις καὶ ῥλεγμαίνουσι τῆς ψυχῆς ἐπιγινόμενος. Ὀργίζῃ; κόλασον. Ἐπιθυμεῖς; ὤνησαι. Φοβῇ; φύγωμεν. Ὑπονοεῖς; πίστευον. Ἂν δὲ περὶ ταῦτα δυσφόρατος ᾖ τὰ πάθη, διὰ σφοδρότητα καὶ μέγεθος ἐκκρουομένου τοῦ λογισμοῦ, περὶ τὰ λοιπὰ λαβὴν παρέξει μᾶλλον, ὅμοιος ὤν. Καὶ γὰρ ἐν ὑποψίᾳ κραιπάλης τινὸς ἢ πλησμονῆς γενόμενον, καὶ διστάζοντα περὶ λουτροῦ καὶ τροφῆς, ὁ μὲν φίλος ἐφέξει, φυλάττεσθαι καὶ προσέχειν παραινῶν· ὁ δὲ κόλαξ εἰς τὸ βαλανεῖον ἕλκει, καὶ κελεύει νεαρόν τι παρατιθέναι, καὶ μὴ κακοῦν ἀνατάσει τὸ σῶμα. Καὶ πρὸς ὁδὸν ἢ πλοῦν ἤ τινα πρᾶξιν ὁρῶν ἀπομαλθακιζόμενον, οὐ φήσει πατεπείγειν τὸν καιρόν, ἀλλὰ ταὐτὸν ποιήσειν ὑπερθεμένους, ἢ πέμψαντας ἕτερον. Ἂν δὲ ὑπεσχημένος ἀργύριον οἰκείῳ τινὶ δανείσειν ἢ ἐπιθώσειν, μεταμέλῃται μέν, αἰδῆται δὲ τῇ χείρονι ῥοπῇ προστιθεὶς ἑαυτὸν ὁ κόλαξ ἐπεῤῥώσε τὴν εἰς τὸ βαλάντιον γνώμην, καὶ τὸ δυσωπούμενον ἐξέκοψεν, ὡς ἀναλίσκοντα πολλὰ, καὶ πολλοῖς ἀρκεῖν ἐθέλοντα, φείδεσθαι κελεύων. Ὅθεν, εἰ μὴ λανθάνωμεν ἑαυτοὺς ἐπιθυμοῦντες, ἀναισχυντοῦντες, ἀποδειλιῶντες, οὐ λήσεται ἡμᾶς ὁ κόλαξ. Ἔστι γὰρ ὁ συνήγορῶν ἀεὶ τούτοις τοῖς πάθεσι, καὶ

φυκότα καὶ ἐκτεινόμενα εἰς τὸ σῶμα, καθάπερ αἱ τοῦ πολυπόδος πλεκτάναι.

κ'. 6. Ἀνατάσει) Ἀνάτασις δηλοῖ ἀποχὴ, ἐγκράτεια.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

περὶ τὰς τούτων ἐκβάσεις παῤῥησιαζόμενος. Ταῦτα μὲν οὖν ἱκανὰ περὶ τούτων.

κά. Ἐπὶ δὲ τὰς χρείας καὶ τὰς ὑπουργίας ἴωμεν ἤδη· καὶ γὰρ ἐν ταύταις πολλὴν ἀπεργάζεται σύγχυσιν καὶ ἀσάφειαν ὁ κόλαξ τῆς πρὸς τὸν φίλον διαφορᾶς, ἄδηλος δοκῶν εἶναι καὶ πρόθυμος ἐν πᾶσι καὶ ἀπροφάσιστος. Ὁ γὰρ τοῦ φίλου τρό- 2
πος, ὥσπερ ὁ τῆς ἀληθείας μῦθος, ἁπλοῦς ἐστι κατ' Εὐριπίδην καὶ ἀφελὴς καὶ ἄπλαστος· ὁ δὲ τοῦ κόλακος ὄντως

Νοσῶν ἐν αὐτῷ, φαρμάκων δεῖται σοφῶν,

καὶ πολλῶν νὴ Δία καὶ περιττῶν. Ὥσπερ οὖν ἐν ταῖς ἀπαν- 3
τήσεσιν ὁ μὲν φίλος ἔστιν ὅτε μήτε εἰπὼν μήτε ἀκούσας μηδὲν, ἀλλὰ προσβλέψας καὶ μειδιάσας, τὸ εὐμενὲς καὶ τὸ οἰκεῖον ἔνδοθεν διδοὺς ταῖς ὄψεσι καὶ δεξάμενος, παρῆλθεν, ὁ δὲ κόλαξ τρέχει, καταδιώκει, δεξιοῦται πόῤῥωθεν, ἂν προσαγορευθῇ πρότερον ὀφθείς, ἀπολογεῖται μετὰ μαρτύρων καὶ ὅρκων πολλάκις· οὕτως ἐν ταῖς πράξεσι πολλὰ παραλείπουσιν οἱ φίλοι τῶν μικρῶν, οὐκ ἐξακριβοῦντες, οὐδὲ πολυπραγμονοῦντες οὐδὲν, οὐδὲ ἑαυτοὺς εἰς πᾶσαν ὑπουργίαν ἐμβάλλοντες· ἀλλ' ἐκεῖνος ἐνταῦθα συνεχὴς καὶ ἐνδελεχὴς καὶ ἄτρυτος, οὐ διδοὺς ἑτέρῳ τόπον οὐδὲ χώραν διακονίας, ἀλλὰ βουλόμενος κελεύεσθαι, κἂν μὴ κελευσθῇ, δακνόμενος, μᾶλλον δὲ ὅλως ἐξαθυμῶν καὶ ποτνιώμενος.

κδ'. Ἔστι μὲν οὖν καὶ ταῦτα δηλώματα τοῖς νοῦν ἔχουσιν, οὐκ ἀληθινῆς φιλίας οὐδὲ σώφρονος, ἀλλ' ἑταιρούσης καὶ περιπλεκομένης ἑτοιμότερον τῶν δεομένων. Οὐ μὴν ἀλλὰ δεῖ πρῶ- 2
τον ἐν ταῖς ἐπαγγελίαις σκοπεῖν τὴν διαφοράν· Εὖ γὰρ εἴρηται 3
καὶ τοῖς πρὸ ἡμῶν, φίλου μὲν ἐκείνην εἶναι τὴν ἐπαγγελίαν,

Εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστί,

Κόλακος δὲ ταύτην,

Αὔθα, ὅ,τι φρονέεις. —

καὶ γὰρ οἱ κωμικοὶ, τοιούτους εἰσάγουσιν,

Ἐμὲ, Νικόμαχε, πρὸς τὸν στρατιώτην τάξατε,
Ἂν μὴ ποιήσω πέπονα μαστίγων ὅλον,

---

10. Ἐκβάσεις) Ἡ σημασία τῆς λέξεως ταύτης ἀποβάσ. δὲν ἁρμόζει ἐνταῦθα. Ὅθεν γραπτέον ἐνστάσεις· ἡ δὲ λέξις αὕτη εἶνε μᾶλλον Ἰατροῖς ἰδία, καὶ τῷ Πλουτάρχῳ ἐκ μεταφορᾶς.

κά. 2. Ὁ γὰρ τοῦ φίλου τρόπος — κατ' Εὐριπίδην) Αὕτη εἶνε ἡ καλλίστη γνώμη τοῦ Εὐριπίδου, ἐν Φοινίσσαις 472.

«Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔχυ,
Κοὐ ποικίλων δεῖ τὰ ἀδικ' ἑρμηνευμάτων,

Ἔχει γὰρ αὐτὰ καιρὸν ὁ δ' ἀδίκος λόγος,
Νοσῶν ἐν αὐτῷ, φαρμάκων δεῖται σοφῶν.»

κδ'. 3. Εἰ δύναμαι τελέσαι γε —) Ἰλιάδ. Ξ. 195. Σ. 426. καὶ Ὀδύσσ. Ε'. 89. ὅπου ἀμφότεροι οἱ στίχοι ὑπὸ τοῦ αὐτοῦ προσώπου λέγονται, μὲ τῷ πρότερον δὲ συμφωνεῖ καὶ τὸ Εὐριπίδειον, Ἴων 1020. «Σὸν λέγειν, τοὐμὸν δ' ἐμόν.» — Ἐμὲ, Νικόμαχε,) Ἐκ τῆς Μενάν-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ἂν μὴ ποιήσω σποῦδαιας μαλακώτερον
Τὸ πρόσωπον.

4 Ἔπειτα τῶν μὲν φίλων οὐδεὶς γίνεται συνεργὸς, εἰ μὴ γένηται σύμβουλος πρότερον, ἀλλ' ὅταν δοκιμάσῃ καὶ συγκαταστήσῃ τὴν πρᾶξιν, ἢ τὸ πρέπον ἢ τὸ συμφέρον· ὁ δὲ κόλαξ, κἂν ἀποδῷ τις αὐτῷ τὸ συνδοκιμάσαι καὶ συναποφήνασθαι περὶ τοῦ πράγματος, οὐ μόνον ὑπείκειν καὶ χαρίζεσθαι βουλόμενος, ἀλλὰ καὶ δεδῶς ὑποψίαν ὀκνοῦντος παρέχειν καὶ φεύγοντος τὸ
5 ἔργον, ἐνδίδωσι καὶ συνεξορμᾷ τῇ ἐπιθυμίᾳ. Οὐδεὶς γάρ ἐστι ῥᾳδίως πλούσιος οὐδὲ βασιλεὺς, οἷος εἰπεῖν,

Ἐμοὶ γὰρ εἴη πτωχός, εἰ δὲ βούλεται,
Πτωχοῦ κακίων, ὅστις ὢν εὔνους ἐμοὶ,
Φόβον παρελθὼν τἀπὸ καρδίας ἐρεῖ.

Ἀλλ' ὥσπερ οἱ τραγῳδοὶ χοροῦ δέονται φίλων συναδόντων, ἢ
6 θεάτρου συνεπικροτοῦντος. Ὅθεν ἡ μὲν τραγικὴ Μερόπη παραινεῖ,

Φίλους δὲ τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις
Κέκτησο, τοὺς δὲ πρὸς χάριν σὺν ἡδονῇ
Τῇ σῇ πονηροὺς κλεῖθρον εἰργέτω στέγης.

7 Οἱ δὲ τοὐναντίον δρῶσι· τοὺς μὲν μὴ χαλῶντας ἐν λόγοις, ἀλλ' ἀντιβαίνοντας ὑπὲρ τοῦ συμφέροντος, ἀφοσιοῦνται· τοὺς δὲ πρὸς χάριν, πονηροὺς καὶ ἀνελευθέρους καὶ γόητας, οὐ μόνον κλείθρων καὶ στέγης ἐντὸς, ἀλλὰ καὶ παθῶν καὶ πραγμάτων ἀποῤῥή-
8 των λαμβάνουσιν. Ὧν ὁ μὲν ἁπλούστερος οὐκ οἴεται δεῖν οὐδ' ἀξιοῖ σύμβουλος εἶναι πραγμάτων τηλικούτων, ἀλλ' ὑπουργὸς καὶ διάκονος· ὁ δὲ πανουργότερος, ἔστι μὲν ἐν τῷ συνδιαπορεῖν καὶ τὰς ὀφρῦς συνέχειν, καὶ συνδιανεύειν τῷ προσώπῳ, λέγει δὲ οὐδέν· ἂν δ' ἐκεῖνος εἴπῃ τὸ φαινόμενον, Ὦ Ἡράκλεις, ἔφθης με, φησὶ, μικρὸν εἰπὼν, ἐγὼ γὰρ αὐτὸ τοῦτο λέγειν ἔμελ-
9 λον. Ὡς γὰρ οἱ μαθηματικοὶ τὰς ἐπιφανείας καὶ τὰς γραμμὰς λέγουσι μήτε κάμπτεσθαι, μήτε διατείνεσθαι, μήτε κινεῖσθαι καθ' ἑαυτὰς, νοητὰς καὶ ἀσωμάτους οὔσας, συγκάμπτεσθαι δὲ καὶ συνδιατείνεσθαι καὶ συμμεθίστασθαι τοῖς σώμασιν, ὧν πέρατά εἰσιν· οὕτω τὸν κόλακα φωράσεις, ἀεὶ συνεπιφάσκοντα, καὶ συνεπιφαινόμενον, καὶ συναισθανόμενον, καὶ συνοργιζόμενον·

δρου κωμῳδίας Κόλαξ, ἐπιγραφομένης, εἶνε ἀναμφιβόλως οἱ στίχοι οὗτοι, πέπων δὲ δηλοῖ μαλακόν· ἄλλοτε δὲ εὑρίσκεται μετὰ τοῦ «σικύος.»

4. Συγκαταστήσῃ τὴν πρᾶξιν ἢ τὸ πρέπον) διόρθου γράφων, εἰς τὸ πρέπον.

5. Ἐμοὶ γὰρ εἴη πτωχὸς) Εὐριπίδειος ὁ στίχος, ἀλλ' ἐξ ἀγνώστου τραγῳδίας.

9. Οἱ μαθηματικοὶ τὰς ἐπιφανείας) Τὴν αὐτὴν ὁμοίωσιν μεταχειρίζεται καὶ ἐν τῇ διατριβῇ πρὸς σύζυγον. «Δεῖ δέ, ὥσπερ οἱ γεωμέτραι λέγουσι τὰς γραμμὰς καὶ τὰς ἐπιφανείας οὐ κινεῖσθαι καθ' ἑαυτάς, ἀλλὰ συγκινεῖσθαι τοῖς σώμασιν, οὕτω τὴν γυναῖκα μηδὲν ἴδιον πάθος ἔχειν, ἀλλὰ κοινωνεῖν τῷ ἀνδρὶ καὶ σπουδῆς, καὶ παιδιᾶς, καὶ συνουσίας, καὶ γέλωτος.»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὥστε παντελῶς ἔν γε τούτοις εὐφώρατον εἶναι τὴν διαφοράν.
Ἔτι δὲ μᾶλλον ἐν τῷ τρόπῳ τῆς ὑπουργίας. Ἡ μὲν γὰρ παρὰ 10
τοῦ φίλου χάρις, ὥσπερ ζῶον ἐν βάθει τὰς κυριωτάτας ἔχει
δυνάμεις, ἐπιδεικτικὸν δὲ καὶ πανηγυρικὸν οὐδὲν ἔπεστιν· ἀλλὰ
πολλάκις ὥσπερ ἰατρὸς λαθὼν ἐθεράπευσε, καὶ φίλος ὠφέλησεν
ἐντυχών, ἢ διαλυσάμενος, ἀγνοοῦντος ἐπιμεληθείς. Τοιοῦτος Ἀρ- 11
κεσίλαος περί τε τὰ ἄλλα, καὶ νοσοῦντος Ἀπελλοῦ τοῦ Χίου
τὴν πενίαν καταμαθών, ἐπανῆλθεν μὲν αὖθις ἔχων εἴκοσι δραχ-
μάς, καὶ καθίσας πλησίον, ἐνταῦθα μέν, εἶπεν, οὐδέν, ἢ τὰ
Ἐμπεδοκλέους στοιχεῖα ταυτί,

Πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ αἰθέρος ἤπιον ὕψος.

ἀλλ' οὐδὲ κατάκεισαι σὺ δεξιῶς· ἅμα δὲ διακινῶν τὸ προσκε-
φάλαιον αὐτοῦ, λαθὼν ὑπέβαλε τὸ κερμάτιον. Ὡς οὖν ἡ δια- 12
κονοῦσα πρεσβῦτις εὗρε, καὶ θαυμάσασα τῷ Ἀπελλῇ προσήγ-
γειλε, γελάσας ἐκεῖνος, Ἀρκεσιλάου, εἶπε, τουτὶ τὸ κλέμμα.
Καὶ μὴν ἐοικότα γε τέκνα φύεται γονεῦσιν ἐν φιλοσοφίᾳ. Λα- 13
κύδης γοῦν ὁ Ἀρκεσιλάου γνώριμος ἀπ' εἰσαγγελίας φεύγοντι
δίκην Κηφισοκράτει μετὰ τῶν ἄλλων φίλων παρειστήκει· τοῦ
δὲ κατηγόρου τὸν δακτύλιον αἰτήσαντος, ὁ μὲν ἡσυχῇ παρακα-
θῆκεν, αἰσθόμενος δὲ ὁ Λακύδης ἐπέβη τῷ ποδί, καὶ ἐπέκρυ-
ψεν· ἦν δὲ ὁ ἔλεγχος ἐν ἐκείνῳ· μετὰ δὲ τὴν ἀπόφευξιν, τοῦ
Κηφισοκράτους διεξιόντος τοὺς δικαστάς, εἴς τις, ὡς ἔοικεν,
ἑωρακὼς τὸ γενόμενον, ἐκέλευσε Λακύδῃ χάριν ἔχειν, καὶ τὸ
πρᾶγμα διηγήσατο, τοῦ Λακύδου πρὸς μηδένα φράσαντος.
Οὕτως οἶμαι καὶ τοὺς θεοὺς εὐεργετεῖν τὰ πολλὰ λανθάνοντας, 14

---

10. Ὥσπερ ζῶον ἐν βάθει) Δύναται δὲ καὶ ὧδν νὰ γράφηται ἀντὶ ζῶον· τοῦτο δὲ προῆλθεν ἀπὸ τὴν πρὸς τὸ ζῶον καὶ ὧδν ὁμοίωσιν τῆς φιλοσοφίας ὑπὸ τῶν Στωϊκῶν· Ἴδε Διογ. Λαέρτ. Ζ, 40. Ὁ δὲ Σῆξτος ἐμπειρικὸς λέγει. « Οἱ δὲ ὠῷ φασιν αὐτὴν εἶναι παραπλήσιον. Ἐῴκει γὰρ τῇ μὲν λεκίθῳ, ἥν τινες νεοττὸν ὑπάρχειν λέγουσι, τὰ ἠθικὰ· τῷ δὲ λευκῷ, ὃ δὴ τροφή ἐστι τῆς Λεκίθου, τὰ φυσικά· τῷ δ' ἔξωθεν ὀστρακώδει τὰ λογικά· ὁ δὲ Ποσειδώνιος —ζῷῳ μᾶλλον εἰκάζειν ἠξίου τὴν φιλοσοφίαν, αἵματι μὲν καὶ σαρξὶ τὸ φυσικὸν, ὀστέοις δὲ καὶ νευροῖς τὸ λογικόν, ψυχῇ δὲ τὸ ἠθικόν.»

11. Τοιοῦτος Ἀρκεσίλαος — κλέμμα) Ταῦτα δὲ λέγει ὁ Λαέρτιος ἐν τῷ αὐτοῦ βίῳ Δ'. 37. «Καὶ εὐεργετῆσαι πρόχειρος ἦν, καὶ λαβεῖν τὴν χάριν ἀτυφότατος. Εἰσελθὼν οὖν ποτε πρὸς Κτησίβιον νοσοῦντα, καὶ ἰδὼν ἀπορίᾳ θλιβόμενον, κρύφα βαλάντιον ὑπέθηκε τῷ προσκεφαλαίῳ· καὶ ὃς εὑρών, Ἀρκεσιλάου, φησί, τὸ παίγνιον.» ὁ δὲ στίχος, πῦρ . . . . εἶνε τοῦ Ἐμπεδοκλέους.

13. Ἐοικότα γε τέκνα φύεται γονεῦσιν ἐν φιλοσοφίᾳ) Κατὰ τὸν Ἡσίοδου στίχον ἔργ. κ. Ἡμ. 235. ὅπου μεταξὺ τῶν εἰς τοὺς δικαίους περὶ τῶν θεῶν διδομένων ἀγαθῶν συγκαταλέγει καὶ τοῦτο·

«Τίκτουσι δὲ γυναῖκες ἐοικότα τέκνα γονεῦσι.»

τὸδὲ ἐναντίον ἦτο κατάρα Αἰσχίνου κατὰ Κτησιφ. «ἐπεύχεται αὐτοῖς μηδὲ γῆν καρπὸυς φέρειν, μήτε γυναῖκας τέκνα τίκτειν γονεῦσιν ἐοικότα, ἀλλὰ τέρατα.» Ἴδε Θεόκριτ. ιζ'. 44.

— Λακύδης — φράσαντος) Διάδοχος τοῦ Ἀρκεσιλάου ὁ Λακύδης. Ἴδε δὲ περὶ τούτου Διογ. Λαέρτ. Δ, 59—61. ἀλλ' οὐδέν, οὔτε οὗτος, οὔτε ἄλλος λέγει περὶ τοῦ Κηφισοκράτους τούτου.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

αὐτῷ τῷ χαρίζεσθαι, καὶ εὖ ποιεῖν, φύσιν ἔχοντας ἥδεσθαι.
15 Τοῦ δὲ τοῦ κόλακος ἔργον οὐδὲν ἔχει δίκαιον, οὐδ' ἀληθινόν, οὐδ' ἁπλοῦν, οὐδ' ἐλευθέριον· ἀλλ' ἱδρῶτα, καὶ διαδρομήν, καὶ κραυγήν, καὶ σύνταστν προσώπου, ποιοῦσαν ἔμφασιν καὶ δόκησιν ἐπιπόνου χρείας καὶ κατεσπευσμένης, ὥσπερ ζωγράφημα περίεργον ἀναιδέσι φαρμάκοις καὶ κεκλασμέναις στολίσι καὶ ῥυτίσι
16 καὶ γωνίαις, ἐναργείας φαντασίαν ἐπαγόμενον. Ἔστι δὲ καὶ διηγούμενος ἐπαχθής, ὡς ἔπραξε πλάνας τινάς ὑπὲρ αὐτοῦ καὶ φροντίδας, εἶτα ἀπεχθείας πρὸς ἑτέρους, εἶτα πράγματα μυρία καὶ πάθη μεγάλα διεξιών, ὥστ' εἰπεῖν, Οὐκ ἄξια ταῦτα ἐκείνων.
17 Πᾶσα μὲν γὰρ ἐνειδιζομένη χάρις ἐπαχθὴς καὶ ἄχαρις καὶ οὐκ ἀνεκτή· ταῖς δὲ τῶν κολάκων οὐχ ὕστερον, ἀλλὰ πραττομέναις
18 ἔνεστιν εὐθὺς τὸ ἐπονείδιστον καὶ δυσωποῦν. Ὁ δὲ φίλος, κἂν εἰπεῖν δέῃ τὸ πρᾶγμα, μετρίως ἀπήγγειλε, περὶ αὐτοῦ δὲ εἶπεν
29 οὐδέν. Ὁ δὴ καὶ Λακεδαιμόνιοι Σμυρναίοις δεομένοις σῖτον πέμψαντες, ὡς ἐθαύμαζον ἐκεῖνοι τὴν χάριν, Οὐδέν, ἔφασαν, μέγα· μίαν γὰρ ἡμέραν ψηφισάμενοι τὸ ἄριστον ἀφελεῖν ἑαυτῶν καὶ
20 τῶν ὑποζυγίων, ταῦτα ἠθροίσαμεν. Οὐ γὰρ μόνον ἐλευθέριος ἡ τοιαύτη χάρις, ἀλλὰ καὶ τοῖς λαμβάνουσιν ἡδίων, ὅτι τοὺς ὠφελοῦντας οὐ μεγάλα βλάπτεσθαι νομίζουσιν.

κγ. Οὐ τοίνυν μάλιστα τῷ περὶ τὰς ὑπουργίας ἐπαχθεῖ τοῦ κόλακος, οὐδὲ τῇ περὶ τὰς ἐπαγγελίας εὐχερείᾳ γνοίη τίς ἂν τὴν φύσιν, ἀλλὰ μᾶλλον ἐν τῷ καλῷ τῆς χρείας, ἢ αἰσχρῷ, καὶ
2 διαφέροντι πρὸς ἡδονὴν ἢ ὠφέλειαν. Ὁ μὲν γὰρ φίλος οὐχ, ὥσπερ ἀπεφαίνετο Γοργίας, αὐτῷ μὲν ἀξιώσει τὰ δίκαια τὸν φίλον ὑπουργεῖν, ἐκείνῳ δ' αὐτὸς ὑπηρετήσει πολλὰ καὶ τῶν μὴ δικαίων.
3 Συσσωφρονεῖν γὰρ, οὐχὶ συννοσεῖν ἔφυ.

Μᾶλλον οὖν ἐκεῖνον ἀποστρέψει τῶν μὴ προσηκόντων· ἂν δὲ μὴ πείθῃ, καλὸν τὸ Φωκίωνος πρὸς Ἀντίπατρον, Οὐ δύνασαί μοι

---

16. Ἔπραξε πλάνας. . . . ἀπεχθείας.) Πλατωνίζει ἤδη ὁ λόγος. Ἀπολογ. Σωκρ. «Δεῖ δὴ ὑμῖν τὴν ἐμὴν πλάνην ἐπιδεῖξαι, ὥςπερ πόνους τινὰς πονοῦντος.» καὶ αὐτόθι παρακατιέν. «Ἐν ταύτῃ ἤδη τῆς ἐξετάσεως, ὦ ἄνδρες Ἀθηναῖοι, πολλαὶ μὲν ἀπέχθειαί μοι γεγόνασι, καὶ οἷαι χαλεπώταται καὶ βαρύταται.»

19. Λακεδαιμόνιοι Σμυρναίοις δεομένοις σῖτον πέμψαντες) Εἰς τὸ Οἰκονομικῶν β'. βιβλίον, κεφ. Θ'. τοῦ Ἀριστοτέλους ἀναγινώσκονται τὰ ἑξῆς « Λακεδαιμόνιοι, Σαμίων δεηθέντων χρήματα αὐτοῖς εἰς τὴν κάθοδον δοῦναι, ἐψηφίσαντο μίαν ἡμέραν καὶ αὐτοὺς καὶ τοὺς οἰκέτας καὶ τὰ ὑποζύγια νηστεῦσαι· ὅσον δὲ ἑδαπάνα ἕκαστος, τοσοῦτον δοῦναι τοῖς Σαμίοις.» Ἰδε καὶ Αἰλ. Π. ἱστορ. Ε, 20. Τὸ δὲ Σάμιοι καὶ Σμυρναῖοι συγχέονται ὑπὸ τῶν ἀντιγραφέων.

κγ'. 3. Συσσωφρονεῖν) Εὐριπίδειον τὸ ῥητὸν τοῦτο ἐξελέγχεται ἐκ τοῦ εἴδους ὁμοιότατον δὲ τούτῳ ἀναγινώσκεται ἐν Ἰφιγ. ἐν Αὐλίδ. 407. « Συσσωφρονεῖν σοι βούλομ', ἀλλ' οὐ συννοσεῖν.» Τῆς αὐτῆς δὲ ἐννοίας ἔχεται καὶ τὸ ἀποδιδόμενον τοῦτο εἰς τὸν Ἀλκαῖον. «Σὺν μοι πῖνε, συνήβα, συνέρα, συστεφανοφόρει, Σὺν μοι μαινομένῳ μαίνεο, Συσσωφρονήσω σώφρονι.»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

καὶ φίλῳ χρῆσθαι καὶ κόλακι, τοὐτέστι καὶ φίλῳ καὶ μὴ φίλῳ.
Συνεργεῖν γὰρ δεῖ τῷ φίλῳ, μὴ συμπανουργεῖν· καὶ συμβου- 4
λεύειν, μὴ συνεπιβουλεύειν· καὶ συμμαρτυρεῖν, μὴ συνεξαπατᾶν·
καὶ συνατυχεῖν νὴ Δία, μὴ συναδικεῖν. Οὐδὲ γὰρ τὸ συνειδέ- 5
ναι τοῖς φίλοις τὰ αἰσχρὰ, πόθεν γε δὴ τὸ συμπράττειν καὶ
συνασχημονεῖν αἱρετόν ἐστιν; Ὥσπερ οὖν Λακεδαιμόνιοι μάχῃ 6
κρατηθέντες ὑπ' Ἀντιπάτρου, καὶ ποιούμενοι διαλύσεις, ἠξίουν
ὅ,τι βούλεται ζημιῶδες, αἰσχρὸν δὲ μηδὲν ἐπιττάτειν αὐτοῖς·
οὕτως ὁ φίλος καὶ τοιοῦτος. Ἂν μέν τις ἢ δαπάνην ἢ κίνδυνον 7
ἢ πόνον ἔχουσα χρεία καταλαμβάνῃ, πρῶτος ἀξιῶν καλεῖσθαι
καὶ μετέχειν ἀπροφασίστως καὶ προθύμως· ὅπου δὲ πρόσεστιν
αἰσχύνη μόνον, ἐὰν καὶ φείδεσθαι παραιτούμενος. Ἀλλ' ἥ γε 8
κολακεία τοὐναντίον, ἐν μὲν ταῖς ἐπιπόνοις καὶ κινδυνώδεσιν ὑ-
πουργίαις ἀπαγορεύει· κἂν διαπειρώμενος κρούσῃς, σαθρὸν ἔκ-
τινος προφάσεως ὑπηχεῖ καὶ ἀγεννές· ἐν δὲ ταῖς αἰσχραῖς καὶ
ταπειναῖς καὶ ἀδόξοις διακονίαις ἀπόχρησαι, πάτησον· οὐδὲν
ἡγεῖται δεινόν, οὐδὲ ὑβριστικόν. Ὁρᾷς τὸν πίθηκον; οὐ δύναται 9
τὴν οἰκίαν φυλάττειν, ὡς ὁ κύων, οὐδὲ βαστάζειν, ὡς ὁ ἵππος,
οὐδὲ ἀροῦν τὴν γῆν, ὡς οἱ βόες· ὕβριν οὖν φέρει καὶ βωμολοχίαν,
καὶ παιδιᾶς ἀνέχεται, γέλωτος ὄργανον ἐμπαρέχων ἑαυτόν. Οὕτω 10
δὴ καὶ ὁ κόλαξ, οὐ συνειπεῖν, οὐ συνεισενεγκεῖν, οὐ συναγωνίσασθαι
δυνάμενος, πόνου δὲ καὶ σπουδῆς ἁπάσης ἀπολειπόμενος, ἐν
ταῖς ὑπὸ μάλης πράξεσιν ἀπροφάσιστός ἐστι καὶ πιστὸς ἔρωτος
ὑπηρέτης, καὶ περὶ λύσιν πορνῆς ἀκριβής, καὶ πότου δαπάνης
ἐκκαθᾶραι λογισμὸν οὐκ ἀμελής, οὐδὲ ῥάθυμος ἐν δείπνων πα-
ρασκευαῖς, θεραπευτικὸς δὲ παλλακίδων· πρὸς δὲ κηδεστὰς ἀπο-
θρασύνεσθαι κελευσθείς, καὶ συνεκβαλεῖν γαμετήν, ἄτεγκτος καὶ
ἀδυσώπητος. Ὥστε μηδὲ ταύτῃ δυσφώρατον εἶναι τὸν ἄνδρα.
Προσταττόμενος γάρ, ὅ,τι βούλει τῶν ἀδόξων καὶ μὴ καλῶν, ἕ- 11
τοιμος ἀφειδεῖν ἑαυτοῦ, τῷ προστάττοντι χαριζόμενος.

---

6. Λακεδαιμόνιοι μάχῃ κρατηθέντες ὑπ' Ἀντιπάτρου) Ἐν Ἀρκαδίᾳ, ὅτε ἔπεσε καὶ ὁ βασιλεὺς αὐτῶν Ἄγις. Ἴδε Διόδ. Σικελ. ιζ'. 65 καὶ 73. Ἰουστιν. ιθ'. ι.

7. Ἂν —χρεία καταλαμβάνῃ) Λέγεται οὕτω τὸ ῥῆμα ἐπὶ κακῶν αἴφνης προσπιπτόντων.

8. Κἂν διαπειρώμενος κρούσῃς, σαθρὸν—ὑπηχεῖ—) Πλατωνικόν. Ἐν Θεαιτήτ· «σκεπτέον τὴν φερομένην ταύτην οὐσίαν διακρούοντα, εἴτε ὑγιὲς εἴτε σαθρὸν φθέγγεται.» Ὁ δὲ Τίμαιος ἐξηγεῖ. «Διακρούοντα· Ἐκ μεταφορᾶς τῶν διακωδωνούντων τὰ κεράμια, εἰ ἀκέραιά εἰσιν.»

10. Ἐν ταῖς ὑπὸ μάλης πράξεσιν) Ὑπὸ μάλης ποιεῖν, γίνεσθαι, φέρειν τι, κ. τ. λ. δηλοῖ κρύφα.

— Περὶ λύσιν πόρνης ἀκριβής) Λύω δηλοῖ ἐξαγοράζω. Ἴδε Πλουτάρχ. βίον Φωκίων. ἐν τέλει.

—Ἐκκαθᾶραι λογισμὸν) Δείπνου ἔξοδα νὰ καταγράψῃ καὶ διατάξῃ. Καὶ Βασίλειος ὁ Μ. Περὶ Πλούτου καὶ Πεν. «οἱ δανειζόμενοι, τόκους ἐκ τόκων, καὶ πρὶν ἐκκαθᾶραι τὰ πρῶτα δεύτερον ἐπεισάγοντες δάνεισμα, μικρὸν χρόνον τοῖς ἀλλοτρίοις ἀναβρυνόμενοι, ὕστερον καὶ τὰ οἰκεῖα ὠδύραντο.»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

κδ'. Οὐχ ἥκιστα δ' ἄν τις αὐτὸν ἐν τῇ πρὸς ἄλλους φίλους
2 διαθέσει καταμάθοι πολὺ τοῦ φίλου διαφέροντα. Τῷ μὲν γὰρ ἥδιστόν ἐστι μετὰ πολλῶν φιλεῖν καὶ φιλεῖσθαι, καὶ τοῦτο πράττων ἀεὶ διατελεῖ περὶ τὸν φίλον, ὅπως πολύφιλος καὶ πολυτίμητος ἔσται· κοινὰ γὰρ τὰ φίλων ἡγούμενος, οὐδὲν οὕτως οἴεται δεῖν κοινὸν ὡς τοὺς φίλους ὑπάρχειν· ὁ δὲ ψευδὴς καὶ νόθος καὶ ὑπόχαλκος, ἅτε δὴ μάλιστα γινώσκων ἑαυτὸν ἀδικοῦντα τὴν φιλίαν, ὥσπερ νόμισμα παράσημον ὑπ' αὐτοῦ γενομένην, ἔστι μὲν καὶ φύσει φθονερός, ἀλλὰ τῷ φθόνῳ χρῆται πρὸς τοὺς ὁμοίους, διαμιλλώμενος ὑπερβάλλεσθαι βωμολοχίᾳ καὶ σπερμολογίᾳ, τὸν δὲ κρείττονα τρέμει καὶ δέδοικεν, οὐ μὰ Δία παρὰ Λύδιον ἅρμα πεζὸς ἰχνεύων, ἀλλὰ παρὰ χρυσὸν ἐφθόν, ὥς φησι
3 Σιμωνίδης, ἀκήρατον οὐδὲ μόλυβδον ἔχων. Ὅταν οὖν ἐλαφρὸς ὤν, καὶ ἐπίκτητος, καὶ ἀπατηλός, ἐγγύθεν ἀντεξετάζηται πρὸς ἀληθινὴν καὶ ἐμβριθῆ φιλίαν καὶ σφυρήλατον, οὐκ ἀναφέρων, ἀλλ' ἐξελεγχόμενος, ταὐτὸ ποιεῖ τῷ ζωγραφήσαντι τοὺς ἀλεκτρυόνας ἀθλίως· ἐκεῖνός τε γὰρ ἐκέλευσε τὸν παῖδα τοὺς ἀληθινοὺς ἀλεκτρυόνας ἀποσοβεῖν ἀπωτάτω τοῦ πίνακος· οὗτος δὲ τοὺς ἀληθινοὺς ἀποσοβεῖ φίλους, καὶ οὐκ ἐᾷ πλησιάζειν· ἂν δὲ μὴ δύνηται, φανερῶς μὲν ὑποσαίνει, καὶ περιέπει, καὶ τέθηπεν ὡς ἀμείνονας, λάθρα δ' ὑφίησί τινας καὶ ὑποσπείρει δια-
4 βολάς. Κρυφίου δὲ λόγου κνίσαντος ἕλκος, κἂν μὴ παντελῶς
5 εὐθὺς ἐξεργάσηται, τὸ τοῦ Μηδίου φυλάττει μεμνημένος. Ἡ δὲ ὁ Μήδιος τοῦ περὶ τὸν Ἀλέξανδρον χοροῦ τῶν κολάκων οἷον ἔξαρχος, καὶ σοφιστὴς κορυφαῖος ἐπὶ τοὺς ἀρίστους συντεταγμένος· ἐκέλευεν οὖν θαρροῦντας ἅπτεσθαι καὶ δάκνειν ταῖς διαβολαῖς, διδάσκων, ὅτι, κἂν θεραπεύσῃ τὸ ἕλκος ὁ δεδηγμένος,
6 ἡ οὐλὴ μένει τῆς διαβολῆς. Ταύταις μέν τοι ταῖς οὐλαῖς, μᾶλλον δὲ γαγραίναις καὶ καρκινώμασι διαβρωθεὶς Ἀλέξανδρος, ἀπώλεσε καὶ Καλλισθένη, καὶ Παρμενίωνα, καὶ Φιλώταν. Ἄγνωσι δὲ καὶ Βαγώαις καὶ Ἀγησίαις καὶ Δημητρίοις ἀφειδῶς ἐνέδωκεν ἑαυτὸν ὑποσκελίζεσθαι, προσκυνούμενον καὶ καταστολιζόμενον καὶ ἀναπλαττόμενον ὑπ' αὐτῶν, ὥσπερ ἄγαλμα βαρβαρικόν.

κδ'. 2. Παρὰ Λύδιον—μόλυβδον ἔχων.) Δύο ῥητὰ εἶνε ἐνταῦθα· τὸ πρότερον «παρὰ Λύδιον ἅρμα πεζὸς ἰχνεύων.» Πινδάρου ὄν, μνημονεύεται ὑπὸ τοῦ Πλουτάρχου ἐν β. Νικίου· κατήντησε δὲ παροιμιῶδες· τὸ δὲ ἕτερον « παρὰ χρυσὸν ἐφθὸν ἀκήρατον οὐδὲ μόλυβδον ἔχων·» ἀποδιδόμενον εἰς τὸν Σιμωνίδην, ἴσως ἀλλοῦ δὲν εὑρίσκεται.

3. Ἐλαφρὸς ὢν καὶ ἐπίκτητος καὶ ἀπατηλὸς — πρὸς ἀληθινὴν καὶ ἐμβριθῆ φιλίαν καὶ σφυρήλατον οὐκ ἀναφέρων) Ἀντιθέτονται ἐνταῦθα ἐλαφρὸς καὶ ἐμβριθής, ἀπατηλὸς καὶ ἀληθινός, ἐπίκτητος καὶ σφυρήλατος. Ἀλλὰ τῶν τελευταίων ὁ λόγος τῆς ἀντιθέσεως δὲν εἶνε καταφανής.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

7 Οὕτως μεγάλην ἔχει τὸ πρὸς χάριν δύναμιν, καὶ μεγίστην, ὡς
8 ἔοικεν, ἐν τοῖς μεγίστοις εἶναι δοκοῦσι. Τὸ γὰρ οἴεσθαι τὰ κάλλι-
στα μετὰ τοῦ βούλεσθαι, πίστιν ἅμα τῷ κόλακι καὶ θράσος
9 δίδωσι. Τῶν μὲν γὰρ τόπων τὰ ὑψηλὰ δυσπρόσοδα καὶ δυσέρ-
κτα γίνεται τοῖς ἐπιβουλεύουσι· τὸ δ' ἐν ψυχῇ νοῦν οὐκ ἐχούσῃ
δι' εὐτυχίαν ἢ δι' εὐφυΐαν ὕψος καὶ φρόνημα τοῖς μικροῖς καὶ τα-
πεινοῖς μάλιστα βάσιμόν ἐστι.

κέ. Ὅθεν ἀρχόμενοί τε τοῦ λόγου παρεκελευσάμεθα, καὶ νῦν
παρακελευόμεθα τὸ φίλαυτον ἐκκόπτειν ἑαυτῶν καὶ τὴν οἴησιν·
αὕτη γὰρ ἡμᾶς προκολακεύουσα, μαλακωτέρους ποιεῖ τοῖς θυ-
2 ραίοις κόλαξιν, ὡς ἑτοίμους ὄντας. Ἂν δὲ πειθόμενοι τῷ θεῷ,
καὶ τὸ Γνῶθι σαυτόν, ὡς ἑκάστῳ τοῦ παντὸς ἄξιόν ἐστι, μα-
θόντες, ἅμα καὶ φύσιν καὶ τροφὴν καὶ παίδευσιν ἑαυτῶν ἀνα-
θεωρῶμεν, ἐλλείματα μυρία τοῦ καλοῦ καὶ πολὺ τὸ φαύλως
καὶ εἰκῇ συμμεμιγμένον ἔχουσαν ἐν πράξεσιν, ἐν λόγοις, ἐν
πάθεσιν, οὐ πάνυ ῥαδίως ἐμπεριπατεῖν τοῖς κόλαξιν ἑαυτοὺς
3 παρέξομεν. Ἀλέξανδρος μὲν γὰρ ἀπιστεῖν ἔφη τοῖς θεὸν αὐτὸν
ἀναγορεύουσιν, ἐν τῷ καθεύδειν μάλιστα καὶ ἀφροδισιάζειν,
ὡς ἀγενέστερος περὶ ταῦτα καὶ παθητικώτερος αὐτοῦ γινόμε-
4 νος. Ἡμεῖς δὲ πολλὰ πολλαχοῦ τῶν ἰδίων αἰσχρὰ, καὶ λυ-
πηρὰ, καὶ ἀτελῆ, καὶ ἡμαρτημένα καθορῶντες ἀεὶ, φωράσομεν
ἑαυτοὺς οὐκ ἐπαινοῦντος φίλου καὶ κατευλογοῦντος δεομένους,
ἀλλ' ἐλέγχοντος καὶ παῤῥησιαζομένου καὶ ψέγοντος ἡμᾶς ἰδίᾳ
5 κακῶς πράττοντας. Ὀλίγοι μὲν γὰρ ἐκ πολλῶν εἰσιν οἱ παῤ-
ῥησιάζεσθαι μᾶλλον ἢ χαρίζεσθαι τοῖς φίλοις τολμῶντες· ἐν δὲ
τοῖς ὀλίγοις αὖθις οὐ ῥαδίως ἂν εὕροις ἐπισταμένους τοῦτο
ποιεῖν, ἀλλ' οἰομένους, ἂν λοιδορῶσι καὶ ψέγωσι, παῤῥησία
6 χρῆσθαι. Καί τοι καθάπερ ἄλλῳ τινὶ φαρμάκῳ, καὶ τῷ παῤῥη-
σιάζεσθαι μὴ τυχόντι καιροῦ, τὸ λυπεῖν ἀχρήστως καὶ ταράτ-
τειν περίεστι, καὶ ποιεῖν τόπον τινὰ μετ' ἀλγηδόνος, ὃ ποιεῖ
7 μεθ' ἡδονῆς τὸ κολακεύειν. Βλάπτονται γὰρ οὐκ ἐπαινούμενοι
μόνον ἀκαίρως, ἀλλὰ καὶ ψεγόμενοι· καὶ τοῦτο μάλιστα τοῖς
κόλαξιν εὐλήπτους καὶ πλαγίους παραδίδωσιν, ἀπὸ τῶν σφόδρα
προσαντῶν καὶ ἀντιτύπων ὥσπερ ἐπὶ τὰ κοῖλα καὶ μα-
8 λακὰ δίκην ὕδατος ἀπολισθαίνοντας. Διὸ δεῖ τὴν παῤῥη-

κέ. 2. Τὸ γνῶθι σαυτὸν, ὡς ἑκάστῳ τοῦ παντὸς ἄξιόν ἐστι) Τὸ ἄξιον παντὸς εἶναι παροιμιῶδες Ζηνόβ. Β'. 2. Ξενοφ. Οἰκονομ. Ζ', 41.

3. Ἀλέξανδρος) Πλούταρχ. Συμπος. Π'. σελ. 717, «καὶ Ἀλέξανδρον ὑπενόησεν, εἰπὼν μάλιστα θνητὸν καὶ φθαρτὸν ἐπιγινώσκειν ἑαυτὸν ἐν τῷ συγγενέσθαι γυναιξὶ καὶ καθεύδειν.»

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σίαν ἤδη κεκρᾶσθαι, καὶ λόγον ἔχειν, ἀφαιροῦντα τὸ ἄγαν καὶ τὸ ἄκρατον αὐτῆς ὥσπερ φωτός, ἵνα μὴ ταραττόμενοι μηδ' ἀλγοῦντες ὑπὸ τῶν ἅπαντα μεμφομένων καὶ πᾶσιν ἐγκαλούντων, καταφεύγωσιν εἰς τὴν τοῦ κόλακος σκιάν, καὶ πρὸς τὸ
9 μὴ λυποῦν ἀποστρέφωνται. Πᾶσαν μὲν γάρ, ὦ Φιλόπαππε, κακίαν φευκτέον ἐστί· δι' ἀρετῆς, οὐχὶ διὰ τῆς ἐναντίας κακίας, ὥςπερ ἔνιοι δοκοῦσιν, αἰσχυντιλίαν μὲν ἀναισχυντίᾳ φεύγειν, ἀγροικίαν δὲ βωμολοχίᾳ, δειλίας δὲ καὶ μαλακίας ἀπωτάτω τίθεσθαι τὸν τρόπον, ἂν ἔγγιστα φαίνωνται λαμυρίας καὶ θρα-
10 σύτητος. Ἔνιοι δὲ καὶ δεισιδαιμονίας ἀθεότητα, καὶ πανουργίαν ἀδελτηρίας ἀπολόγημα ποιοῦνται, καθάπερ ξύλον τὸ ἦθος ἐκ καμπῆς εἰς τοὐναντίον, ἀπειρίᾳ τοῦ κατορθοῦν, διαστρέ-
11 φοντες. Αἰσχίστη δὲ κολακείας ἄρνησις, ἀνωφελῶς λυπηρὸν εἶναι, καὶ κομιδῇ τινος ἀμούσου καὶ ἀτέχνου πρὸς εὔνοιαν ὁμιλίας, ἀηδίᾳ καὶ χαλεπότητι φεύγειν τὸ ἀγεννὲς ἐν φιλίᾳ καὶ ταπεινόν· ὥςπερ ἀπελεύθερον ἐν κωμῳδίᾳ τὴν κατηγορίαν
12 ἰσηγορίας ἀπόλαυσιν ἡγούμενον. Ἐπεὶ τοίνυν αἰσχρὸν μέν ἐστι κολακείᾳ περιπεσεῖν, διώκοντα τὸ πρὸς χάριν, αἰσχρὸν δέ, φεύγοντα καλακείαν, παῤῥησίας ἀμετρίᾳ διαφθεῖραι τὸ φιλικὸν καὶ κηδεμονικόν· δεῖ δὲ μηδέτερον παθεῖν, ἀλλ' ὥςπερ ἄλλῳ τινί, καὶ τῇ παῤῥησίᾳ τὸ καλὸν ἐκ τοῦ μετρίου λαβεῖν, αὐτὸς ἔοικεν ὁ λόγος ὁ τὸ ἑφεξῆς ἀπαιτῶν ὑποτιθέναι τοῦτο τῇ τοῦ συγγράμματος κορωνίδι.

κϛ. Ὥςπερ οὖν κῆράς τινας ἐπούσας τῇ παῤῥησίᾳ πλείονας ὁρῶντες, πρῶτον ἀφαιρῶμεν αὐτῆς τὴν φιλαυτίαν, εὖ μάλα φυλαττόμενοι, μὴ διά τι τῶν ἰδίων οἷον ἀδικούμενοι καὶ ἀλ-
2 γοῦντες ἐξονειδίζειν δοκῶμεν. Οὔτε ὑπ' εὐνοίας, ἀλλ' ὑπ' ὀργῆς οἴονται γίνεσθαι τὸν ὑπὲρ αὐτοῦ τοῦ λέγοντος γινόμενον λόγον, οὔτε νουθεσίαν, ἀλλὰ μέμψιν εἶναι. Φιλικὸν γὰρ ἡ παῤῥησία καὶ
3 σεμνόν· ἡ δὲ μέμψις καὶ φίλαυτον καὶ μικρολόγον. Ὅθεν αἰδοῦνται τοὺς παῤῥησιαζομένους καὶ θαυμάζουσι, τοῖς δὲ μεμφομένοις ἀντεγκαλοῦσι καὶ καταφρονοῦσιν· ὥςπερ ὁ Ἀγαμέμνων· τὸν Ἀχιλλέα παῤῥησιάζεσθαι δοκοῦντα μετρίως οὐχ ὑπέμεινε· τοῦ δ' Ὀδυσσέως καθαπτομένου πικρῶς καὶ λέγοντος,

---

11. Αἰσχίστη δὲ κολακείας ἄρνησις— ἐκ τοῦ μετρίου λαβεῖν) Καὶ ἡ φιλία, ὡς ἀρετὴ ἐν μέσῳ κειμένη, ἔχει δύο ἄκρα, ἀντίθετα ἐλάττωματα. Ἀριστοτ. Ἠθικ. Νικομ. Β', 7. «Περὶ δὲ τὸ λοιπὸν ἡδὺ ἐν τῷ βίῳ, ὁ μὲν ὡς δεῖ ἡδὺς ὢν, φίλος, καὶ ἡ μεσότης φιλία· ὁ δὲ ὑπερβάλλων, εἰ μὲν οὐδενὸς ἕνεκα, ἄρεσκος· εἰδ' ὠφελείας τῆς αὐτοῦ, κόλαξ· ὁ δ' ἐλλείπων καὶ ἐν πᾶσιν ἀηδής, δύσερίς τις καὶ δύσκολος.»

κϛ'. 3. τὸν Ἀχιλλέα παῤῥησιάζεσθαι δοκοῦντα μετρίως) Τὸ δοκοῦντα ἔχαν ὑπεννοούμενον τὸ ἑαυτῷ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Οὐλόμεν', αἴθ' ὤφελλες ἀεικελίου στρατοῦ ἄλλον
Σημαίνειν,

εἴκει καὶ καρτερεῖ, τῷ κηδεμονικῷ τοῦ λόγου καὶ νοῦν ἔχοντι συστελλόμενος. Οὗτος μὲν γὰρ οὐκ ἔχων ἰδίαν πρόφασιν ὀργῆς, ἐπαῤῥησιάζετο πρὸς αὐτὸν ὑπὲρ τῆς Ἑλλάδος· ἐκεῖνος δὲ δι' αὐτῶν ἐδόκει μάλιστα χαλεπαίνειν. Αὐτός γε μὴν ὁ Ἀχιλλεὺς, καίπερ οὐ γλυκύθυμος ὢν οὐδ' ἀγανόφρων, ἀλλὰ

Δεινὸς ἀνὴρ, οἷος καὶ ἀναίτιον αἰτιᾶσθαι,

παρεῖχε τῷ Πατρόκλῳ σιωπῇ καταφέρειν αὐτοῦ πολλὰ τοιαῦτα,

Νηλεὲς, οὐκ ἄρα σοί γε πατὴρ ἦν ἱππότα Πηλεὺς,
Οὐδὲ Θέτις μήτηρ· γλαυκὴ δέ σ' ἔτικτε θάλασσα,
Πέτραι τ' ἠλίβατοι· ὅτι τοι νόος ἐστὶν ἀπηνής.

ὥσπερ γὰρ Ὑπερίδης ὁ ῥήτωρ ἠξίου σκοπεῖν Ἀθηναίους μὴ μόνον, εἰ πικρός ἐστιν, ἀλλ' εἰ καὶ προῖκα πικρός· οὕτως ἡ τοῦ φίλου νουθεσία καθαρεύουσα παντὸς ἰδίου πάθους, αἰδεστόν ἐστι καὶ σεμνὸν καὶ ἀναντίβλεπτον. Ἐὰν δὲ δὴ καὶ φανερὸς ᾖ τις 6
ἐν τῷ παῤῥησιάζεσθαι, τὰ μὲν εἰς αὐτὸν ἁμαρτήματα τοῦ φίλου κομιδῇ προϊέμενος καὶ ἀπολείπων, ἄλλας δέ τινας αὐτοῦ πλημμελείας ἐλέγχων, καὶ δάκνων ἐφ' ἑτέροις, καὶ μὴ φειδόμενος, ἄμαχος ὁ τόνος τῆς παῤῥησίας οὗτός ἐστι, καὶ τῇ γλυκύτητι τοῦ νουθετοῦντος ἐπιτείνων τὸ πικρὸν καὶ αὐστηρὸν τῆς νουθεσίας. Ὅθεν εὖ μὲν εἴρηται, Τὸ δεῖν ἐν ταῖς ὀργαῖς καὶ ταῖς διαφο- 7
ραῖς ταῖς πρὸς τοὺς φίλους μάλιστα πράττειν τί καὶ σκοπεῖν τῶν ἐκείνοις συμφερόντων ἢ πρεπόντων· οὐχ ἧττον δὲ τούτου φιλικόν ἐστι, τὸ παρορᾶσθαι καὶ ἀμελεῖσθαι δοκοῦντας αὐτοὺς, ὑπὲρ ἄλλων ἀμελουμένων παῤῥησιάζεσθαι, καὶ ὑπομιμνήσκειν, ὡς Πλάτων ἐν ταῖς πρὸς Διονύσιον ὑπεροψίαις καὶ διαφοραῖς ᾐτήσατο καιρὸν ἐντυχίας· εἶτα ὁ μὲν ἔδωκεν, οἰόμενος ὑπὲρ αὐτοῦ τι μέμψασθαι τὸν Πλάτωνα καὶ διελθεῖν· ὁ δὲ Πλάτων οὕτω πως διελέχθη πρὸς αὐτὸν, Εἴ τινα αἴσθοιο, Διονύσιε, δυσμενῆ πεπλευκότα εἰς Σικελίαν, κακόν τι σὲ ποιῆσαι βουλόμενον,

— Οὐλόμεν', αἴθ'—) Ἰλιάδ. Ξ. 84.

5. Οὐ γλυκύθυμος ὢν οὐδ' ἀγανόφρων) Ἰλιάδ. Υ. 467.

—Δεινὸς ἀνὴρ, οἷος) Ἰλιάδ. Λ. 652-653. «Εὖ δὲ σὺ οἶσθα, γεραιὰ διότρεφες, οἷος ἐκεῖνος

«Δεινὸς ἀνὴρ. Τάχα κεν καὶ ἀναίτιον αἰτιόωτο.»

καὶ Ἰλ. Ν. 775.

«Ἕκτορ, ἐπεί τοι θυμὸς ἀναίτιον αἰτιάασθαι.»

— Νηλεὲς) Ἰλιάδ. Π. 33.

— Ὑπερίδου) Ὁ Πλούταρχος ἐν β'. Φωκίωνος λέγει· «Καίτοι φασὶν Ὑπερίδην ποτὲ εἰπεῖν πρὸς τὸν δῆμον, Ἄνδρες Ἀθηναῖοι, μὴ σκοπεῖτε μόνον εἰ πικρὸς, ἀλλ' εἰ προῖκά εἰμι πικρός.» Τὸ δὲ προῖκα σημαίνει ἐνταῦθα ἀδεκάστως, ἀδιαφθόρως, ἀδωροδόκητος ὤν. Ὡς ἐν β. Κίμωνος· «αὐτὸν ἀδέκαστον καὶ ἄθικτον ἐν τῇ πολιτείᾳ δωροδοκίας, καὶ πάντα προῖκα καὶ καθαρῶς πράττοντα καὶ λέγοντα διὰ τέλους παρέσχε.»

7. Εὖ μὲν εἴρηται) Μὲ τὸ σχῆμα τοῦτο δηλοῖ, ὅτι ξένην καὶ γνωστὴν γνώμην ἐκφέρει ὁ συγγραφεύς

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οὐκ ἔχοντα δὲ καιρὸν, ἆρ' ἂν ἐάσειας αὐτὸν ἐκπλεῦσαι, καὶ περιΐδοις ἀθῶον ἀπαλλαγέντα; Πολλοῦ δέω, εἶπεν ὁ Διονύσιος, ὦ Πλάτων· δεῖ γὰρ οὐ τὰ ἔργα τῶν ἐχθρῶν μόνον, ἀλλὰ καὶ
8 τὴν προαίρεσιν μισεῖν καὶ κολάζειν. Εἰ τοίνυν, εἶπεν ὁ Πλάτων, ἐπ' εὐνοίᾳ τις ἀριγμένος τῇ σῇ δεῦρο, βούλεται μὲν ἀγαθοῦ τινος αἴτιός σοι γενέσθαι, σὺ δὲ καιρὸν οὐ παρέχεις, ἄξιόν ἐ-
9 στι τοῦτον ἀχαρίστως προέσθαι καὶ ὀλιγώρως; Ἐρωτήσαντος δὲ τοῦ Διονυσίου, τίς οὗτός ἐστιν; Αἰσχίνης, εἶπεν, ἀνὴρ τῷ τε ἤθει παρ' ἐντινοῦν τῶν Σωκράτους ἑταίρων ἐπιεικής, καὶ τῷ λόγῳ δυνατὸς ἐπανορθοῦν, οἷς συνεὶς· πλεύσας δὲ δεῦρο πολλὴν θάλατ-
10 ταν, ὡς συγγένοιτό σοι διὰ φιλοσοφίας, ἠμέληται. Ταῦτα οὕτως ἐκίνησε τὸν Διονύσιον, ὥστε τὰς μὲν χεῖρας τῷ Πλάτωνι εὐθὺς περιβαλεῖν καὶ κατασπάζεσθαι, τὴν εὐμένειαν καὶ μεγαλοφροσύνην ἀγάμενον, τοῦ δ' Αἰσχίνου καλῶς καὶ μεγαλοπρεπῶς ἐπιμεληθῆναι.

κζ'. Δεύτερον τοίνυν ὥσπερ ἐκκαθαίροντες ὕβριν ἅπασαν, καὶ γέλωτα, καὶ σκῶμμα, καὶ βωμολοχίαν, ἡδύσματα πονη-
2 ρὰ τῆς παῤῥησίας ἀφαιρῶμεν. Ὥσπερ γὰρ ἰατροῦ σάρκα τέμνοντος, εὐρυθμίαν τινὰ δεῖ καὶ καθαριότητα τοῖς ἔργοις ἐπιτρέπειν, ὀργιστικὴν δὲ καὶ παράβολον καὶ περιτρέχουσαν ὑγρότητα καὶ περιεργίαν ἀπεῖναι τῆς χειρός· οὕτως ἡ παῤῥησία δέχεται τὸ ἐπιθέξιον καὶ τὸ ἀστεῖον, ἂν ἡ χάρις τὴν σεμνότητα σώζῃ· θρασύτης δὲ καὶ βδελυρία καὶ ὕβρις προσοῦσα πάνυ
3 διαφθείρει καὶ ἀπόλλυσιν. Ὅθεν ὁ μὲν ψάλτης οὐκ ἀπιβάνως οὐδὲ ἀμούσως ἐπεστόμισε τὸν Φίλιππον, ἐπιχειροῦντα περὶ κρουμάτων διαφέρεσθαι πρὸς αὐτὸν, εἰπών, Μὴ γένοιτό σοι οὕ-
4 τως, ὦ βασιλεῦ, κακῶς, ἵνα ἐμοῦ βέλτιον ταῦτα εἰδῇς. Ἐπίχαρμος δὲ οὐκ ὀρθῶς, τοῦ Ἱέρωνος ἀνελόντος ἐνίους τῶν συνήθων, καὶ μεθ' ἡμέρας ὀλίγας καλέσαντος ἐπὶ δεῖπνον αὐτὸν, Ἀλ-
5 λὰ πρώην, ἔφη, θύων τοὺς φίλους οὐκ ἐκάλεσας. Κακῶς δὲ καὶ Ἀντιφῶν, παρὰ Διονυσίῳ ζητήσεως οὔσης καὶ λόγου, Ποῖος

---

10. Πλάτωνι— ἐπιμεληθῆναι) Ἴδε Διογ. Λαέρτ. Β'. 61, Γ'. 36.

κζ'. Ὥσπερ ἐκκαθαίροντες ὕβριν ἅπασαν) Ἀφανὴς ἐνταῦθα σχεδὸν ἡ δύναμις τοῦ ὥσπερ. Ἴσως φανερόνει σύγκρισιν πρὸς τὴν μεγάλην τοῦ Ἡρακλέους δόξαν, τὴν ὁποίαν ἔλαβεν ἐκκαθάρας τῶν ὑβριστῶν τὸν Κόσμον.

3. Ὁ μὲν ψάλτης—ἐπεστόμισε τὸν Φίλιππον) τὸν τοῦ Μ. Ἀλεξάνδρου πατέρα. Ἴδε Πλουτάρχ. Ἀποφθέγμ.

4. Ἐπίχαρμος—ἐκάλεσας) Καὶ τοῦτο ἐκ τῶν ἅπαξ μνημονευομένων εἶνε. Παρὰ δὲ Ἰαμβλιχ. β. Πυθαγ. § 266. ταῦτα ἀναφέρονται περὶ Ἐπιχάρμου· «Τῶν δ' ἔξωθεν ἀκροατῶν γενέσθαι καὶ τὸν Ἐπίχαρμον· ἀλλ' οὐκ ἐκ τοῦ συστήματος τῶν ἀνδρῶν· ἀφικόμενον δὲ εἰς Συρακούσας, διὰ τὴν Ἱέρωνος τυραννίδα τοῦ μὲν φανερῶς φιλοσοφεῖν ἀποσχέσθαι, εἰς μέτρον δ' ἐντεῖναι τὰς διανοίας τῶν ἀνδρῶν, μετὰ παιδιᾶς κρύφα ἐκφέροντα τὰ Πυθαγόρου δόγματα.»

5—7. Ἀντιφῶν, παρὰ Διονυσίῳ— ἀ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

χαλκὸς ἄριστος, Ἐκεῖνος, εἶπεν, ἐξ οὗ κατεσκεύασαν Ἀθηναῖοι τὰς Ἁρμοδίου καὶ Ἀριστογείτονος εἰκόνας. Οὔτε γὰρ ὠφελεῖ 6 τούτων τὸ λυπηρὸν καὶ πικρόν, οὔτε τέρπει τὸ βωμολόχον καὶ παιδιῶδες, ἀλλ' ἔστι κακοηθείᾳ καὶ ὕβρει μεμιγμένης ἀκρασίας μετ' ἔχθρας τὸ τοιοῦτον εἶδος, ᾧ χρώμενοι προσαπολλύουσιν αὐτοὺς, τὴν περὶ τὸ φρέαρ ὄρχησιν ἀτεχνῶς ὀρχούμενοι. Καὶ γὰρ Ἀντιφῶν ἀπέθανεν ὑπὸ Διονυσίου, καὶ Τιμαγένης ἐ- 7 ξέπεσε τῆς Καίσαρος φιλίας, ἐλευθέρᾳ μὲν οὐδέποτε φωνῇ χρησάμενος, ἐν δὲ τοῖς συμποσίοις καὶ τοῖς περιπάτοις ἑκάστοτε πρὸς οὐδ' ἡντινοῦν σπουδήν,

— ἀλλ' ὅ, τι οἱ εἴσαιτο γελοῖον Ἀργείοισιν,

αἰτίαν φιλίας ὥςπερ σόφισμα λοιδορίας προσφερόμενος. Ἐπεὶ 8 καὶ τοῖς κωμικοῖς πολλὰ πρὸς τὸ θέατρον αὐστηρὰ καὶ πολιτικὰ πεποίηται· συμμιγνύμενον δὲ τὸ γελοῖον αὐτοῖς καὶ βωμολόχον, ὥςπερ σιτίοις ὑπότριμμα μοχθηρὸν, ἐξίτηλον ἐποίει τὴν παῤῥησίαν καὶ ἄχρηστον· ὥςτε περιῆν κακοηθείας δόξα καὶ βδελυρία τοῖς λέγουσι, χρήσιμον δὲ τοῖς ἀκούουσιν οὐδὲν ἀπὸ τῶν λεγομένων. Ἄλλως μὲν οὖν προσοιστέον ἐστὶ καὶ παιδιὰν 9 καὶ γέλωτα τοῖς φίλοις· ἡ δὲ παῤῥησία σπουδὴν ἐχέτω καὶ ἦθος· ἐὰν δὲ ὑπὲρ μειζόνων ᾖ, καὶ πάθει, καὶ σχήματι, καὶ τόνῳ φωνῆς, ὁ λόγος ἀξιόπιστος ἔστω καὶ κινητικός. Ὁ δὲ και- 10 ρὸς ἐν παντὶ μὲν παρεθεὶς, μεγάλα βλάπτει, μάλιστα δὲ τῆς παῤῥησίας διαφθείρει τὸ χρήσιμον. Ὅτι μὲν οὖν ἐν οἴνῳ καὶ 11 μέθῃ τὸ τοιοῦτον φυλακτέον, εὔδηλόν ἐστιν. Εὐδίᾳ γὰρ ἐπάγει 12 νέφος ὁ κινῶν ἐν παιδιᾷ καὶ φιλοφροσύνῃ λόγον ἀφρὸν ἀναστῶντα καὶ συνιστάντα τὸ πρόσωπον, ὥςπερ ἀντιτατόμενον τῷ Λυδίῳ θεῷ, καὶ λύοντι τὸ τῶν δυσφόρων σχοινίον καὶ μεριμνῶν, κατὰ Πίνδαρον. Ἔχει δὲ καὶ κίνδυνον ἡ ἀκαιρία μέγαν. Ἀκρο- 13

πέθανεν ὑπὸ Διονυσίου) Ὁ Ἀντιφῶν οὗτος τραγικὸς ποιητὴς ὤν, πρέπει νὰ διακρίνηται ἀπὸ τὸν Ἀθηναῖον ῥήτορα Ἀντιφῶντα.

— Τὴν περὶ τὸ φρέαρ ὄρχησιν) Παροιμία· «Λύκος περὶ φρέαρ χορεύει.» Ἴδε Ζηνοβ. Δ'. 100.

— Ἀλλ' ὅ,τι οἱ εἴσαιτο) ὡς ὁ παρ' Ὁμήρ. Ἰλ. Β. 215 Θερσίτης.

10. Καιρὸς— παῤῥησίας) Ὁ Δημόκριτος παρὰ Στοβ. λογ. ΙΓ'. «περὶ παῤῥησίας.» Ὅθεν ὁ Στέφανος μετήνεγκεν εἰς τὸ Ποίησ. Φιλοσοφ. «Οἰκίαν ἐλευθερίας παῤῥησία, κινδυνος δὲ ἡ τοῦ καιροῦ διάγνωσις.»

12. Εὐδίᾳ γὰρ ἐπάγει νέφος— πρόσωπον) Εὐδία, σημαίνουσα τὸ γαληνιαῖον τοῦ Οὐρανοῦ, καμβάνεται μεταφορικῶς ἐπὶ τῆς ἱλαρότητος τῆς ψυχῆς καὶ τοῦ προσώπου. Οὕτω Νικόστρατ. παρὰ Στοβ. λόγ. ξῆ. σελ. 425. «Ὁ δέ γε συνάγων τὰς ὀρρυς, σκαιοῦ ἔπτι· καὶ ὅτῳ οὐκ ἐπκυθεῖ ἐρώτημα, ἀλλὰ σκότος τε καὶ νέφος, τούτου τε ἡ ψυχὴ οὐδαμῇ οὐδαμῶς εὐφραίνεται.»

— Τῷ Λυδῷ θεῷ, καὶ λύοντι—κατὰ Πίνδαρον) Ἀντὶ τοῦ Λυδίῳ εἶνε ἀνάγκη νὰ γραφῇ Λυκίῳ ἢ Λυσίῳ, ὡς καὶ εἰς τόδε τὸ Συμποσ. τὸ χωρίον. «Εἰδὲ πάντων μὲν ὁ Διόνυσος Λύσιός ἐστι καὶ Λύδιος, μάλιστα δὲ ἀφαιρεῖται τῆς γνώτης τὰ χαλινὰ καὶ πλείστον ἐλευ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σφαλεῖς γάρ εἰσιν αἱ ψυχαὶ πρὸς ὀργὴν διὰ τὸν οἶνον, καὶ πολλάκις ἡ
14 μέθη παραλαβοῦσα τὴν παῤῥησίαν, ἔχθραν ἐποίησε. Καὶ ὅλως
οὐκ ἔστι γενναῖον οὐδὲ θαῤῥαλαῖον, ἀλλ' ἄνανδρον, ἐν τῷ νήφειν
ἀπαῤῥησιάστον ὄντα, παῤῥησιάζεσθαι περὶ τράπεζαν, κατὰ
15 τοὺς δειλοὺς κύνας. Οὐδὲν οὖν δεῖ περὶ τούτων λέγοντα μη-
κύνειν.

κη'. Ἐπεὶ δὲ πολλοὶ τοὺς φίλους εὖ φερομένους ἐν τοῖς πράγ-
μασιν οὔτε ἀξιοῦσι οὔτε τολμῶσι ῥυθμίζειν, ἀλλ' ὅλως ἀπρό-
σιτον καὶ ἀνέφικτον ἡγοῦνται νουθεσίᾳ τὸ εὐτυχοῦν εἶναι, σφαλ-
λομένοις δὲ καὶ πταίουσιν ἐπιτίθενται, καὶ πατοῦσιν ὑπὸ χεῖρα
καὶ ταπεινοὺς γεγενημένους, ὥσπερ ῥεῦμα κεκρατημένον παρὰ
φύσιν, τὴν παῤῥησίαν ἀθρόως ἐφιέντες αὐτοῖς, καὶ ἀπολαύοντες
ἄσμενοι τῆς μεταβολῆς, διὰ τὴν πρόσθεν ὑπεροψίαν ἐκείνων, αὐ-
τῶν δὲ ἀσθένειαν· οὐ χεῖρόν ἐστι περὶ τούτων διελθεῖν καὶ ἀπο-
κρίνασθαι τῷ Εὐριπίδῃ λέγοντι,

Ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων;

ὅτι δεῖ μάλιστα παῤῥησιαζομένων τῶν φίλων τοῖς εὐτυχοῦσι,
2 καὶ τὸ ἄγαν ὑφιέντων τοῦ φρονήματος. Ὀλίγοι γάρ εἰσιν, οἷς
μετὰ τοῦ εὐτυχεῖν παραγίνεται τὸ φρονεῖν· οἱ δὲ πολλοὶ φρενῶν
ἐπεισάκτων δέονται, καὶ λογισμῶν πιεζόντων ἔξωθεν αὐτοὺς ὑπὸ
3 τῆς τύχης φυσωμένους καὶ σαλευομένους. Ὅταν δὲ ὁ δαίμων
καταβάλῃ καὶ περιέλῃ τὸν ὄγκον, αὐτοῖς τοῖς πράγμασιν ἔνε-
4 στι τὸ νουθετοῦν καὶ μετάνοιαν ἐμποιοῦν. Ὅθεν οὐδὲν ἔργον τό-
τε παῤῥησίας φιλικῆς, οὐδὲ λόγων βάρος ἐχόντων καὶ δηγμόν,
ἀλλ' ὡς ἀληθῶς ἐν ταῖς τοιαύταις μεταβολαῖς

Εἰς ὄμματ' εὔνου φωτὸς ἐμβλέψαι γλυκύ,

παρηγορεῖν τος καὶ παραθαῤῥύνοντος· ὥσπερ τοῦ Κλεάρχου τὸ
πρόσωπον ὁ Ξενοφῶν ἐν ταῖς μάχαις καὶ παρὰ τὰ δεινὰ φησιν

θερίαν τῇ φωνῇ διδῶσι, ἀβέλτερον οἶμαι καὶ ἀνήκοον, ἐν λόγοις πλεονάζοντα καιρὸν ἀποστερεῖν τῶν ἀριστων λόγων.

κη'. Εὐριπίδῃ) Ὀρέστ. 668.

τοὺς φίλους
Ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν,
Ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί χρὴ φίλων;

Ἀρκεῖ γὰρ αὐτὸς ὁ θεὸς ὠφελεῖν θέλων. Ἴδε καὶ Ἀριστ. Ἠθικ. Νικομ. Θ', 9. Τῆς αὐτῆς δὲ ἐννοιας ἔχεται καὶ τόδε Ἡρακλ. Μαινόμ. « Θεοὶ δ' ὅταν τιμῶσιν, οὐδὲν δεῖ φίλων· ἅλις γὰρ ὁ θεὸς ὠφελῶν, ὅταν θέλῃ. »

— Τὸ ἄγαν ὑφιέντων τοῦ φρονήματος) Ὁ νοῦς· οἵτινες νὰ ὀλιγοστεύσωσι τὸ φρόνημα τοῦ φίλου ὑπερηφανευομένου.

2. Οἱ δὲ πολλοὶ φρενῶν ἐπεισάκτων δέονται) Ὁ Πλούταρχος φαίνεται, ὅτι ἀναφέρει ταῦτα πρὸς τό τε τοῦ Ἀριστ. χωρίον Ἠθικ. Νικομ. Θ, 9. «Οἱ πολλοὶ φίλους οἴονται τοὺς χρησίμους εἶναι· τῶν τοιούτων μὲν οὖν οὐδὲν δεήσεται ὁ μακάριος, ἐπειδὴ τ' ἀγαθὰ ὑπάρχει αὐτῷ. Οὐδὲ δὴ τῶν διὰ τὸ ἡδύ, ἢ ἐπὶ μικρόν· ἡδὺς γὰρ ὁ βίος ὢν, οὐδὲν δεῖται ἐπεισάκτου ἡδονῆς.

4. Ὁ Ξενοφῶν) Ἐν Κύρου Ἀναβάσει Β', 6, 7. καὶ Πλούταρχ. Συμποσ. Α'. σελ. 620. « ὥσπερ γὰρ ὁ Ξενοφῶν ἔλεγε τοῦ Κλεάρχου τὸ σκυθρωπὸν καὶ ἀγροικον ἅλιος, ἐν ταῖς μάχαις ἡδὺ καὶ φαιδρὸν ἐπιρρωννυσθαι διὰ τὸ θαῤῥαλέον, οὕτως ὁ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ὁρώμενον εὐμενὲς καὶ φιλάνθρωπον, εὐθαρσεστέρους ἐποίει τοὺς κινδυνεύοντας. Ὁ δὲ παῤῥησίαν καὶ δημῶν ἀνθρώπῳ δυστυ- 5
χοῦντι προσάγων, ὥσπερ ὀξυδορκικὸν ὄμματι ταρασσομένῳ καὶ φλεγμαίνοντι, θεραπεύει μὲν οὐδέν, οὐδὲ ἀφαιρεῖ τοῦ λυποῦντος, ὀργὴν δὲ τῇ λύπῃ προστίθησι, καὶ παροξύνει τὸν ἀνιώμενον. Αὐτίκα γοῦν ὑγιαίνων μέν τις οὐ χαλεπός ἐστιν, οὐδ' 6
ἄγριος παντάπασιν ἀνδρὶ φίλῳ, ψέγοντι μὲν συνουσίας καὶ πότους αὐτοῦ, ψέγοντι δὲ ἀργίαν, καὶ γυμνάσια, καὶ λουτρὰ συνεχῆ, καὶ πλησμονὰς ἀκαίρους· νοσοῦντι δ' οὐκ ἀνεκτὸν, ἀλλὰ μείζων νόσος ἀκούειν, ὅτι ταῦτά σοι γέγονεν ἐξ ἀκρασίας καὶ μαλακίας, καὶ δι' ὄψα, καὶ γυναῖκας. Ὦ τῆς ἀκαιρίας, ἄν- 7
θρωπε· διαθήκην γράφω, καὶ παρασκευάζεταί μοι καστόριον ἢ σκαμμώνιον ὑπὸ τῶν ἰατρῶν· σὺ δὲ νουθετεῖς καὶ φιλοσοφεῖς. Οὕ- 8
τω τοίνυν καὶ τὰ πράγματα τῶν δυστυχούντων οὐ παῤῥησίαν ἐκδέχεται καὶ γνωμολογίαν, ἀλλ' ἐπιεικείας δεῖται καὶ βοηθείας. Καὶ γὰρ αἱ τίτθαι τοῖς παιδίοις πεσοῦσιν οὐ λοιδορησόμεναι προ- 9
τρέχουσιν, ἀλλ' ἤγειραν, καὶ περιέπλυναν, καὶ κατέστειλαν, εἶθ' οὕτως ἐπιπλήττουσι καὶ κολάζουσι. Λέγεται δὲ καὶ Δημήτριος 10
ὁ Φαληρεὺς, ὅτε τῆς πατρίδος ἐξέπεσε, καὶ περὶ Θήβας ἀδοξῶν καὶ ταπεινὰ πράττων διῆγεν, οὐχ ἡδέως ἰδεῖν προσιόντα Κράτητα, παῤῥησίαν κυνικὴν καὶ λόγους τραχεῖς προσδεχόμενος· ἐντυχόντος δὲ πρᾴως αὐτῷ τοῦ Κράτητος, καὶ διαλεχθέντος περὶ φυγῆς, ὡς οὐδὲν ἔχοι κακὸν οὐδ' ἄξιον φέρειν βαρέως, πραγμάτων σφαλερῶν καὶ ἀβεβαίων ἀπηλλαγμένων, ἅμα δὲ θαῤῥεῖν ἐφ' ἑαυτῷ καὶ τῇ διαθέσει παρακαλοῦντος, ἡδίων γενόμενος καὶ ἀναθαρσήσας, πρὸς τοὺς φίλους εἶπε, Θεῦ τῶν πράξεων ἐκείνων καὶ ἀσχολιῶν, δι' ἃς ἄνδρα τοιοῦτον οὐκ ἔγνωμεν.

Λυπουμένῳ γὰρ μῦθος εὐμενὴς φίλων·
Ἄγαν δὲ μωραίνοντι νουθετήματα.

Οὗτος ὁ τρόπος τῶν γενναίων φίλων. Οἱ δ' ἀγεννεῖς καὶ τα- 11
πεινοὶ τῶν εὐτυχούντων κόλακες, ὥσπερ τὰ ῥάγματα καὶ τὰ σπάσματά φησι Δημοσθένης, ὅταν τι κακὸν τὸ σῶμα λάβῃ, τότε κινεῖσθαι, καὶ οὗτοι ταῖς μεταβολαῖς ἐπιῤῥοῦσι, καθάπερ ἡδόμενοι καὶ ἀπολαύοντες. Καὶ γὰρ ἂν δέηταί τινος ὑπομνή- 12

μὴ φύσει πικρὸς, ἀλλὰ σεμνὸς καὶ αὐστηρὸς, ἐν τῷ πίνειν ἀνιέμενος, ἡδίων γίνεται καὶ προσφιλέστερος »

10. Δημήτριος ὁ Φαληρεύς.) Ὅταν ὁ Δημήτριος ὁ Πολιορκητὴς ἐκυρίευσε τὰς Ἀθήνας κατέφυγεν ὁ Φαληρεὺς εἰς τὰς Θήβας, κατεχομένας τότε ὑπὸ τοῦ Κασσανδρου, περὶ μικροῦ ἀναγέρασε τὸν ταύτας

Ὅλυμ. 118, Σ. Π. Χ. 307. Ἀποθανόντος δὲ τοῦ Κασσάνδρου μετέβη εἰς Αἴγυπτον πρὸς Πτολεμαῖον τὸν υἱὸν τοῦ Λάγου Ὀλ. 120, 3. Τότε δὲ κατῴκει εἰς Θήβας ὁ Κυνικὸς Κράτης, τοῦ ὁποίου τὸν βίον γραφέντα ὑπὸ τοῦ Πλουτάρχου ὁ χρόνος μᾶς ἐλυπήσει.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σεως, ἐν οἷς δὲ αὐτὸν ἔπταισε βουλευσάμενος κακῶς, ἱκανόν ἐστι τὸ,

Οὔτι καθ' ἡμέτερόν γε νόον· μάλα γάρ τοι ἔγωγε
Πολλὰ ἀπεμυθέομην.

κθ'. Ἐν τίσι οὖν σφοδρὸν εἶναι δεῖ τὸν φίλον, καὶ πότε τῷ τόνῳ χρῆσθαι τῆς παῤῥησίας; ὅταν ἡδονῆς ἢ ὀργῆς ἢ ὕβρεως ἐπιλαβέσθαι φερομένης οἱ καιροὶ παρακαλῶσιν ἢ κολοῦσαι
2 φιλαργυρίαν, ἢ πρὸς ἕξιν ἀντισχεῖν ἀνόητον. Οὕτως ἐπαῤῥησιάζετο Σόλων πρὸς Κροῖσον ὑπ' εὐτυχίας ἀβεβαίου διεφθορότα
3 καὶ τρυφῶντα, τὸ τέλος ὁρᾶν κελεύσας. Οὕτως Σωκράτης Ἀλκιβιάδην ἐκόλουε, καὶ θάκρυον ἐξῆγεν ἀληθινὸν ἐξελεγχο-
4 μένου, καὶ τὴν καρδίαν ἀνέστρεφε. Τοιαῦτα τὰ Κύρου πρὸς Κυαξάρην, καὶ τὰ πρὸς Δίωνα Πλάτωνος, ὅτε λαμπρότατος ἦν καὶ πάντας εἰς ἑαυτὸν ἀνθρώπους ἐπέστρεφε, διὰ τὸ κάλλος τῶν πράξεων, καὶ τὸ μέγεθος, παρακελευομένου φυλλάττεσθαι καὶ δεδιέναι τὴν αὐθάδειαν, ὡς ἐρημίᾳ ξύνοικον.
5 Ἔγραψε δὲ καὶ Σπεύσιππος αὐτῷ, μὴ μέγα φρονεῖν, εἰ πολὺς αὐτοῦ λόγος ἐστὶν ἐν παιδαρίοις καὶ γυναίοις, ἀλλ' ὁρᾶν, ὅπως ὁσιότητι καὶ δικαιοσύνῃ καὶ νόμοις ἀρίστοις κοσμήσας Σικελί-
6 αν εὐκλεᾶ θήσει τὴν Ἀκαδημίαν. Εὔκτος δὲ καὶ Εὔλαιος, ἑταῖροι Περσέως, εὐτυχοῦντι μὲν ἀεὶ πρὸς χάριν ὁμιλοῦντες καὶ συνεπινεύοντες, ὥσπερ οἱ λοιποί, παρηκολούθουν· ἐπεὶ δὲ Ῥωμαίοις συμβαλὼν περὶ Πύδναν ἔπταισε καὶ ἔφυγε, προσπεσόντες ἐπετίμων πικρῶς, καὶ ἀνεμίμνησκον, ὧν ἐξήμαρτεν ἢ παρεῖδεν, ἕκαστον ἐξονειδίζοντες, ἄχρις οὗ διαλγήσας ὁ ἄνθρωπος ὑπὸ λύπης καὶ ὀργῆς ἀμφοτέρους τῷ ξιφιδίῳ παίων ἀνεῖλεν.

λ'. Ὁ μὲν οὖν κοινὸς οὕτω διωρίσθω καιρὸς οὓς δὲ παρέχουσιν αὐτοὶ πολλάκις, οὐ χρὴ προΐεσθαι τὸν κηδόμενον φίλον,
2 ἀλλὰ χρῆσθαι. Καὶ γὰρ ἐρώτησις ἐνίοις καὶ διήγησις, καὶ ψόγος ὁμοίων ἐφ' ἑτέροις ἢ ἔπαινος, ὥσπερ ἐνδόσιμον εἰς παῤῥη-
3 σίαν ἐστίν. Οἷον ἐλθεῖν Δημάρατον εἰς Μακεδονίαν ἐκ Κορίν-

---

12. Οὔτι καθ' ἡμέτερόν γε) Ἰλ. Γ. 108. κθ' 2. Σόλων πρὸς Κροῖσον) Ἡρόδοτ. 1, 30—32.

3. Σωκράτης Ἀλκιβιάδην ἐκόλουε—ἀνέστρεφε—) Ἐκ τοῦ Πλάτων. ἐλήφθη. Συμπ. στ. 333. ὅπου λέγει αὐτοῦ ὁ Ἀλκιβιάδης « ὅταν γὰρ ἀκούω (Σωκρατους), πολύ μοι μᾶλλον ἢ τῶν κορυβαντιώντων ἥτε καρδία πηδᾷ καὶ δάκρυα ἔκχεῖται ὑπὸ τῶν λόγων τῶν τούτου. » Ἐν βίῳ Ἀλκιβ. Πλούταρχ. Ὁ δὲ Σωκράτους ἔρως — ὡς μὲν ἐκράτει τοῦ Ἀλκιβιάδου δι' εὐφυΐαν, ἀπτομένων τῶν λόγων αὐτοῦ καὶ τὴν καρδίαν στρεφόντων, καὶ δάκρυα ἐκχεόντων. »

4. Δεδιέναι τὴν αὐθάδειαν ὡς ἐρημίᾳ ξύνοικον) Πλάτων. Ἐπιστολῇ Δ'. λέγει «Μὴ οὖν λανθανέτω σε, ὅτι διὰ τοῦ ἀρέσκειν τοῖς ἀνθρώποις καὶ τὸ πράττειν ἐστὶν· ἡ δ' αὐθάδεια ἐρημία ζύνοικος. »

5. Σπεύσιππος — εὐκλεᾶ θήσει τὴν Ἀκαδημίαν) Ἴδε περὶ Σπευσίππου Διογ. Λαέρτιον Δ', 5.

6. Εὔκτος καὶ Εὔλαιος) Ἴδε Πολυβ. κθ'. λ'. 3. Δημάρατον εἰς Μακεδονίαν ἐκ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

θου λέγουσι, καθ' ὃν χρόνον ἐν διαφορᾷ πρὸς τὴν γυναῖκα καὶ τὸν υἱὸν ὁ Φίλιππος ἦν· ἀσπασαμένου δὲ αὐτὸν τοῦ Φιλίππου, καὶ πυθομένου, πῶς πρὸς ἀλλήλους ἔχουσιν ὁμονοίας οἱ Ἕλληνες, εἰπεῖν τὸν Δημάρατον εὖνουν ὄντα καὶ συνήθη, Πάνυ γοῦν, ὦ Φίλιππε, καλόν ἐστί σοι πυνθάνεσθαι περὶ τῆς Ἀθηναίων καὶ Πελοποννησίων ὁμοφροσύνης, τὴν δ' οἰκίαν περιορᾶν τὴν σεαυτοῦ τοσαύτης στάσεως καὶ διχονοίας γέμουσαν. Εὖ δὲ καὶ 4
Διογένης, ὃς, ἐπεὶ παρελθὼν εἰς τὸ τοῦ Φιλίππου στρατόπεδον, ὅτε τοῖς Ἕλλησιν ἐβάδιζε μαχούμενος, ἀνήχθη πρὸς αὐτόν, ὁ δὲ ἀγνοῶν ἠρώτησεν, εἰ κατάσκοπός ἐστι, Πάνυ μὲν οὖν, ἔφη, κατάσκοπος, ὦ Φίλιππε, τῆς ἀβουλίας σου καὶ τῆς ἀνοίας, δι' ἣν οὐδενὸς ἀναγκάζοντος, ἔρχῃ περὶ βασιλείας καὶ τοῦ σώματος ὥρᾳ μιᾷ διακυβεύσων. Τοῦτο μὲν οὖν ἴσως σφο- 5
δρότερον.

λδ'. Ἕτερος δὲ καιρός ἐστι νουθεσίας, ὅταν ὑπ' ἄλλων λοιδορηθέντες, ἐφ' οἷς ἁμαρτάνουσι, ταπεινοὶ γένωνται, καὶ συσταλῶσιν. Ὃ χρῆτο ἂν ἐμμελῶς ὁ χαρίεις, τοὺς μὲν λοιδοροῦντας ἀνακόπτων καὶ διακρουόμενος, ἰδίᾳ δὲ αὐτὸς ἁπτόμενος 2
τοῦ ῥίλου, καὶ ὑπομιμνήσκων, ὡς, εἰ διὰ μηδὲν ἄλλο προσεκτέον ἐστὶν αὐτοῖς, ὅπως γε μὴ θρασεῖς ὦσιν οἱ ἐχθροί· ποῦ γάρ ἐστι τούτοις τὸ στόμα διᾶραι, τί δὲ προσειπεῖν, ἂν ἀφῇς ταῦτα καὶ ῥίψῃς, ἐφ' οἷς κακῶς ἀκούει; Γίνεται γὰρ οὕτως 3
τὸ μὲν λυπηρὸν τοῦ λοιδοροῦντος, τὸ δὲ ὠφέλιμον τοῦ νουθετοῦντος. Ἔνιοι δὲ κομψότερον, ἄλλους ψέγοντες, ἐπιστρέφουσι τοὺς 4
συνήθεις· κατηγοροῦσι γὰρ ἑτέρων, ἃ πράττοντας ἐκείνους ἴσασιν. 5
Ὁ δ' ἡμέτερος καθηγητὴς Ἀμμώνιος ἐν δειλινῇ διατριβῇ τῶν γνωρίμων τινὰς αἰσθόμενος ἠριστηκότας οὐχ ἁπλοῦν ἄριστον, ἐκέλευσεν ἰδίῳ παιδὶ πληγὰς ἐμβαλεῖν τὸν ἀπελεύθερον, ἐπειπών, ὅτι χωρὶς ὄξους ἀριστᾷν οὐ δύναται· καὶ ἅμα πρὸς ἡμᾶς ἀπέβλεψεν, ὥστε τῶν ἐνόχων ἅψασθαι τὴν ἐπιτίμησιν.

λδ'. Ἔτι τοίνυν εὐλαβητέον ἐστὶν ἐν πολλοῖς παῤῥησίᾳ χρῆσθαι πρὸς οἶλον, ἐνθυμούμενον τὸ τοῦ Πλάτωνος· ἐπεὶ γὰρ ὁ Σωκράτης ἥψατό τινος τῶν συνήθων σφοδρότερον ἐπὶ ταῖς τρα-

---

Κορίνθου) Πλουτάρχ. Ἀποφθ. καὶ ἐν βίῳ Ἀλεξάνδρου. Τὸν Δημάρατον τοῦτον τοῖς προδόταις τῶν Ἑλληνίδων πόλεων συγκαταλέγει ὁ Δημοσθένης ἐν τῷ περὶ Στεφ. λόγῳ.

4. Διογένης — διακυβεύσων) Ὁ Πλούταρχος ἐν τῷ περὶ Ἐξορ. λέγει· «Τί δέ; Διογένης οὐκ εἶχε παῤῥησίαν; ὃς εἰς τὸ τοῦ Φιλίππου στρατόπεδον παρελθὼν, ὁπηνίκα μαχούμενος ἐχώρει τοῖς Ἕλλησι, καὶ πρὸς αὐτὸν ἀναχθεὶς ὡς κατάσκοπος, «Ναὶ κατάσκοπος, ἔφη, τῆς ἀπληστίας ἀφῖχθαι αὐτοῦ καὶ τῆς ἀφροσύνης, ἥκοντος ἐν βραχεῖ χρόνῳ διακυβεῦσαι περὶ τῆς ἡγεμονίας ἅμα καὶ τοῦ σώματος.» Ἴδε καὶ Ἐπικτήτ. Διατριβ. Α, 24, καὶ Γ, 22, καὶ Διογ. Δαέρτ. ς'. 43.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πέζαις διαλεγόμενος, Οὐκ ἄμεινον ἦν, ὁ Πλάτων ἔφη, ἰδίᾳ ταῦτα λελέχθαι; καὶ ὁ Σωκράτης, Σὺ δέ, εἶπεν, οὐκ ἄμεινον ἂν ἐποίησας ἰδίᾳ πρὸς ἐμὲ τοῦτο εἰπών; Πυθαγόρου δὲ τραχύτερον ἐν πολλοῖς γνωρίμῳ προσενεχθέντος, ἀπάγξασθαι τὸ μειράκιον λέγουσιν· ἐκ τούτου δὲ μηδέποτε τὸν Πυθαγόραν αὖθις ἄλ-
2 λου παρόντος ἄλλον νουθετῆσαι. Δεῖ γάρ, ὡς νοσήματος οὐκ εὐπρεποῦς, τῆς ἁμαρτίας τὴν νουθέτησιν καὶ ἀποκάλυψιν ἀπόρρητον εἶναι, καὶ μὴ παντηγυρικὴν, μηδ' ἐπιδεικτικὴν, μηδὲ μάρτυρας καὶ θεατὰς συνάγουσαν. Οὐ γὰρ φιλικὸν, ἀλλὰ σοφιστικὸν, ἀλλοτρίοις ἐνευδοκιμεῖν σφάλμασι, καλλωπιζόμενον πρὸς τοὺς παρόντας· ὥσπερ οἱ χειρουργοῦντες ἐν τοῖς θεάτροις
3 ἰατροὶ πρὸς ἐργολαβίαν. Ἄνευ δὲ τῆς ὕβρεως, ἣν οὐδεμιᾷ θεραπείᾳ προσεῖναι δίκαιόν ἐστι, καὶ τὸ τῆς κακίας σκεπτέον
4 φιλόνεικον καὶ αὔθαδες. Οὐ γὰρ ἁπλῶς νουθετούμενος ἔρως μᾶλλον πιέζει, κατ' Εὐριπίδην, ἀλλ' ἐὰν νουθετῇ τις ἐν πολλοῖς καὶ μὴ φειδόμενος, πᾶν νόσημα καὶ πᾶν πάθος εἰς τὸ ἀ-
5 ναίσχυντον καθίστησιν. Ὥσπερ οὖν ὁ Πλάτων τοὺς παρασκευάζοντας ἐν τοῖς νέοις αἰσχύνην γέροντας αὐτοὺς ἀξιοῖ πρῶτον αἰσχύνεσθαι τοὺς νέους· οὕτω τῶν φίλων ἡ δυσωπουμένη παρρησία δυσωπεῖ μάλιστα, καὶ τὸ μετ' εὐλαβείας, ἀτρέμα προσιέναι, καὶ ἅπτεσθαι τοῦ ἁμαρτάνοντος, ὑπερείπει καὶ διεργάζεται τὴν κακίαν ἀναπιμπλαμένην τοῦ αἰδεῖσθαι τὸν αἰδούμενον.
6 Ὅθεν ἄριστα μὲν ἔχει τὸ,

Ἄγχι σχὼν κεφαλὴν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι.

Ἥκιστα δὲ πρέπει γαμετῆς ἀκουούσης ἄνδρα, καὶ παίδων ἐν ὄψει πατέρα, καὶ ἐραστὴν ἐρωμένου παρόντος, ἢ γνωρίμων δι-
7 δάσκαλον ἀποκαλύπτειν. Ἐξίστανται γὰρ ὑπὸ λύπης καὶ ὀργῆς
8 ἐλεγχόμενοι, παρ' οἷς εὐδοκιμεῖν ἀξιοῦσιν. Οἶμαι δὲ, καὶ Κλεῖτος οὐχ οὕτω παροξύναι διὰ τὸν οἶνον, ὡς ὅτι πολλῶν παρόν-
9 των ἐδόκει κολούειν τὸν Ἀλέξανδρον. Καὶ Ἀριστομένης ὁ Πτολεμαίου καθηγητὴς, ὅτι νυστάζοντα πρεσβείας παρούσης, ἐπέ-

---

λβ'. Πυθαγόρας) Ἅπαξ τόδε μνημονεύεται ἐνταῦθα. Τὴν δὲ τῶν Πυθαγορείων προσοχὴν εἰς τὸ νουθετεῖν καὶ ἐπιπλήττειν τοὺς νέους ἀναφέρει καὶ ὁ Ἰαμβλιχ. ἐν β'. Πυθαγ. § 101. Ἀναφέρει δὲ τοῦτο καὶ ὁ Ἀντώνιος ΙΑ', 18. «Δεῖ δὲ μήτε εἰρωνικῶς αὐτὸ (τὸ παραινεῖν) ποιεῖν, μήτε ὀνειδιστικῶς, ἀλλὰ φιλοστόργως καὶ ἀδήκτως τῇ ψυχῇ· καὶ μή ὡς ἐν σχολῇ, μηδὲ ἵνα ἄλλος παραστὰς θαυμάσῃ, ἀλλ' ἀεί τοι πρὸς μόνον, καὶ ἐὰν ἄλλοι τινὲς περιεστήκωσι.»

4. Νουθετούμενος ἔρως μᾶλλον πιέζει, κατ' Εὐριπίδην) Ἐμεμνήθη τόδε ὁ Μένανδρος εἰπών· «Φύσει γὰρ ἐς ἔρως τοῦ νουθετοῦντος κωφόν.»

6. Ἄγχι σχὼν κεφαλὴν) Ὀδύσ. Α, 157. Δ'. 70. Ρ. 592

8. Κλεῖτος — Ἀλέξανδρον) Ἴδε Ἀρρίαν. Γ'. 9.

9. Ἀριστομένης ὁ Πτολεμαίου καθηγητὴς) Ἴδε Πολύβ. ΙΕ', 29 καὶ ΙΖ', 35.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

στησεν ἐξεγείρων, λαθήν τινα παρέσχε τοῖς κόλαξι, προσποιουμένοις ἀγανακτεῖν ὑπὲρ τοῦ βασιλέως, καὶ λέγουσιν, εἰ τοσαῦτα κοπιῶν καὶ ἀγρυπνῶν κατηνέχθης, ἰδίᾳ σε νουθετεῖν ὀφείλομεν, οὐκ ἐναντίον ἀνθρώπων τοσούτων προσφέρειν τὰς χεῖρας. Ὁ δὲ φαρμάκου κύλικα πέμψας, ἐκέλευσεν ἐκπιεῖν τὸν ἄνθρωπον. Ἀριστοφάνης δὲ καὶ τὸν Κλέωνα τοῦτο ἐγκαλεῖν 10
φησιν, ὅτι

Ξένων παρόντων τὴν πόλιν κακῶς λέγει,

καὶ παροξύνει τοὺς Ἀθηναίους. Διὸ δεῖ σφόδρα φυλάττεσθαι καὶ 11
τοῦτο μετὰ τῶν ἄλλων, τὸ μὴ παρεπιδείκνυσθαι μηδὲ δημαγωγεῖν, ἀλλ' ὀνησιφόρως καὶ θεραπευτικῶς χρῆσθαι τῇ παῤῥησίᾳ βουλομένους. Καὶ μὴν ὅπερ ὁ Θουκυδίδης τοὺς Κορινθί- 12
ους λέγοντας περὶ αὐτῶν πεποίηκεν, ὡς ἄξιοί εἰσιν ἑτέροις ἐπενεγκεῖν ψόγον, οὐ κακῶς εἰρημένον, ἔδει παρεῖναι τοῖς παῤῥησιαζομένοις. Λύσανδρος μὲν γάρ, ὡς ἔοικε, πρὸς τὸν ἐκ Με- 13
γάρων ἐν τοῖς συμμάχοις παῤῥησιαζόμενον ὑπὲρ τῆς Ἑλλάδος, ἔφη τοὺς λόγους αὐτοῦ πόλεως δεῖσθαι· παῤῥησίᾳ δὲ παντὸς ἀνδρὸς ἤθους ἴσως δεῖται, καὶ τοῦτ' ἀληθέστατόν ἐστιν ἐπὶ τῶν ἑτέρους νουθετούντων καὶ σωφρονιζόντων λεγόμενον. Ὁ γοῦν 14
Πλάτων ἔλεγε νουθετεῖν τῷ βίῳ τὸν Σπεύσιππον· ὥσπερ ἀμέλει καὶ Πολέμωνα Ξενοκράτης ὀφθεὶς μόνον ἐν τῇ διατριβῇ καὶ ἀποβλέψας πρὸς αὐτόν, ἐτρέψατο καὶ μετέθηκεν. Ἐλαφροῦ 15
δὲ καὶ φαύλου τὸ ἦθος ἀνθρώπου, λόγῳ παῤῥησίας ἀπτομένου, περιέστι προσακοῦσαι τό,

Ἄλλων ἰατρός, αὐτὸς ἕλκεσι βρύων.

λγ'. Οὐ μὴν ἀλλ' ἐπεὶ φαύλους γε ὄντας αὐτοὺς ἑτέροις τε τοιούτοις ὁμιλοῦντας ἐξάγει τὰ πράγματα πολλάκις εἰς τὸ νουθετεῖν, ἐπιεικέστατος ἂν εἴη τρόπος ὁ συνεμπλέκων καὶ συμπεριλαμβάνων ἀμηγέπη τῷ ἐγκλήματι τὸν παῤῥησιαζόμενον· ἐν ᾧ λέλεκται καὶ τό,

Τυδείδη, τί παθόντε λελάσμεθα θούριδος ἀλκῆς;

καὶ τό,

— νῦν δ' οὐδ' ἑνὸς ἄξιοι εἰμὲν
Ἕκτορος. —

---

12. Ὁ Θουκυδίδης) Α'. 70, «Καὶ ἅμα, εἴπερ τινὲς καὶ ἄλλοι, νομίζομεν ἄξιοι εἶναι τοῖς πέλας ψόγον ἐπενεγκεῖν.»

13 Λύσανδρος.) Ἐν ἀπορθέγματι. «Μεγαρέως δὲ ἀνδρὸς ἐν κοινῷ συλλόγῳ παῤῥησίᾳ χρησαμένῳ πρὸς αὐτὸν, Οἱ λόγοι σου, εἶπε, πόλεως δέονται» ὁ αὐτὸς δὲ ἐν βίῳ Ἀγησιλάου ἀποδίδει τοῦτο εἰς τὸν Ἀγησίλαον.

14. Πολέμωνα Ξενοκράτην) Διογ. Λαέρτ. Δ, 16. Ἐπικτήτ. Διατριβ. Γ'. 1.

15. Ἄλλων ἰατρός.) Εὐριπίδειον κατὰ Σουΐδαν.

λγ'. Τυδείδη, τί παθόντες) Ἰλιάδ. Α. 313.

—Νῦν δ' οὐδ' ἑνὸς ἄξιοι εἰ μὲν Ἕκτορος) Ἰλ. Θ'. 234.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Καὶ ὁ Σωκράτης οὕτως ἀτρέμα τοὺς νέους ἤλεγχεν, ὡς μηδ' αὐτὸς ἀπηλλαγμένος ἀμαθίας, ἀλλὰ μετ' ἐκείνων οἰόμενος δεῖν
2 ἀρετῆς ἐπιμελεῖσθαι, καὶ ζητεῖν τὸ ἀληθές. Καὶ γὰρ εὔνοιαν καὶ πίστιν ἔχουσιν οἱ τὰ αὐτὰ μὲν ἁμαρτάνειν, ἐπανορθοῦσθαι δὲ
3 τοὺς φίλους ὥσπερ αὐτοὺς δοκοῦντες. Ὁ δὲ σεμνύνων ἑαυτὸν ἐν τῷ κολούειν ἕτερον, ὡς δή τις εἰλικρινὴς καὶ ἀπαθής, ἂν μὴ πολὺ καθ' ἡλικίαν ἢ προήκων, μηδὲ ἔχων ἀρετῆς ὁμολογούμενον ἀξίωμα καὶ δόξης, ἐπαχθὴς φανεὶς καὶ βαρύς, οὐδὲν ὠφέλησεν.
4 Ὅθεν οὐχ ἁπλῶς ὁ Φοῖνιξ ἐνέβαλε τὰ περὶ αὐτὸν ἀτυχήματα, δι' ὀργὴν ἐπιχειρήσαντος ἀνελεῖν τὸν πατέρα, καὶ ταχὺ μεταγνόντος·

Ὡς μὴ πατροφόνος μετ' Ἀχαιοῖσιν καλεοίμην·

ἵνα μὴ δοκῇ νουθετεῖν ἐκεῖνον, ὡς αὐτὸς ἀπαθὴς ὢν ὑπ' ὀργῆς
5 καὶ ἀναμάρτητος. Ἐνδύεται γὰρ ἠθικῶς τὰ τοιαῦτα, καὶ μᾶλλον
6 εἴκουσι τοῖς ὁμοιοπαθεῖν, ἀλλὰ μὴ περιφρονεῖν δοκοῦσιν. Ἐπεὶ δὲ οὔτε φῶς λαμπρὸν ὄμματι φλεγμαίνοντι προσοιστέον, οὔτ' ἐμπαθὴς ψυχὴ παῤῥησίαν ἀναδέχεται καὶ νουθεσίαν ἄκρατον, ἐν τοῖς χρησιμωτάτοις ἐστὶ τῶν βοηθημάτων ὁ παραμιγνύμενος ἐλαφρὸς ἔπαινος· ὥσπερ ἐν τούτοις,

Ὑμεῖς δ' οὐκέτι καλὰ μεθίεται θυοειδὸς ἀλκᾶς,
Πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν· οὐδ' ἂν ἔγωγε
Ἀνδρὶ μαχεσσαίμην, ὅστις πολέμοιο μεθείη
Λυγρὸς ἐών· ὑμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι.

7 Καί,

Πάνδαρε, ποῦ τοι τόξον, ἰδὲ πτερόεντες ὀιστοί,
Καὶ κλέος, ᾧ οὔ τίς τοι ἐρίζεται ἐνθάδε γ' ἀνήρ;

8 Σφόδρα δὲ ἐμφανῶς ἀνακαλεῖται καὶ τὰ τοιαῦτα τοὺς ὑποφερομένους,

Ὁ δ' Οἰδίπους ποῦ, καὶ τὰ κλεῖν, αἰνίγματα;

Καί

Ὁ πολλὰ δὴ τλὰς Ἡρακῆς λέγει τάδε;

9 Οὐ γὰρ μόνον ἀνίησι τοῦ ψόγου τὸ τραχὺ καὶ κελευστικόν, ἀλλὰ καὶ ζῆλον ἐμποιεῖ πρὸς ἑαυτὸν αἰδουμένῳ τὰ αἰσχρὰ τῇ τῶν καλῶν ὑπομνήσει, καὶ παράδειγμα ποιουμένῳ τῶν βελτιόνων
10 ἑαυτόν. Ὅταν δὲ ἑτέρους, οἷον ἡλικας ἢ πολίτας ἀντιπαραβάλλωμεν ἢ συγγενεῖς, ἄχθεται καὶ διαγριαίνεται τὸ φιλόνεικον

---

6 Ὑμεῖς δ' οὐκέτι καλὰ.) Ἰλ. Ν. 116. — Ὁ πολλὰ δὴ τλὰς) Εὐριπιδ. Ἡρακλ. Μαινόμ. 1250.
7. Πάνδαρε ποῦ τοι τόξον.) Ἰλ. Ε. 171.
8. Ὁ δ' Οἰδίπους ποῦ) Εὐριπ. Φοίν. 1632.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τῆς κακίας· καὶ τοῦτο πολλάκις εἴωθεν ὑποφωνεῖν μετ' ὀργῆς, Τί οὖν οὐκ ἄπει πρὸς τοὺς ἐμοῦ κρείττονας, ἐμοὶ δὲ μὴ παρέχεις πράγματα; Φυλακτέον οὖν ἑτέρους ἐπαινεῖν, παῤῥησιαζό- 11
μενον πρὸς ἑτέρους, ἂν μὴ νὴ Δία γονεῖς ὦσιν· ὡς Ἀγαμέμνων,

Ἢ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς.

καὶ ὁ ἐν τοῖς Σκυρίοις Ὀδυσσεύς,

Σὺ δ', ὦ τὸ λαμπρὸν φῶς καταισχύνων γένους,
Ξαίνεις, ἀρίστου πατρὸς Ἑλλήνων γεγώς;

λδ'. Ἥκιστα δὲ προσήκει νουθετούμενον ἀντινουθετεῖν, καὶ παῤῥησίᾳ παῤῥησίαν ἀντεκφέρειν· ταχὺ γὰρ ἐκκαίει καὶ ποιεῖ διαφοράν· καὶ ὅλως οὐκ ἀντιπαῤῥησιαζομένου δέξειεν ἄν, ἀλλὰ παῤῥησίαν μὴ φέροντος ὁ τοιοῦτος ὠθισμὸς εἶναι. Βέλτιον οὖν 2
ὑπομένειν τὸν νουθετεῖν δοκοῦντα φίλον· ἂν γὰρ ὕστερον αὐτὸς ἁμαρτάνῃ, καὶ δέηται νουθεσίας, αὐτὸ τοῦτο τῇ παῤῥησίᾳ τρόπον τινὰ παῤῥησίαν δίδωσιν. Ὑπομιμνησκόμενος γὰρ ἄνευ μνη- 3
σικακίας, ὅτι τοὺς φίλους καὶ αὐτὸς εἰώθει μὴ περιορᾷν ἁμαρτάνοντας, ἀλλ' ἐξελέγχειν καὶ διδάσκειν, μᾶλλον ἐνδώσει καὶ παραδέξεται τὴν ἐπανόρθωσιν, ὡς οὖσαν εὐνοίας καὶ χάριτος, οὐ μέμψεως ἀνταπόδοσιν οὐδὲ ὀργῆς.

λέ. Ἔτι τοίνυν ὁ μὲν Θουκυδίδης φησίν, Ὅστις ἐπὶ μεγίστοις τὸ ἐπίφθονον λαμβάνει, ὀρθῶς βουλεύεται· τὸν δὲ φίλον προσήκει τὸ ἐκ τοῦ νουθετεῖν ἐπαχθὲς ὑπὲρ μεγάλων ἀναδέχεσθαι καὶ σφόδρα διαφερόντων. Ἂν δ' ἐπὶ πᾶσι καὶ πρὸς πάντα 2
δυσκολαίνῃ, καὶ μὴ φιλικῶς, ἀλλὰ παιδαγωγικῶς προσφέρηται τοῖς συνήθεσιν, ἀμβλὺς ἐν τοῖς μεγίστοις νουθετῶν ἔσται καὶ ἄπρακτος· ὥσπερ ἰατρὸς δριμὺ φάρμακον ἢ πικρόν, ἀναγκαῖον δὲ καὶ πολυτελές, εἰς πολλὰ καὶ μικρὰ καὶ οὐκ ἀναγκαῖα διελών, τῇ παῤῥησίᾳ κατακεχρημένος. Αὐτὸς μὲν οὖν σφόδρα φυλάξε- 3
ται τὸ συνεχὲς καὶ φιλαίτιον· ἑταίρου δὲ μικρολογουμένου περὶ πάντα, καὶ παρασυκοφαντοῦντος, ὥσπερ ἐνδόσιμον ἕξει πρὸς τὰ μείζονα τῶν ἁμαρτημάτων. Καὶ γὰρ ἰατρὸς Φιλότιμος ἐμ- 4
πύου περὶ ἧπαρ ἀνθρώπου δείξαντος αὐτῷ τὸν δάκτυλον ἡλκωμένον, Οὐκ ἔστι σοι, εἶπεν, ὦ τᾶν, περὶ παρωνυχίας. Οὐκοῦν καὶ τῷ φίλῳ δίδωσιν ὁ καιρὸς εἰπεῖν πρὸς τὸν ἐπὶ μικροῖς καὶ μηδενὸς ἀξίοις ἐγκαλοῦντά τι, Παιδιὰς καὶ πόσους καὶ φλυαρίας λέγομεν· οὗτος, ὦ τᾶν, ἀποπεμψάσθω τὴν ἑταίραν, ἢ παυ-

---

11. Ἢ ὀλίγου) Ἰλιάδ. Ε'. 800.

λδ'. Θουκυδίδης) β'. 64. Ἐν τῷ τῶν Περικλέους λόγῳ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

σάσθω κυβεύων, καὶ τὰ ἄλλα θαυμαστὸς ἡμῖν ἄνθρωπός ἐστιν.
6 Ὁ γὰρ εἰς τὰ μικρὰ συγγνώμην λαβών, οὐκ ἀηδῶς εἰς τὰ μείζονα τῷ φίλῳ παῤῥησίαν δίδωσιν· ὁ δ' ἐγκείμενος ἀεί, καὶ πανταχοῦ πικρὸς καὶ ἀτερπής, καὶ πάντα γινώσκων καὶ πολυπραγμονῶν, οὐδὲ παισὶν ἀνεκτὸς οὐδὲ ἀδελφοῖς, ἀλλὰ καὶ δούλοις ἀφόρητος.

λς'. Ἐπεὶ δὲ οὔτε τῷ γήρᾳ πάντα πρόσεστι κακά, κατ' Εὐριπίδην, οὔτε τῇ τῶν φίλων ἀδελτηρίᾳ, δεῖ μὴ μόνον ἁμαρτάνοντας, ἀλλὰ καὶ κατορθοῦντας ἐπιτηρεῖν τοὺς φίλους, καὶ νὴ Δία προθύμως ἐπαινεῖν τὸ πρῶτον· εἶθ' ὥσπερ ὁ σίδηρος, πυκνοῦται τῇ περιψύξει καὶ δέχεται τὴν στόμωσιν, ἀνεθεὶς πρῶτον ὑπὸ θερμότητος καὶ μαλακὸς γενόμενος, οὕτω τοῖς φίλοις διακεχυμένοις καὶ θερμοῖς οὖσιν ὑπὸ τῶν ἐπαίνων ὥσπερ βαφὴν
2 ἀτρέμα τὴν παῤῥησίαν ἐπάγειν. Δίδωσι γὰρ ὁ καιρὸς εἰπεῖν, Ἆρ' ἄξια ἐκεῖνα τούτοις παραβάλλειν; ὁρᾷς τὸ καλόν, οἵους καρποὺς ἀποδίδωσι; ταῦτα ἀπαιτοῦμεν οἱ φίλοι, ταῦτ' ἔστιν οἰκεῖα, πρὸς ταῦτα πέφυκας· ἐκεῖνο δὲ ἀποδιοπομπητέον,

Εἰς ὄρος ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης.

3 Ὡς γὰρ ἰατρὸς εὐγνώμων βούλοιτ' ἂν ὕπνῳ καὶ τροφῇ μᾶλλον ἢ καυτηρίῳ καὶ σκαμμωνίᾳ τὸ νόσημα λῦσαι τοῦ κάμνοντος· οὕτω καὶ φίλος ἐπιεικής, καὶ πατὴρ χρηστός, καὶ διδάσκαλος, ἐπαίνῳ μᾶλλον ἢ ψόγῳ χαίρει πρὸς ἐπανόρθωσιν ἤθους χρώμενος.
4 Οὐδὲν γὰρ ἄλλο ποιεῖ τὸν παῤῥησιαζόμενον ἥκιστα λυπεῖν, καὶ μάλιστα θεραπεύειν, ἢ τὸ φειδόμενον ὀργῆς, ἐν ἤθει καὶ μετ' εὐνοίας προσφέρεσθαι τοῖς ἁμαρτάνουσιν. Ὅθεν οὔτε ἀρνουμένους δεῖ πικρῶς ἐξελέγχειν, οὔτε κωλύειν ἀπολογουμένους, ἀλλὰ καὶ προφάσεις εὐσχήμονας ἀμωσγέπως συνεκπορίζειν, καὶ τῆς χείρονος αἰτίας ἀφισταμένους, αὐτοὺς ἐνδιδόναι μετριωτέραν, ὡς ὁ Ἕκτωρ,

Δαιμόνι', οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο θυμῷ,

πρὸς τὸν ἀδελφόν, ὡς οὐκ ἀπόδρασιν, οὐδὲ δειλίαν οὖσαν, ἀλλ' ὀργὴν τὴν ἐκ τῆς μάχης ἀναχώρησιν αὐτοῦ. Καὶ πρὸς τὸν Ἀγαμέμνονα ὁ Νέστωρ,

---

λς'. Κατ' Εὐριπίδην) Φοινισσ. 532. ἡ Ἰοκάστη λέγει ταῦτα πρὸς τὸν υἱὸν Ἐτεοκλέα.

»Ὦ τέκνον οὐχ ἅπαντα τῷ γήρᾳ κακά,
Ἐτεόκλεες, πρόεστιν· ἀλλ' ἡ μπειρία
Ἔχει τι λέξαι τῶν νέων σοφώτερον.»
— Ὥσπερ σίδηρος πυκνοῦται τῇ περιρρύξει) Ἀρέσκει ἡ παρομοίωσις αὕτη εἰς τὸν Πλούταρχον· λέγει δὲ καὶ ἐν Συμποσ. »Φειδωλὸς ἀνήρ τε καὶ μικρολόγος, ἐμπεσὼν εἰς ἔρωτα, καθάπερ εἰς πῦρ σίδηρος, ἀνεθεὶς καὶ μαλαχθείς, ἀπαλὸς καὶ ὑγρὸς καὶ ἡδίων.»

2. Εἰς ὄρος ἢ εἰς κῦμα) Ἰλ. Ζ'. 347

5. Δαιμόνι') Ἰλ. Ζ'. 326.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

— σὺ δὲ σῷ μεγαλήτορι θυμῷ
Εἴξας.

ἠθικώτερον γάρ, οἶμαι, τοῦ Ἠδίκησας, καὶ Ἠσχημόνησας, καὶ Οὐκ ἐπέστησας, τοῦ Ἠγνόησας· καὶ τό, Μὴ φιλονείκει πρὸς τὸν ἀδελφόν, ἢ τό, Μὴ φθόνει τῷ ἀδελφῷ· καὶ τό, Φύγε τὴν γυναῖκα διαφθείρουσαν, ἢ τό, Παῦσαι τὴν γυναῖκα διαφθείρων. Τοιοῦ- 6
τον γάρ ἡ θεραπευτικὴ παῤῥησία ζητεῖ τρόπον· ἡ δὲ πρακτικὴ τὸ ἐναντίον. Ὅταν γάρ ἢ μέλλοντας ἁμαρτάνειν ἐκκροῦσαι δε-
ήσῃ, ἢ πρὸς ὁρμήν τινα βίαιον ἱσταμένους ἐξ ἐναντίας φερομένην, ἢ πρὸς τὰ καλὰ μαλακῶς καὶ ἀπροθύμως ἔχοντας ἐντεῖναι καὶ
παρορμῆσαι θελήσωμεν, εἰς αἰτίας δεῖ μεταφέρειν ἀτόπους καὶ μὴ πρεπούσας τὸ γινόμενον. Ὡς ὁ παρὰ Σοφοκλεῖ τὸν Ἀχιλ- 7
λέα παροξύνων Ὀδυσσεύς, οὗ φησιν ὀργίζεσθαι διὰ τὸ δεῖπνον, ἀλλ'

Ἤδη, (φησί,) τὰ Τροίας εἰσορῶν ἐδώλια
Δέδοικας.

καὶ πρὸς ταῦτα· πάλιν τοῦ Ἀχιλλέως διαγανακτοῦντος, καὶ ἀποπλεῖν λέγοντος,

Ἐγ' ὦδ', ὁ φεύγεις, οὐ τὸ μὴ κλύειν κακῶς·
Ἀλλ' ἐγγὺς Ἕκτωρ ἐστίν· οὐ μένειν καλόν,

Τὸν μὲν οὖν θυμοειδῆ καὶ ἀνδρώδη, δειλίας θόξῃ· τὸν δὲ σώφρο- 8
να καὶ κόσμιον, ἀκολασίας· τὸν δ' ἐλευθέριον καὶ μεγαλοπρεπῆ,
μικρολογίας καὶ φιλαργυρίας, δεδιττόμενοι, παρορμῶσι πρὸς τὰ καλὰ, καὶ τῶν αἰσχρῶν ἀπελαύνουσι, μέτριοι μὲν ἐν τοῖς ἀ-
νηκέστοις ἐξεταζόμενοι, καὶ τὸ λυπούμενον καὶ τὸ συναλγοῦν πλέον ἐν τῷ παῤῥησιάζεσθαι τοῦ ψέγοντος ἔχοντες· ἐν δὲ ταῖς
κωλύσεσι τῶν ἁμαρτανομένων, καὶ πρὸς τὰ πάθη διαμάχαις, σφοδροὶ καὶ ἀπαραίτητοι καὶ συνεχεῖς ὄντες· οὗτος γάρ ὁ και-
ρὸς εὐνοίας ἀθρόπτου καὶ παῤῥησίας ἀληθινῆς ἐστι. Τῷ δὲ ψέ- 9
γειν τὰ πραχθέντα καὶ τοὺς ἐχθροὺς κατ' ἀλλήλων ὁρῶμεν χρωμένους· ὥσπερ Διογένης ἔλεγεν, ὅτι τῷ μέλλοντι σώζεσθαι
δεῖ φίλους ἀγαθοὺς ἢ διαπύρους ἐχθροὺς ὑπάρχειν· οἱ μὲν γὰρ διδάσκουσιν, οἱ δὲ ἐλέγχουσι. Βέλτιον δὲ τὰς ἁμαρτίας φυλάτ- 10
τεσθαι, τοῖς συμβουλεύουσι πειθόμενον, ἢ μετανοεῖν ἁμαρτόντα διὰ τοὺς κακῶς λέγοντας. Καὶ διὰ τοῦτο δεῖ καὶ περὶ τὴν παῤῥη- 11
σίαν φιλοτεχνεῖν, ὅσῳ μέγιστόν ἐστι καὶ κράτιστον ἐν φιλίᾳ

— Σὺ δὲ σῷ μεγαλήτορι) Ἰλ. Ι. 109.

8. Ἐξεταζόμενοι) Ὄντες

9. Ὥσπερ Διογένης ἔλεγεν) Ταῦτα περὶ τούτου λέγει ὁ Πλούταρχος ἐν τῷ « Π. ἂν τις αἴτθ. Ἐ. Πρακ. ἐπ' ἀρετῇ » Διογένης ἔλεγε τῷ σωτηρίας δεομένῳ ζητεῖν προσήκειν ἢ φίλον σπουδαῖον ἢ διάπυρον ἐχθρόν, ὅπως ἐλεγχόμενος ἢ θεραπευόμενος ἀποφεύγῃ τὴν κακίαν.« ἀλλαχοῦ δὲ ἀποδίδει αὐτὸ εἰς τὸν Ἀντισθένη.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φάρμακον, εὐστοχίας τε καιροῦ μάλιστα καὶ κράσεως μέτρον ἐχούσης ἀεὶ δεομένην.

λζ'. Ἐπεὶ τοίνυν, ὥσπερ εἴρηται, πολλάκις ἡ παῤῥησία τῷ θεραπευομένῳ λυπηρὰ ὑπάρχει, δεῖ μιμεῖσθαι τοὺς ἰατροὺς· οὔτε γὰρ ἐκεῖνοι τέμνοντες, ἐν τῷ πονεῖν καὶ ἀλγεῖν καταλείπουσι τὸ πεπονθός, ἀλλ' ἐνέῤῥεξαν προσηνῶς καὶ κατῴνησαν· οὔτε οἱ νουθετοῦντες ἀστείως, τὸ πικρὸν καὶ δηκτικὸν προσβαλόντες ἀποτρέχουσιν, ἀλλ' ὁμιλίαις ἑτέραις καὶ λόγοις ἐπιεικέσιν ἐκπραύνουσι καὶ διαχέουσιν, ὥσπερ οἱ λιθοξόοι τὰ πληγέντα καὶ περι-
2 κοπέντα τῶν ἀγαλμάτων ἐπιλεαίνοντες καὶ γανοῦντες. Ὁ δὲ πληγεὶς μὲν τῇ παῤῥησίᾳ καὶ χαραχθεὶς, ἀφεθεὶς δὲ τραχὺς καὶ οἰδῶν καὶ ἀνώμαλος ὑπ' ὀργῆς, δυσανάλωτος αὖθίς ἐστι, καὶ
3 δυσπαρηγόρητος. Διὸ καὶ τοῦτο δεῖ παραφυλάττειν ἐν τοῖς μάλιστα τοὺς νουθετοῦντας, καὶ μὴ προαπολείπειν, μηδὲ ποιεῖσθαι πέρας ὁμιλίας καὶ συνουσίας τὸ λυποῦν καὶ παροξύνον τοὺς συνήθεις.

ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΟΜΟΥ.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΠΙΝΑΞ

Τῶν ἐμπεριεχομένων ἐν τῷ δε τῷ β' τόμῳ.

Α'. Ἐκ τῶν Λουκιανοῦ.

		Σελ.
Ε'.	Κατάπλους ἢ τύραννος.	1.
ΣΤ'.	Χάρων ἢ ἐπισκοποῦντες.	17.
Ζ'.	Πλοῖον ἢ Εὐχαί.	34.
Η'.	Νιγρῖνος ἢ περὶ φιλοσόφου ἤθους.	55.
Θ'.	Περὶ τοῦ Ἐνυπνίου, ἤτοι βίος Λουκιανοῦ.	73.

Β'. Ἐκ τῶν τοῦ Πλάτωνος διαλόγων.

Α'.	Εὐθύφρων ἢ περὶ ὁσίου, πειραστικός.	82.
Β'.	Ἀπολογία Σωκράτους, ἠθικός.	102.
Γ'.	Κρίτων ἢ περὶ δόξης ἀληθοῦς καὶ δικαίου, ἠθικός.	135.
Δ'.	Ἀλκιβιάδης δεύτερος ἢ περὶ προσευχῆς.	150.
Ε'.	Μενέξενος ἢ ἐπιτάφιος.	166.

Γ'. Ἐκ τῶν τοῦ Πλουτάρχου Χαιρωνέως.

Α'.	Περὶ παίδων ἀγωγῆς.	185.
Β'.	Περὶ τοῦ Ἀκούειν.	208.
Γ'.	Πῶς ἄν τις διακρίνειε τὸν κόλακα τοῦ φίλου.	229.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

8000/ 23

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Δημόσιο Κτήμα Ιδιωτικής Βιβλιοθήκης Πολιτισμός